Τὸν Ἰκέσιον ἀκολουθεῖ κατὰ τοὺς χρόνους ὁ Ξενοκράτης (2), καὶ τοῦτον πάλιν Μάρκελλος ὁ Σιδήτης. Ὁ ἰατρὸς οὗτος ἤκμασε περὶ τὰ μέσα τῆς δευτέρας ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος, καὶ ἔγραψε διὰ στίχων ἡρωϊκῶν τεσσαρακονταδύο βίβλους ἰατρικὰς (3), τῶν ὁποίων ὑπόθεσις εἶναι οἱ ἰχθύες θεωρούμενοι ὄχι ὡς τροφὴ ὑγιερῶν, ἀλλ' ὡς ἀῤῥώστων θεραπεία. Μόνοι στίχοι ἑκατὸν εἰς σώζονται ἀπὸ τὸ πολύβιβλον καὶ πολύστιχον τοῦ Μαρκέλλου τοῦτο ποίημα Ἐὰν τὸ κρίνῃ τις ἀπ' αὐτοὺς, εἰς μὲν τὴν ἰχθυολογικὴν ἱστορίαν ἐδύνατο ἴσως νὰ χρησιμεύσῃ· ὡς δὲ πρὸς τὸ θεραπευτικὸν τῆς ἰατρικῆς μέρος, οὐδεμίαν εἰς οὐδὲν' ἀληθινὸν ἰατρὸν ὁ ἀφανισμός του προξενεῖ λύπην.

Ἐὰν ὄχι σύγχρονος, πολλὰ ὀλίγον μεταγενέστερος τοῦ Μαρκέλλου ἤκμασεν ὁ Γαληνός (4). Τῶν πολλῶν τοῦ σοφωτάτου τούτου ἰατροῦ συγγραμμάτων τὰ πλειότερα κατ' εὐτυχίαν

---

(1) Βιβλ. ιϐ', σελ. 580.

(2) Ἰδ. ἀνωτέρ. σελ. ά.

(3) Σουΐδ. λέξ. Μάρκελλος.

(4) Ὁ Σάξιος (*Onomastic. literar. vol. I, pag.* 317-318) θέτει καὶ τὸν Γαληνὸν καὶ τὸν Μάρκελλον ἐντάμα εἰς τὸ 164 ἔτος ἀπὸ Χριστοῦ.

ἐσεβάσθη ὁ χρόνος. Εἰς αὐτὰ εὑρίσκεται καὶ τὸ Περὶ τροφῶν δυνάμεως, διηρημένον εἰς τρία βιβλία. Τὸ πρῶτον περιέχει τοὺς σιτικοὺς καρποὺς καὶ τὰ ὄσπρια· τὸ δεύτερον, τοὺς καρποὺς τῶν δένδρων, καὶ τὰ χορταρικά· καὶ τὸ τρίτον, τὰ ζῶα. Τὸ μόνον ἐντελὲς τοῦτο, Περὶ τροφῆς, ἀρχαῖον σύγγραμμα σκοπὸν εἶχα πρὸ πολλοῦ, νὰ ἐκδώσω χωριστὸν τῶν λοιπῶν τοῦ Γαληνοῦ συνταγμάτων, καὶ ἄρχισα νὰ ἑτοιμάζω διὰ τοὺς τύπους τὴν ἔκδοσιν, ὅτε περιστάσεις ἀπροσδόκητοι μ' ἀνάγκασαν νὰ τὴν ἀφήσω. Ἐξ αὐτοῦ λοιπὸν τοῦ τρίτου βιβλίου ἐπῆρα τώρα ὅσα λέγει περὶ ἰχθύων ὁ Γαληνὸς, καὶ τὰ ἔνωσα μὲ τοῦ Ξενοκράτους τὸ συνταγμάτιον, διὰ νὰ παραστήσω εἰς τοὺς φιλαρχαίους ἀρχαίαν ὁλόκληρον, ὅσον δυνατὸν, ἰατρικὴν ἰχθυολογίαν.

Μὴ νομίσῃ ὁ ἀναγνώστης, ὅτι ἄλλοι παρ' ὅσους ἀρίθμησα δὲν ἔγραψαν περὶ ἰχθύων. Δὲν ὠνόμασα πλὴν ὅσων τὰ μείναντα λείψανα, ἢ μεταγενεστέρων ἄλλων συγγραφέων μαρτυρίαι, μᾶς ἐδίδαξαν, ὅτι ἐσύνταξαν, ἢ χωριστὸν Περὶ ἰχθύων σύγγραμμα, ἢ περιεχόμενον εἰς ἄλλο πληρέστερον Περὶ τροφῶν δυνάμεως. Πρὸ τοῦ Γαληνοῦ ὀνομάζει πολλοὺς ἄλλους ἰατροὺς ἡ ἱστορία ἀσχοληθέντας εἰς τὴν περὶ τροφῆς ἔρευναν, καὶ τῶν ὁποίων λείψανα τινὰ εὑρίσκονται εἰς τὴν Συναγωγὴν τοῦ Ὀρειβασίου· ἀλλ' ἐπειδὴ εἰς αὐτὰ δὲν εὗρηκα τί περὶ ἰχθύων, ἐσιώπησα ὡς ἀλλότρια τοῦ σκοποῦ μου καὶ τὰ ὀνόματα τῶν συγγραψάντων.

Μετὰ τὸν Γαληνὸν, τὸν ὁποῖον δικαίως ἤθελέ τις ὀνομάσῃ τὸν τελευταῖον μέγαν ἰατρὸν τῆς Ἑλλάδος, ἐφάνησαν ἀκόμη

πολλοί· ἀλλὰ καθὼς εἰς τἆλλα μέρη τῆς ἀνθρωπίνης ἐπιστήμης, παρόμοια καὶ εἰς τὴν ἰατρικὴν ἡ παρακμὴ ἐγίνετο ἡμέραν ἐξ ἡμέρας φανερωτέρα.

Ἀπὸ τοὺς πολλοὺς ὅμως τούτους δίκαιον εἶναι νὰ χωρισθῇ ὁ Ἄντυλλος, ἰατρὸς τῆς τετάρτης ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος, ὀλίγον προγενέστερος τοῦ Ὀρειβασίου. Ἀπ' ὅσα μᾶς ἐφύλαξεν ὁ Ὀρειβάσιος ἀποσπασμάτια τοῦ Ἀντύλλου γίνεται πιθανὸν, ὅτι καὶ Περὶ τροφῆς γενικῶς, καὶ Περὶ ἰχθύων εἰδικῶς, δὲν ἀμέλησε νὰ γράψῃ.

Μετὰ τὸν Ἄντυλλον καὶ τὸν Ὀρειβάσιον, ἄξιοι ὁπωσδήποτε τῆς ἰατρικῆς ἐπιστήμης κρίνονται οἱ κατὰ τὴν ἕκτην ἀπὸ Χριστοῦ ἑκατονταετηρίδα ἀκμάσαντες, Ἀέτιος ὁ Ἀμιδηνὸς, καὶ Ἀλέξανδρος ὁ Τραλλιανός. Εἰς τούτου τὸ σωζόμενον σύγγραμμα εὑρίσκονται ἐδῶ κ' ἐκεῖ ἰχθύων ὀνόματα, ἀλλὰ καθὼς εὑρίσκονται καὶ εἰς πολλὰ θεραπευτικὰ βιβλία (ἄλλα παρὰ τὸ Περὶ τροφῆς) τοῦ Γαληνοῦ, καὶ αὐτοῦ τοῦ Ἱπποκράτους, ἤγουν πλέον ὡς ἀῤῥώστων δίαιτα, παρὰ ὡς τροφὴ ὑγιαινόντων, εἰς σύνταγμα χωριστὸν συναθροισμένη. Ὁ Ἀέτιος ἐμιμήθη τὸν Ὀρειβάσιον, συναθροίσας πολλὰ τῶν πρὸ αὐτοῦ ἰατρῶν· ὄχι ὅμως χωρὶς νὰ συνεισφέρῃ καὶ αὐτὸς ἐξ ἰδίων του μικρὸν ἔρανον.

Εἰς τὸ σκότος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος φαίνεται Συμεὼν ὁ Σηθῆς (1). Προσφωνεῖ τὸ βιβλίον του, ἐπιγραφό-

(1) Εἰς τὴν ἐπιγραφὴν τοῦ βιβλιαρίου, ἐκδοθέντος εἰς τὴν Βασιλείαν πόλιν κατὰ τὸ 1538 ἔτος, τὸ ἐπώνυμον τοῦ Συμεῶνος εἶναι Σηθί· τὸ ὁποῖον ὁ Λατῖνος μεταφραστὴς φυλάξας ἀπαράλλακτον καὶ

μενον, Σύνταγμα κατὰ στοιχεῖον περὶ τροφῶν δυνάμεων, εἰς τὸν Αὐτοκράτορα Μηχαὴλ τὸν Δούκαν, τὸν ὁποῖον ὀνομάζει Ἡλιοειδέστατον! Εἰς αὐτὸ λαλεῖ καὶ περὶ τῶν γνωριμωτέρων ἰχθύων. Ἀλλ', ὡς τὸ ἐσημείωσαν καὶ ἄλλοι, ὅ, τι λέγει ὁ Συμεὼν περὶ τροφῶν μετεγράφθη, ἢ τουλάχιστον ἐρανίσθη, ἀπὸ τὸν πολυγραφώτατον Μηχαὴλ τὸν ψελλὸν, κατά τινας (1), τὸν σύγχρονόν του, κατ' ἄλλους, τὸν ἀκμάσαντ κατὰ τὴν ἐννάτην ἑκατονταετηρίδα, κ' ἐκεῖνον Μηχαὴλ Ψελλὸν ὀνομαζόμενον, κ' ἐκεῖνον ὄχι ὀλιγώτερον πολυγράφον. Ἡ περὶ τῶν δύο τούτων Ψελλῶν καὶ τῶν συγγραμμάτων αὐτῶν ἱστορία δὲν εἶναι ἀκόμη καθαρά· κατ' εὐτυχίαν ὅμως οὐδὲ μεγάλην ζημίαν προξενεῖ ἡ σύγχυσις αὐτῆς. Ὅτιν' ἀπὸ τοὺς δύο ἔκλεψεν ὁ Σηθῆς, πλέον ἑαυτὸν ἀδίκησε παρ' ἐκείνους, εἰς τῶν ὁποίων τὰ συγγράμματα (ἀμελημένα τὴν σήμερον ἀπὸ τὰ φωτισμένα ἔθνη), ἂν εὑρίσκεται καλόν τι, εἶναι καρπὸς τῆς ἀκμαζούσης Ἑλλάδος, καὶ ὄχι τῆς σχολαστικῆς τῶν Βυ-

---

εἰς τὴν ὀνομαστικὴν (Symeon Sethi), καὶ εἰς τὴν γενικὴν (Symeonis Sethi), ἔδωκεν ἀφορμὴν ἀπορίας εἰς τοὺς κριτικοὺς, ἂν σημαίνῃ Συμεῶνα τὸν Σὴθ ἢ Σηθὸν, ἢ Συμεῶνα τὸν [υἱὸν] τοῦ Σηθοῦ. Εἶναι, νομίζω, τὸ Σηθὶ γραφικὸν σφάλμα ἀντὶ τοῦ Σηθῆ γενικῆς τοῦ παρακμάζοντος Ἑλληνισμοῦ (ἀπὸ τὴν ὀνομαστικὴν Σηθῆς). Αὐτὸς οὗτος εἶναι ὅστις ἔγραψε καὶ τὸν Στεφανίτην καὶ Ἰχνηλάτην. Ἴδ. Μύθ. Αἰσωπ. συναγωγ. Προλεγομέν. σελ. λϐ'.

(1) Ἴδε τὸν Ἄγγλον Φρεῖνδον, Ἱστορ. Ἰατρικ. Μέρ. Α, σελ. 138. Παράβαλε καὶ ὅσα ἐσημείωσα εἰς Ἡλιοδώρ. Μέρ. Α, Προλεγομ. σελ. οή, καὶ Μύθ. Αἰσωπ. συναγωγ. Προλεγομ. σελ. κϑ'.

ζαντινῶν ἐκείνου τοῦ καιροῦ ἀναισθησίας, ὅταν ἐσυγκρίνετο ὁ Πισίδης μὲ τὸν Εὐριπίδην (1).

Ἀπὸ τὴν ἀναισθησίαν ταύτην νὰ σύρωσι τὴν Ἑλλάδα προθυμοῦνται σήμερον πολλοὶ ὁμογενεῖς λόγιοι. Μεγάλη χάρις εἰς τὸν ὑπὲρ τῆς μητρὸς καὶ πατρίδος αὐτῶν ζῆλον! ἐπειδὴ οἱ κόποι των ἐγέννησαν μεγάλους καρπούς. Ἄμποτε, τοὺς ὁποίους κατὰ μίμησιν ἐκείνων προθυμοῦμαι νὰ συνεισφέρω κ' ἐγὼ, μὴ φανῶσιν ὁλότελα ἄκαρποι (2)!

---

(1) Ἴδ. Μύθ. Αἰσωπ. συναγωγ. Προλεγομ. σελ. λά.

(2) Ἡ χρεωσουμένη εἰς τοὺς σοφοὺς τῆς Εὐρώπης, διὰ τὴν πρὸς τοὺς Ἕλληνας εὔνοιαν, εὐγνωμοσύνη μ' ἀναγκάζει νὰ φανερώσω ἐδῶ ὅ,τι δι' ἄγνοιαν δὲν ἐδυνήθην νὰ σημειώσω εἰς τὸν πρὸ μικροῦ ἐκδοθέντα ἔκτον καὶ τελευταῖον τόμον τῶν Βίων τοῦ Πλουτάρχου (Αὐτοσχ. ϛοχ. σελ. κϛ'). Μετὰ τὴν ἔκδοσιν ἐκείνου ἔμαθα ἀπὸ τὸν ἔντιμόν μου φίλον Ἀλέξανδρον Βασιλείου, ὅτι ἔλαβε, πολύτομα καὶ πολύτιμα δῶρα διὰ τὴν δημόσιον τῆς Χίου Βιβλιοθήκην ἀπὸ τὸν σοφὸν Θιέρσχην (Thiersch), Προφέσσορα τοῦ Μοναχίου (München), καὶ ἀπὸ τὸν σοφὸν Ὥττιγγῆρον, (Hottinger) Προφέσσορα τοῦ Τυρίκου (Zurich). Παρομοία ἄγνοια μ' ἐμπόδισε νὰ ἐκθέσω πλατύτερον, ὡς ἔπρεπε, καὶ τὸ πολύτιμον δῶρον τοῦ σοφοῦ τυπογράφου Διδότου. Αὐτὸ περιέχει κομψὰ πολλὰ τῆς τυπογραφίας του γεννήματα, εἰς τόμους 28 συμποσούμενα· ἐκ τῶν ὁποίων εἶναι καὶ τὰ Βουκολικὰ τοῦ Οὐϊργιλίου μεταφρασμένα εἰς τὴν Γαλλικὴν γλῶσσαν, ἀξιοσημείωτα μάλιστα διὰ τοῦτο, ὅτι αὐτὸς αὐτῶν εἶναι καὶ μεταφραστὴς καὶ τυπογράφος καὶ τῶν τύπων κατασκευαστής. Τοσαύτη τῶν σοφῶν Εὐρωπαίων προθυμία νὰ ταχύνωσι τὴν εἰς τὰ καλὰ αὐτοκίνητον σπουδὴν τῶν Ἑλλήνων ἀποδείχνει καὶ τὴν μωρίαν τῶν ἐχθρῶν τῆς φιλοσοφίας, καὶ τὴν ἀδικίαν τῶν κατηγόρων τοῦ Ἑλληνικοῦ γένους. Μακάριοι οἱ φιλόσοφοι τῆς Εὐρώπης διὰ τοὺς

ὁποίους σπουδάζουν ν' ἀποδώσωσι καρποὺς εἰς τὴν ὅθεν ἔλαβαν τὰ σπέρματα εὐεργέτριαν αὐτῶν Ἑλλάδα! Μακάριοι καὶ οἱ Χῖοι! ὅτι, πρῶτοι αὐτοὶ κινηθέντες εἰς δημοσίου Βιβλιοθήκης κατασκευήν, πρῶτοι καὶ τιμῶνται μὲ τῶν ἀλλογενῶν φιλομούσων τὴν εὔνοιαν, τῆς ὁποίας καὶ ἄξιοι ἐφάνησαν, καὶ ἀξιώτεροι τουλοιποῦ νὰ φανῶσι δὲν θέλουν ἀμελήσειν, ὄχι μὰ τὰς Μούσας! Μακάριοι ἀκόμη, ὅτι καὶ γίνονται παράδειγμα τοιούτου καλοῦ εἰς τοὺς λοιποὺς Ἕλληνας! Ὅσοι ἀπὸ τούτους ἐφάνησαν ἕως τώρα εἰς τῆς Ἑλλάδος τὴν ἀναγέννησιν πρόθυμοι, προθυμοτέρους τὸ παράδειγμα τῶν Χίων θέλει τοὺς κατασήσειν· οὐδὲ θέλουν ἀμελήσειν νὰ κατασήσωσι καὶ αὐτοὶ βιβλιοθήκας εἰς τὰς πατρίδας των, ἢ κἂν νὰ πέμψωσιν εἰς τὴν Βιβλιοθήκην τῆς Χίου, ὡς εἰς ὅλης τῆς Ἑλλάδος δημόσιον θησαυρὸν, τὸν χρεωστούμενον ἕκαστος ἔρανον. Ὅτινα δὲ τῶν ἱερωμένων ἢ λαϊκῶν πλούσιον δὲν ἐκίνησαν ἀκόμη εἰς πρόνοιαν τῆς πατρίδος τὰ πολλὰ πολλῶν ὁμογενῶν παραδείγματα, ἂς κεντηθῇ κἂν τώρα ἀπὸ τὴν πρόθυμον τῶν ἀλλογενῶν συνδρομὴν, μηδ' ἀναγκάζῃ τοὺς ὁμογενεῖς νὰ τὸν συγκαταριθμῶσι μὲ τοὺς νεκρούς.

Α. Κοραῆς, Ἰατρός.

ΞΕΝΟΚΡΑΤΟΥΣ

ΠΕΡΙ

ΤΗΣ ΑΠΟ ΤΩΝ ΕΝΥΔΡΩΝ ΤΡΟΦΗΣ.

ΚΕΦΑΛΑΙΟΝ Α.

ά. Πεποίηται μὲν ἡ νηχαλέα φύσις σιτίων ἄθυρμα ταῖς εὐτραπέζοις ἀπολαύσεσι· μέγα δ' ὄφελος [1] κἀν ταῖς καθ' ὑγιείαν [2] διαίταις. 1.

β'. Ἐξαλλάσσονται δὲ παρὰ συγκρίσεις ἰχθύες· ἐπεὶ οἱ μέν εἰσι σκληρόσαρκοι, οἱ δὲ ἁπαλόσαρκοι. Καὶ σκληρόσαρκοι μὲν, φάγροι, συνόδοντες [3], βούγλωσσοι· καὶ οἱ πλατεῖς, ὡς ψῆτται, ῥόμβοι. Ἁπαλόσαρκοι δὲ, κίχλαι, κόσσυφοι, φυκίδες, καὶ οἱ ὅμοιοι, εὐδιαφόρητοι [4] καθεσῶτες. Μέσοι δὲ, ὀνίσκοι, βάκχοι, σκιαδεῖς [5].

γ'. Ἔτι οἱ μὲν πετραῖοι, οἱ δὲ πελάγιοι· τροφιμώτεροι δὲ οἱ πελάγιοι. Οἱ δὲ παρ' αἰγιαλῶν ὄχθαις [6], ἢ ὑδροχόων ἐκροαῖς, κακόχυμοι [7], καὶ ἄσομοι. Καὶ τὰ πελάγη δὲ διαφέρει· μέτριοι μὲν γὰρ οἱ κατὰ τὸν Ἀδρίαν, οἱ δὲ κατὰ τὸ Τυῤῥηνικὸν, ἡδύτατοι. II.

δ'. Καὶ ἔαρος [8] μὲν οἱ πλεῖστοι, διὰ τὸ ὠοτοκεῖν, ἀμείνους, III.

[1] Ἐκ ΔΓ, ΑΤ, μέγα δ' ὅλως. — [2] Ἐκ ΔΓ, ΑΤ, ὑγείαν. — [3] Ἐκ ΔΓ, ΑΤ, κυνόδοντες. — [4] Ἐκ ΔΓ, ΑΤ, εὐδιαφορώτατοι. — [5] ΑΤ, σκιάδες. Ἴδ. τὰς σημ. — [6] ΑΤ, τροφιμώτεροι δὲ οἱ παρ' αἰγιαλῶν ὄχθαις. — [7] ΔΓ, κακόχυλοι. — [8] Καὶ ἔτι ἔαρος.

ὡς τρίγλαι· θέρους δὲ, φάγροι τε καὶ συνόδοντες [1]. Φθινοπώρου δὲ, ἥπατοι παραιτητέοι, κακόχυμοι ὄντες [2]· κεφρεῖς δὲ [3] καὶ λάβρακες, τρυφερώτεροι [4].

IV. ε. Παρὰ δὲ ἡλικίας, οἱ μὲν βραχεῖς καὶ νέοι, εὔφθαρτοι· οἱ δὲ κητώδεις, δύσχυμοι [5] καὶ σκληροὶ καὶ κακοσόμαχοι· οἱ δὲ μέσοι, μέσως εὐδιοίκητοι.

V. ς'. Παρὰ δὲ τὰ μέρη διαλλάττουσιν. Ἐπὶ τοῖς οὐραίοις οἷς κινοῦνται [6], γεγυμνασμένοι, εὔτροφοι, τρυφεροί· κατὰ δὲ τὴν νηδὺν, ἅτε λιπώδεις, ἐπιπολαστικοί, καὶ πρὸς ἐκκρίσεις εὔθετοι· κατὰ δὲ τὰ νῶτα σκληρόσαρκοι· κεφαλαὶ δὲ πάντως, διὰ τὸ ἁλμυρὸν καὶ λιπῶδες, ἄτροφοι καὶ δυσδιοίκητοι. Πάνυ δ' εὐέκκριτοι μυραίνης τε καὶ φάγρου [7], καὶ μάλιστα τριγλῶν.

VI. ζ'. Παρὰ δὲ σκευασίας, ὀπτοὶ μὲν, τροφιμώτεροι, δυσδιαχώρητοι δέ· ἑφθοὶ δὲ, ὀλιγότροφοι, ῥᾷστα διαχωροῦντες [8].

ή. Καὶ θαλάσσιοι μὲν, εὔσομοι, εὐκάρδιοι, πρὸς ἀναδόσεις ῥᾷστοι, πλαδαρᾶς [9] καὶ μαλθακῆς σαρκὸς ποιητικοί· *ποιοῦσι γὰρ* εὐχρόου [10] αἵματος γόνιμοι [11], λαπακτικοὶ γαστρός.

θ'. Ποτάμιοι δὲ καὶ λιμναῖοι, κακοσόμαχοι, παχυμεροῦς ὕλης δραστικοί, δυσδιάκριτοι· ὧν τινες οὐκ ἀποδέουσι τῆς θαλαττίας ὕλης, καθάπερ ὁ Νειλαῖος [12] κορακῖνος, καὶ ἐν Ῥήνῳ πέρκη, καὶ ἐν Τιβέρι [13] λάβραξ, ὅς ἐστιν ἐπεστιγμένος, καὶ οἱ ἐν Ἀνίωνι, λίμνῃ τε τῇ κατὰ Φαλερνοὺς, ὁμοφυεῖς ἰχθύες [14].

[1] Ἐκ ΔΓ, ΑΤ, σινόδοντες.—[2] ΔΓ, ἥπατος παραιτητέος, κακόχυμος ὤν. — [3] ΑΤ, κεφρίδαι. — [4] Ἴσ. γρ. τροφιμώτεροι. — [5] Ἐκ ΔΓ, ΑΤ, δύσχοι. Ἑτέρα ΔΓ, δύσχυλοι. — [6] Ἐκ ΔΓ, ΑΤ, Ἐπεὶ τοῖς οὐραίοις κινοῦνται. —[7] Ἴδ. τὰς σημειώσ.—[8] Ἐκ ΔΓ, ΑΤ, διαφοροῦντες.—[9] Ἐκ ΔΓ, ΑΤ, πλαδαροί. Ἴσ. γρ. πλαδαροὶ δὲ, ἢ πλαδαρᾶς δέ. — [10] ΑΤ, εὐχρόους. — [11] Ἐκ ΔΓ, ΑΤ, γονίμου. — [12] Ἐκ ΔΓ, ΑΤ, ὕλης ὀνειδαῖος. — [13] ΑΤ, τῇ βούρι. ΔΓ, τήβουρι : Τύβουρι. — [14] ΑΤ, καὶ ὁ Ἀννιόων, λίμνη τε κατὰ Φαλερνοὺς ὁμοφυοῦς ἰχθύος. ΔΓ, καὶ ὁ Ἀννίων, λίμνη τε κατὰ Φαλερνοοῦς, ὁμοφυοῦς ἰχθύος.

εὔχυλον [1] γὰρ καὶ εὐπρόσφορον ἡ ἐκεῖ δίδωσι δίαιτα. Πάντων δὲ προκριτέον ἰχθύων τούς τε ἀβρόμους καὶ μὴ περιπιμέλους [2], εὐχύλους τε καὶ συμμέτρους.

ί. Τῶν δὲ ἰχθύων ἃ μέν ἐσι νηχαλέα [3], ἃ δὲ σελάχη, τὰ δὲ VII. μαλάκια, τὰ δὲ ὀσράκια· ὧν αὗται ποιότητες [4].

ιά. Ἀφύα [5] βραχύτατόν ἐσι, συναγελασικὸν, λοπάσι σκευαζόμενον.

ιβ'. Ἀλώπεκες [6], ἵππουροι, θρίσσαι, λέρος. Οἱ δὲ ἐκ [7] πελάγους φεύγουσιν εἰς ποταμὸν, δύσχυλοι, οὐκ εὐσόμαχοι, δύσπεπτοι, ὀλιγότροφοι.

ιγ'. Ἀχάρνης, σκληροφυὴς, δύσφθαρτος, οὔτ' εὐσόμαχος, οὔτ' εὔχυλος.

ιδ'. Βελόναι, ῥάμφος κερατώδεις [8], οὐκ εὐσόμαχοι, κακόχυλοι, ἄτροφοι, δύσφθαρτοι 9.

ιέ. Βῶκες, ἰουλίδες, τράχουροι, οἱ πρὸς ἐνίων [10] σαῦροι καλούμενοι, χάνναι [11], καὶ πᾶν τὸ τηγάνῳ ἁρμόζον, εὔσομον, οὐκ εὐσόμαχον, οὐκ [12] εὔφθαρτον, ἐπιπολασικὸν κοιλίας, ἄτροφον.

ις'. Ἐρυθρῖνος εὔσομος, σατικὸς κοιλίας, σκληροπαγὴς, VIII. τρόφιμος· ἐντατικὸς πρὸς συνουσίαν, εἴ τις αὐτὸν ἐν οἴνῳ πνίξας πίοι.

ιζ'. Θράνις [13], ἡ ξιφίας, κητώδης ἐσὶ, καὶ τεμαχίζεται [14].

[1] Ἰσ. γρ. εὔχυμον.—[2] ΑΤ, καὶ περιπιμέλους.—[3] Ἴδ. τὰς σημειώσεις.—[4] ΑΤ, ὧν αἱ ποιότητες.—[5] ΔΓ Ἀφρός.—[6] ΔΓ, Ἀλωπεκίαι.—[7] ΑΤ, λέρος. Οἱ δὲ ἐκ. ΔΓ, λέρος ἐκ.—[8] Ἐκ ΔΓ, ΑΤ, κερατῶδες.—[9] ΑΤ, εὔφθαρτοι. Ἔν τισι δὲ τῶν ἀντιγράφων λείπει ἀμφότερα.—[10] ΑΤ, τράχουροι πρὸς ἐνίων. ΔΓ, τράχουροι παρ' ἐνίων.—[11] Ἐκ ΔΓ, ΑΤ, χάννοι.—[12] Προσέθηκα τὴν ἄρνησιν.—[13] ΑΤ, Θρανίς. ΔΓ, Θρανής.—[14] Ἐκ ΔΓ, ΑΤ, ἐσὶ τεμαχίσθαι. Ἑτέρα ΔΓ, ἐσὶ τεμαχίζεσθαι.

ἄσομος δ' ἐσὶ, ψαφαρὸς [1], δυσκατέργαστος, πολύτροφος, βρομώδης. Δι' ὃ μετὰ σινάπυος ἐσθίεται, καὶ λοπάσι· κρεῖττον δὲ τὸ ὑπογάστριον.

ιή. Θύννος καὶ Θυννὶς, κολίας, ὄρκυνος, πηλαμὺς [2], σκόμβρος, οὐκ εὐστόμαχοι, κακόχυμοι, φυσώδεις, ψαφαροὶ, δυσέκκριτοι, τρόφιμοι· ὧν τρυφερωτέρα [3] ἡ πηλαμὺς [4], ἄσομος δὲ καὶ ἄχυλος [5] ὁ κολίας, ἡ δὲ Θυννὶς ὑποτέτακται, δύσπεπτος δὲ ὁ Θύννος.

IX. ιθ'. Σειῶνες, βραχυκέφαλοι [6], ἠλακατῆνες [7], χελιδόνες, οὐρανοσκόποι, γαλεοὶ, κύνες, καὶ οἱ ὅμοιοι, κακόχυμοι, βρομώδεις, ἀργῆς καὶ ὁλκίμου ὕλης γόνιμοι [8].

κ'. Εὐτράπεζοι δὲ σαργοὶ [9], μελάνουροι, κάνθαροι, εὐστόμαχοι, εὔχυλοι, εὐδιοίκητοι, τροφώδεις τε [10], καὶ πρὸς τὰς ἐκκρίσεις εὖ ἔχουσι.

κά. Σάλπαι αἱ πελάγιαι, δριμεῖαι, εὔστομοι, δύσφθαρτοι, εὔχυλοι, δυσδιαφόρητοι [11], τροφώδεις, εὐέκκριτοι. Αἱ δ' ἀπ' αἰγιαλῶν, σκληρόσαρκοι, κακόχυλοι [12], ἄσομοι.

κβ'. Βούγλωσσοι, ψῆτται, σκληρόσαρκοι, δύσφθαρτοι, εὔχυλοι, εὐέκκριτοι.

κγ'. Γλαῦκος [13] μετὰ λάβρακος [14] (ἔοικε γὰρ πάντα αὐτῷ), ἧττον· προφέρει δὲ σκάρου [15].

X. κδ'. Ἔλλοψ [16], εὐστόμαχος, γλυκύχυλος, τρόφιμος, εὐέκκριτος.

[1] Ἐκ ΔΓ, ΑΤ, ἄσομος δ' ἐσὶ φορᾶς. — [2] Ἐκ ΔΓ, ΑΤ, καὶ Θύννου κοιλία, ὀρκύϊνος, πηλαμίς. — [3] ΔΓ, τροφιμωτέρα. — [4] ΑΤ, πηλαμίς. — [5] ΔΓ, ἄχυμος. — [6] Ἴσ. γρ. Σύες, βάτραχοι, κέφαλοι. — [7] ΑΤ, κτένες. Ἴδ. τὰς σημειώσ. — [8] ΑΤ, ἀργῆς ὅλκιμοι ὕλης γόνιμοι. ΔΓ, ἀργῆς καὶ ὁλκίμης ὕλης γόνιμοι. — [9] Ἴδ. τὰς σημειώσ. — [10] ΑΤ, τροφώδεις δέ. — [11] ΑΤ, δύσφθαρτοι δυσδιαχώρητοι. — [12] Ἐκ ΔΓ, ΑΤ, κακόχυμοι. — [13] ΑΤ, Γλάνος. ΔΓ, Γλάκος. — [14] ΔΓ, λάβρακα : λάβραξος. — [15] ΔΓ, σπάρου. — [16] ΑΤ, ἧττον. Προφέρει δὲ σκάρου ἔλωψ.

κέ. Ἧπατος, ἡ μαζέας [1], τρυφερὸς μέσως [2], εὔθρυπτος, λελυμένος, εὔζομος, δύσπεπτος δὲ καὶ τρόφιμος καὶ εὐέκκριτος [3].

κς΄. Κεφρὺς πελάγιος, ἄριζος, εὔζομος, θριμὺς, οὐκ ἀπολείπων λάβρακος, εὐδιαχώρητος καὶ οὗτος πρὸς τῷ τρυφερῷ [4]· ποταμοῖς [5] διαυγέσι καὶ καθαροῖς νηξάμενος [6], ἀναχαλᾷ τὴν θαλάττιον σκληρότητα ἀπὸ τῆς τοῦ γλυκέος [7] ἐπικράσεως. Ὁ δ' ἐν θολεραῖς καὶ ζάσιμον ἐχούσαις ὕδωρ λίμναις, βρομωδέζερος, δυσδιοικητότατος [8]· πρὸς γὰρ τῆς [9] ἰλύος πιαινόμενος, πάνυ ἀργὴν ἔχει [10] τὴν σάρκα· μεγεθούμενος δὲ σκληροῦται [11]. Καλοῦσι δέ τινες καὶ πλῶτα τὸν κεφρέα.

κζ΄. Κίθαρος καὶ ῥόμβος πλατεῖς εἰσιν. Ὁ ῥόμβος ζερεὸς, δύσφθαρτος· χρὴ δὲ τὸν μέγαν προεωλίσαντα [12] ἡμέραν ἑψεῖν, δυσκατέργαζον ὄντα καὶ εὔτροφον. Ὁ δὲ κίθαρος κακόχυμος καὶ οὐκ εὐζόμαχος, δύσφθαρτος, εὐέκκριτος. xi.

κή. Κίχλαι, κόττυφοι, φυκίδες, ἀπαλόσαρκοι, εὔχυλοι, εὐδιαφόρητοι [13], ἄτροφοι, πρὸς διαχώρησιν ἐπιτήδειοι.

κθ΄. Κόρακος [14] σκληρόσαρκος (καὶ μᾶλλον αὐξόμενος), βρομώδης, δυσδιοίκητος, εὐζομίας ἀποδέων, φαύλης γόνιμος ὕλης [15]· ὧν ὁ μείων ἡδύτερος. xii.

λ΄. Λάβραξ ἐξαλλάσσεται, ὅσον αὔξεται σκληρότερος γινόμενος· ἄριζος ὁ μείων, ἡδὺς [16], εὐζόμαχος, εὔχυλος,

[1] Ἐξ ΕΔ, ΑΤ, Ἧπατος, ἡμαζέας. ΔΓ, Ἧπατος, ἡμαζέας.—[2] Ἐκ ΔΓ, ΑΤ, Μέσος.—[3] Ἐκ ΔΓ, ΑΤ, δύσπεπτος δὲ καὶ εὐέκκριτος.—[4] ΑΤ, πρὸς τὸ τρυφερόν. Ἴσ. γρ. πρὸς τῷ τροφίμῳ.—[5] Ἴσ. γρ. ποταμοῖς δὲ, ἢ, ποταμοῖς γάρ.—[6] Ἴσ. γρ. ἐννηξάμενος.—[7] Ἐκ ΔΓ, ΑΤ, γλυκέως.—[8] ΑΤ, δυσδιοικότατος. ΔΓ, δυσδιοικήτατος.—[9] ΑΤ, πρὸς τῆς.—[10] ΑΤ, πάνυ γὰρ ἀργὴν ἔχων.—[11] Ἰδ. τὰς σημειώσ.—[12] ΔΓ, προεωλίσαντας.—[13] Ἐκ ΔΓ, ΑΤ, εὐδιαφορώτατοι.—[14] ΔΓ, Κόραξος.—[15] ΑΤ, εὔζομος, ἀποδέων φαύλης γονίμου ὕλης.—[16] ΑΤ, ἄριζος ὁ μείων δυεῖν. ΔΓ, ἄριζος ὁ μηνῶν (ἄλλ. ὁμίνων) δυεῖν.

XIII. τρυφερόσαρκος, γλυκύχυλος [1], τρόφιμος, εὐδιοίκητος, εὐέκκριτος. Τάδε μὲν περὶ πελαγίου [2]. Ὁ δ' ἐν δεξαμεναῖς [3], ἐναντίον τούτοις [4], ὡς καὶ ἐπὶ τῶν ἄλλων ἰχθύων συμβαίνει· ἄσομοι γὰρ οἱ σύγκλειστοι· Ὁ δὲ ποταμίοις καὶ ψυχροῖς [5] ὕδασιν ὑποδύνων ἐκ τῆς θαλάττης, εὔσομος, τρυφερός. Ὁ δ' εἰς λίμνας μεθισάμενος ἰλυώδεις καὶ τεναγουμένας [6], πιαινόμενος, ἄσομος.

XIV. λά. Ὀνίσκος, *οὐ* θριμὺς 7, εὔχυλος [8], δυσδιοίκητος, εὐδιαχώρητος, τρόφιμος.

λβ'. Σκόρπαιναι, σκληρόσαρκοι· διὸ χαίρουσι σκευαῖς [9]· εὔσομοι, εὔθετοι πρὸς ἐκκρίσεις [10].

λγ'. Σκιαδεὺς [11], εὔσομος, εὔχυλος, εὐδιοίκητος, οὐκ ἄγαν τρόφιμος [12], εὐέκκριτος.

λδ'. Σκάρος, εὔσομος, δυσδιαφόρητος, εὔφθαρτος [13] διαχωρητικός· ὁ δὲ ἀρτιάλωτος καὶ μὴ ζωγρείοις ἐγκεκλεισμένος, πολλοῖς ἐγκάτοις [14] εὔσομος, ἐπιπολαστικὸς, εὔφθαρτος.

XV. λέ. Συνόδους [15], σκληρόσαρκος μὲν, οὐκ ἀτρύφερος δὲ, εὔχυμος, εὐδιοίκητος, τροφώδης μέσως, καὶ εὐέκκριτος [16].

λς'. Τρίγλα, ἐπιφανεστάτη ὄψων, εὐστόμαχος, εὔχυλος, εὔσομος, πλακώδης σὰρξ, δύσφθαρτος, μετρία πρὸς ἐκκρίσεις. Διαφέρει δὲ ἡ πελάγιος [17] τῆς πετραίας, διάπυρρος [18] οὖσα κιν-

[1] AT, τρυφερός. XIII, Ἄρκος γλυκύχυλος. Ἴδ. τὰς σημειώσ.—[2] Ἐκ ΔΓ, AT, πελαγίων.—[3] Ἐκ ΔΓ, AT, Οὐδὲν δεξαμεναῖς.—[4] ΔΓ, ἐναντίος τούτοις : ἐναντίον τοῖς τόποις : ἐναντίον τόποις.—[5] AT, ποτάμιος κατὰ ψυχροῖς.—[6] AT, ἰλυώδης καὶ ζεναγούμενος. Ἴδ. τὰς σημειώσ.—[7] ΔΓ, Ὀνίσκος δὲ οὐ θριμὺς : Ὀνίσκος δὲ ὁ θριμύς. Ἴδ. τὰς σημ.—[8] Ἐκ ΔΓ, AT, ἄχυμος. Ἑτέρα ΔΓ, εὔχυμος.—[9] Ἐκ ΔΓ, AT, διαναιροῦσι σκευαῖς.—[10] AT, Εὔσομοι πρὸς ἐκκρίσεις. Ἴδ. τὰς σημ.—[11] Ἐκ ΔΓ, AT, Σκιαδής.—[12] Ἐκ ΔΓ, AT, οὐκ ἀγωγὸς, τρόφιμος.—[13] ΔΓ, δυσδιαφόρητος, δυσδιοίκητος, εὔφθαρτος.—[14] Ἴσ. γρ. παχὺς ἐγκάτοις.—[15] Ἐκ ΔΓ, AT, Σινόδους.—[16] Ἐκ ΔΓ, AT, καὶ οὐκ εὐέκκριτος.—[17] ΔΓ, πελαγία.—[18] Ἐκ ΔΓ, AT, διάπυρος.

ναβάρει καὶ χρυσῷ [1]· πωγωνοφόρος δ' ἐςί [2]· λείπονται δὲ τούτων αἱ παραιγίαλοι [3].

λξ'. Φάγρος, σκληρόσαρκος, δύσφθαρτος, οὐκ εὐέκκριτος.

λή. Χρύσοφρυς, λευκόσαρκος, ςερεὸς, σύγκριτος, εὔχυλος, εὐδιοίκητος, τρόφιμος, οὐ δυσέκκριτος.

λθ'. Γόγγρος, οὐκ εὔςομος, οὐδὲ [4] κακόχυμος [5], μετρίως δ' εὔπεπτος, τροφώδης, πρὸς ἐκκρίσεις δὲ ἄμεμπτος.

[ΠΕΡΙ ΤΩΝ ΚΗΤΩΔΩΝ ΖΩΩΝ.

μ'. Φῶκαι, φάλαιναι, δελφῖνές τε καὶ ζύγαιναι, καὶ τῶν θύννων οἱ μεγάλοι, καὶ πρὸς τούτοις οἱ κύνες, ὅσα τ' ἄλλα [6] τοιαῦτα τῶν κητωδῶν εἰσι, σκληράν τε καὶ κακόχυμον καὶ περιττωματικὴν τὴν σάρκα ἔχουσι. Διὰ τοῦτο προταριχεύοντες αὐτὰ εἰς χρῆσιν ἄγουσιν].

ΚΕΦΑΛΑΙΟΝ. Β'.

ΠΕΡΙ ΚΝΙΔΗΣ.

μά. ΚΝΙΔΑΙ, ἢ ἀκαλῆφαι, εὔςομοι, κακοςόμαχοι δὲ οὐ μετρίως [7] ὀπταὶ δὲ τῶν ἑφθῶν ἐπιτηδειότεραι. Λυτικαὶ [8] κοιλίας, οὐρητικαί [9]· οὐρητικώτεραι δὲ αἱ μετὰ τὴν κάθαρσιν, αἱ φύουσαι πρὸς ταῖς ψήφοις· πιληθεῖσαι καὶ [10] συςραφεῖσαι πάνυ ὀλίγοις ἅλσι, πασθεῖσαί τε ὀπῷ ὀλίγῳ, μετρίως εἰσὶ σιτηραί [11]. XVI.

[1] ΑΤ, χρυσώπη. ΔΓ, χρυσώπη. — [2] Ἴσ. γρ. τ' ἐςί. — [3] Ἐκ ΔΓ, ΑΤ, παραιγιάλιοι. — [4] Ἴσ. γρ. οὐδὲ μήν. — [5] ΔΓ, κακόχυλος. — [6] Ἔγραψα ἐκ τοῦ Γαληνοῦ, ΑΤ, καὶ ὅσα τ' ἄλλα. — [7] Ἴσ. γρ. δὲ μετρίως. — [8] ΔΓ, ἀκτικαί. — [9] Ἴδε τὰς σημειώσεις. — [10] Ἴσ. γρ. οὐρητικώτεραι δὲ μετὰ τὴν κάθαρσιν. Αἱ δ' ἐμφῦσαι πρὸς ταῖς ψήφοις πιληθεῖσαι κ. τ. λ. ἢ, οὐρητικώτεραι δὲ αἱ ἐμφῦσαι [ἢ ἐμφυόμεναι] πρὸς ταῖς ψήφοις. Πιληθεῖσαι [ΔΓ, πληθεῖσαι : πηληθεῖσαι : πλυθεῖσαι] δὲ καί. — [11] ΑΤ, πασθεῖσαί τε ὅπως ὀλίγον μετρίως εἶναι σιτηραί.

τῇ δὲ ὀπτήσει παρεῖσαι [1] δι' ὀβελῶν ἢ καρφῶν, ἐπὶ ἀνθράκων μαλακῶν κληματίνων [2], ὥσε ἐναργῶς ἅρασθαι [3]. Μετὰ γλυκέος δὲ ἡ οἰνομέλιτος, ἀναπείθουσαι [4] γεῦσιν, εὔπεπτοι καὶ εὐέκκριτοι. Αἱ δ' ἐν γλυκεῖ καὶ ἐλαίῳ ἑψόμεναι μετὰ τῆς ἄλλης ἀρτύσεως, τὸ μὲν ὀλισθηρὸν [5] καὶ ὄλκιμον φυλάττουσι, πλήσμιοι δὲ οὖσαι καὶ δύσπεπτοι, τὴν κοιλίαν ἀναχαλῶσι μᾶλλον.

ΚΕΦΑΛΑΙΟΝ Γ.

ΠΕΡΙ ΟΣΤΡΑΚΙΩΝ.

xvii. μϐ'. Βαλάνων μὲν [6] ἄρισται αἱ θέρους λαμβανόμεναι [7], ἐπιτήδειοι πρὸς βρῶσιν, αἳ γίνονται ὅπου ἐπιμίγνυται γλυκὺ ὕδωρ· τρόφιμοι δ' εἰσὶ καὶ γλυκεῖαι [8], πλέον δ' εἰσὶν αἱ ἐντρεφόμεναι 9 πέτραις· ἥδισαι γὰρ καὶ τροφώδεις [10], εὐλέαντοι [11], πολύχυλοι, πρὸς κοιλίας μάλαξιν ἐπιτήδειοι, σομάχῳ προσηνεῖς, εὔσομοι, ἁπαλαί, κινητικαὶ οὔρων [12]. Τὸν χυλὸν αὐτῶν ἁπλοῦν ἀμεταποίητον [13]. Τὸ δὲ ἀφέψημα αὐτῶν ἐσι διαχωρητικόν [14]. Αἱ δὲ μὴ ἐν πέτραις, δριμεῖαι καὶ φαρμακώδεις, δρασικαὶ κοιλίας πλέον, ἔλαττον [15] δὲ τῶν οὔρων.

xviii. μγ'. Γλυκυμαρίδες προφέρουσι τῶν μὴ τραχειῶν χημῶν [16], μειονεκτοῦσι [17] δὲ τῶν πελωρίδων. Εἰσὶ δὲ διακριτικαὶ σομάχου [18]. Σκληρὸν δ' ἐσὶν αὐτῶν τὸ σαρκῶδες, οὐ μὴν ἄτροφον. Οὐρη-

[1] AT, παγεῖσαι. — [2] AT, μαλάχης ἢ κληματίνων. ΔΓ, μαλάχῃς : μαλάχης. — [3] ΔΓ, ὥσε ἐνεργῶς ἅρασθαι. Ἴσ. γρ. ὥσε ἀργῶς ὀπτᾶσθαι, ἢ, ὥσε ὁμαλῶς ὀπτᾶσθαι. — [4] AT, ποιάνα ποιῆσαι. ΔΓ, ἀναποιῆσαι. — [5] Ἴσ. γρ. τὸ μὲν γλίσχρον. — [6] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον. — [7] Ἐκ ΔΓ, AT, αἰθερίας λαμβανόμενοι. — [8] AT, γλυκεῖς. — [9] AT, εἰσὶν ἐντρεφόμεναι. — [10] AT, γὰρ αἱ τροφώδεις. — [11], ΔΓ, ἀλέαντοι. — [12] Λείπει τι εἰς συνάρτησιν τοῦ λόγου. — [13] ΔΓ, ἀμεταπόνητον. — [14] ΔΓ, αὐτῶν διαχωρητικόν. — [15] AT, ἐλάττω. — [16] Ἴδ. τὰς σημειώσ. — [17] AT, μειονεκτοί. ΔΓ, μειονεκτεῖ. — [18] Ἴσ. γρ. Εἰσὶ δ' εὐέκκριτοι, εὐσόμαχοι.

τικώτεραι δ' εἰσὶ μᾶλλον τῶν πελωρίδων. Ὠμαὶ δὲ ἡ ὀπταὶ [1] σκληροποιοῦνται· ἑψηθεῖσαι δὲ καὶ ἀρτυθεῖσαι, εὔστομοί εἰσι. Γίγνεται [2] δὲ καὶ γένη πελωρίδων τε καὶ χημῶν διάφορα· διάφοροι δ' αἱ ποικίλαι [3] καὶ στρογγύλαι, ὡς αἱ ἐν [4] Δικαιαρχίᾳ ἐν τῷ Λουκρίνῳ λάκκῳ, καὶ αἱ ἐν τῷ ἐν Ἀλεξανδρείᾳ λιμένι· γλυκεῖαι γὰρ καὶ εὔχυλοι. Αἱ δ' ὑπὲρ Φάρον καὶ τὸν Δίολκον, τήν τε γέφυραν καὶ τὴν νῆσον, ἐπιμήκεις, τραχεῖαι, βαλάνοις ἐοικυῖαι δρυΐναις, ἐμφερῶς [5] φηγοῖς τὸν ἐχῖνον φερόμεναι· λευκαὶ δ' εἰσὶ καὶ σκληραὶ καὶ δριμεῖαι.

μδ'. Κτένες κράτιστοι οἱ εὐμεγέθεις, κοῖλοι, τὴν χρόαν με- XIX.
λάντεροι. Ἀκμάζουσι δ' ἦρος καὶ θέρους· τότε γὰρ αὔξονται μάλιστα πρὸς σελήνην [6]. Διάφοροι δ' οἱ ἐν Μιτυλήνῃ πάντων μεγέθει, φύσει, εὐχυλίᾳ. Φέρει δ' ὁμοίους [7] τούτοις ὁ Ἰόνιος κόλπος κατ' Ἰλλυρίδα καὶ Σαλώνας [8]· καὶ Λάτιον. Φέρει δὲ καὶ Χῖος, καὶ συχναὶ τῶν νήσων, καὶ Ἀλεξάνδρεια. Ὁ δὲ Πόντος φέρει μὲν πολλοὺς, βραχεῖς δὲ καὶ δυσαυξεῖς. Γλυκεῖς δ' εἰσὶ καὶ εὐπεπτότεροι τῶν ὀστρέων. Διαχωρητικοὶ δ' εἰσὶ μετ' ὄξους καὶ ὀποῦ [9], διὰ τὸ ποσῆς γλυκύτητος μετέχειν, ἣν ἀποβάλλουσιν ὀπτώμενοι [10].

μέ. Ὁμοίως δὲ καὶ οἱ λευκοὶ [11] λύουσι κοιλίαν, καὶ ἂν XX.
παλαιοὶ ὦσιν, ἢ νεαροί [12]· ὀλίγον [13] δ' εἰσὶ κινητικοὶ τῶν οὔρων. Οὐκ εὔφθαρτοι οἱ [14] πυξίζοντες, καθάπερ τὰ ὄστρεα. Κρείττους [15]

[1] ΑΤ, Ὀπταὶ δὲ καὶ ἑφθαί. ΔΓ, Οἶμαι δὲ καὶ ἑφθαί: Οἶμαι δ' ὅτι ἑφθαί. Ὁ δὲ Λατ. μεταφρ. Οἶμαι δὲ καὶ ὀπταί. — [2] Ἐκ ΔΓ, ΑΤ, Γίγνονται. — [3] ΑΤ, χηνῶν. Διάφοροι δὲ ποικίλαι. Ἴδ. τὰς σημειώσ. — [4] Ἐκ ΔΓ, ΑΤ, ὡς ἐν. — [5] Ἐκ ΔΓ, ΑΤ, ἐμφερεῖς. — [6] Ἴδ. τὰς σημειώσ. — [7] Ἐκ ΔΓ, ΑΤ, ὁμοίως. — [8] ΔΓ, κατ' Ἰλλυρίδα καὶ Τυρρηνίδα καὶ Σάλωνας. — [9] Ἴδ. τὰς σημειώσ. — [10] ΔΓ, εὐόμενοι. — [11] ΑΤ, καὶ λεῖοι. ΔΓ, καὶ πλεῖοι. — [12] Ἐκ ΔΓ, ΑΤ, νηροί. Ἴσ. γρ. κἂν παλαιοὶ ὦσι, κἂν νεαροί. — [13] ΔΓ, ὀλίγῳ. — [14] Ἴσ. γρ. Οὐκ εὔφθαρτοι δ' οἱ. — [15] ΑΤ, Κρείττω.

δὲ οἱ ἐφθοὶ τῶν ὀπτῶν πρὸς τὸ ὑπακτικὸν τῆς γαστρός· οἱ δ' ὀπτώμενοι [1] ἀχυμότεροι, δυσέκκριτοί τε. Ὑπολεπτέον δ' ἔλαττον [2] ἔχειν τὸ ἄτοπον τοὺς ἐν [3] τοῖς ἑαυτῶν ὀσράκοις ὀπτωμένους, εὐτροφωτέρους τε καὶ ταρακτικοὺς ἧττον [4]. Εὐστομώτεροι [5] δὲ οἱ ὀπτοὶ καταῤῥανθέντες ἀκράτῳ [6], εὐστόμαχοι 7, εὔπεπτοι, προκριτέοι τῶν ὀσρακίων [8]. Καὶ οἱ ταριχευόμενοι δὲ κοιλίαν οὐ ταράσσουσι 9· τηροῦσι δὲ τὴν φυσικὴν γλυκύτητα ἐν ἅλμῃ μένοντες· οὐρητικοὶ δ' εἰσίν. Εἰσὶ δὲ οἱ λευκοὶ καὶ πλατεῖς γλυκύτεροι· σκληροὶ δὲ οἱ *λευκοί· οἱ δὲ* πυῤῥοί, βρομώδεις [10] καὶ οὐρητικοί, οἱ δὲ ποικίλοι, μέσοι. Καὶ ποσὰ δὲ αὐτῶν ἐμφέρει φυκίοις [11]· ἰδίᾳ δὲ δοθέντα, δύσπεπτα μὲν, οὔρων δὲ κινητικά. Ἐσθιόμενοι δὲ [12] οἱ κτένες ἐπαρκοῦσι τοῖς ῥυπαρὰ καὶ ἐσχαρωμένα περὶ κύστιν ἔχουσιν ἕλκη, ἀποκαθαίροντες.

XXI. μς'. Κήρυκες σκληρότεροι μέν εἰσι πορφύρας, παρὰ μεγέθη δὲ καὶ τόπους διαφέρουσι. Τρισσὰς δ' ἔχουσι δυνάμεις, τοῦ τε ὀστράκου καὶ τραχήλου καὶ μήκωνος. Ἡ μὲν γὰρ [13], ψαφαρά ἐστιν, ἰχθυώδης [14], στατικὴ κοιλίας, καὶ πλέον, εἰ ὀπτηθείη· ταρακτικωτέρα [15] δὲ ἡ ἐφθή. Οἱ δὲ τράχηλοι αὐτῶν λύουσι κοιλίαν· δύσπεπτοι δ' εἰσί. Χρὴ δὲ διὰ νάπυος, ἢ ὄξους, ἢ ὀποῦ, ἢ πεπέρεος, ἐπανορθοῦσθαι αὐτοὺς ἐσθιομένους. Τὸ δὲ ἀπ' αὐτῶν ὕδωρ διαχωρητικὸν κοιλίας, θερμὸν πινόμενον [16]. σὺν δὲ τῇ μήκωνι ἑψόμενον, κιῤῥότερον καὶ ἰλυῶδες [17]. Ὅλοι [18]

[1] ΔΓ, ὀπτότεροι. — [2] ΑΤ, ἐλάττους. — [3] ΑΤ, ἄτοπον τούτοις ἐν. — [4] ΔΓ, ἥττω. Ἴσ. γρ. ἧττον εἶναι. — [5] ΔΓ, Εὐτονώτεροι: Εὐτονωτέρους. — [6] ΑΤ, καταραθέντες ἀκράτως. — [7] ΑΤ, εὔστομοι. — [8] Ἴσ. γρ. τῶν ὀσρέων. — [9] ΔΓ, δὲ καὶ λίαν οὐ ταράσσουσι. Ὁ δὲ Λατῖνος μεταφρασὴς ἡρμήνευσεν, οὐδὲ κοιλίαν λίαν ταράσσουσι. — [10] ΑΤ, βρωματώδεις. — [11] Ἰδ. τὰς σημειώσ. — [12] Ἴσ. γρ. ἐσθιόμενοι δ' ὠμοί. — [13] ΑΤ, Ἡ δὲ γάρ. — [14] Ἐκ ΔΓ, ΑΤ, ἰχυώδης. — [15] ΑΤ, ἀντιπρακτικωτέρα. — [16] ΑΤ, γενόμενον. — [17] ΑΤ, ἰχυῶδες. ΔΓ ἰλυώδης: ἰχθυῶδες. — [18] Ἐκ ΔΓ, ΑΤ, Ὅλαι.

δὲ καθεψηθέντες, ϛατικώτεροι καὶ διψώδεις γίγνονται. Ἔνιοι δὲ ἑψήσαντες αὐτοὺς, λεαίνουσιν ἐμφερῶς ἀκαλήφαις [1] ἀρτύοντες· γίγνονταί τε [2] εὔϛομοι. Ἀνατολικῆς δὲ σελήνης [3], πλήρεις· λεπτοὶ δὲ Θέρους εἰσίν.

μζ΄. Πορφύραι δὲ αἱ μείζους, σκληρότεραι· καὶ τοῖς ἑαυτῶν δὲ μέρεσιν οὐ μετρίαν διαφορὰν ἔχουσι [4]. Τράχηλοι μὲν γὰρ δυσκατέργαϛοι, δυσδιαχώρητοί τε καὶ δύσφθαρτοι, εὐϛόμαχοι, ὀλιγόχυμοι, μόλις διαλυόμενοι τῇ μασήσει. Οἱ δὲ πυθμένες, ἢ μήκωνες, μαλακοὶ, ἰχθυωδέϛεροι, εὐκατέργαϛοι, διαχωρητικοὶ, διουρητικοὶ [5], ἱδρωτικοὶ, σιελοποιοί· πλεονάσαντες δὲ, χολερώδεις, ναυτιώδεις, μελάνων ἐπιπολαϛικοί [6]. xxii.

μή. Τὰ δὲ [7] κολούλια, ἢ κορύφια [8], τῶν ὁμογενῶν, ὁπόσα ϛρομβοειδῆ, πάντων ἐϛὶν ἐπιτηδειοτάτη ἡ προσφορὰ αὐτῶν, ὠμῶν τε [9] καὶ σκευαϛῶν, ἑψήσει καὶ ὀπτήσει· χυμὸν ἀνίησιν εὔϛομον, εὐϛόμαχον, κοιλίας ὑπαγωγὸν [10], γλυκὺν [11], κινητικὸν οὔρων. Μικρόσαρκα δὲ ἀνάλογον [12] κοχλίαις. Ἀπεργάζεται δὲ καὶ ϛόματος εὐωδίαν, πρὸς οἰνοποσίαν τε εὔθετα [13]. ζεσθέντα τροφιμα [14], ὀπτὰ δὲ, σκληρά. Ἡ δὲ [15] μήκων αὐτῶν ϛατικωτέρα, τρόπον [16] κηρύκων.

μθ΄. Κοχλίαι, σκληροὶ, δυσκατέργαϛοι. Τὰ δὲ τούτων εἴδη, τὸ μὲν ἐπίμηκες, ὅτῳ [17] καὶ σάλπιγγος δίκην ἐμφυσῶσι· τὸ δὲ xxiii.

[1] Ἐκ ΔΓ, ΑΤ, ἀκαλήφοις.—[2] προσέθηκα τὸν σύνδεσμον, ὃν ἐξέφρασε καὶ ὁ Λατῖνος μεταφραϛής.—[3] Ἴδ. τὰς σημειώσ.—[4] ΑΤ, καὶ τοῖς ἑαυτῶν δέρμασι μετρίαν διαφορὰν (ΔΓ, διαφθορὰν) ἔχουσαι.—[5] Ἐκ ΔΓ, ΑΤ, ἰχθυωδέϛεροι, διουρητικοί.—[6] Ἐκ ΔΓ, ΑΤ, ἀπολαυϛικοί.—[7] Ἐκ ΔΓ, ΑΤ, Τά τε.—[8] ΔΓ, κολύκια ἢ κορύχια.—[9] Ἴϛ. γρ. προσφορὰ, ὠμῶν τε κ. τ. λ.—[10] ΑΤ, ἐπαγωγόν.—[11] Ἴδε τὰς σημειώσ.—[12] ΑΤ, Μικρόσαρκοι ἀνάλογον. ΔΓ, Μικρόσαρκον ἀνάλογον: Μικρόσαρκος ἀναλογῶν: Μικρόσαρκος ἀνάλογον.—[13] ΑΤ, πρὸς οἰνοποσίαν δὲ ἄθετα.—[14] Ἴϛ. γρ. τρυφερά.—[15] Ἐκ ΔΓ, ΑΤ, Ὁ δέ.—[16] Ἐκ ΔΓ, ΑΤ, ἐν τρόπῳ.—[17] ΑΤ, οὕτω.

στρογγύλον, ᾧ τοὔλαιον ἀναχέουσι [1]. Τούτων δ' οἱ μὲν ὑπερμεγέθεις ἄβρωτοι, διὰ τὸ βρομῶδες καὶ σκληρὸν καὶ χολερικὸν, πολύσαρκον τε καὶ κητῶδες. Τῶν δὲ βραχέων ἐνίους προσφορὰ πείθει μετ' ὀξυμέλιτος, ἢ χλωροῦ πηγάνου καὶ ὄξους καὶ πεπέρεος [2]. Οἱ δὲ πενταδάκτυλοι, ὀξυπύθμενοι, καὶ ὑπ' ἄλλων κληζόμενοι [3] Ἕλικες, ἢ Ἀκτινοφόροι [4], ἀσαρκώτεροι μέν εἰσι παρὰ τοὺς ἄλλους κοχλίας, πλήσμιοι δὲ καὶ ἐπιπολαστικοί. Προβρεχόμενοι δὲ ὀπῷ [5] καὶ ὄξει, πρὸς βρῶσιν ἐπιτηδειότεροι, ἐκταράξαι κοιλίαν εὔθετοι [6]. Κοχλίαι πάντες θαλάττιοι τοὺς τραχήλους γλυκυτέρους ἔχουσιν· εἰσὶ δὲ ψαφαροὶ, εὔχυλοι, εὔφθαρτοι [7], κοῦφοι παρὰ τοὺς χερσαίους· ἰχθυωδέστεροι [8] γὰρ καὶ μαλακώτεροι πρὸς ἔκκρισιν, εὐωδέστεροι, εὐστόμαχοι κατὰ τοὺς πυθμένας. Κοχλίαι δύσπεπτοι [9], παραφρακτικοὶ [10], ὄξει καὶ ὀπῷ ἢ νάπυϊ [11] ἐσθιόμενοι, ἔτι δὲ εὐζώμῳ.

XXIV. ν'. Λεπάδες βραχεῖαί εἰσιν· ἔν τισι δὲ μείζους [12], ὡς ὀστρέων δοκεῖν μὴ ἐναλλάττειν [13]· μέγισται δὲ ἐν Ἰνδικῇ, ὡς καὶ τὰ ἄλλα πάντα. Σκληραὶ [14] δ' ἄλλως καὶ ὀλιγόχυμοι, δυσκατέργαστοί τε [15] καὶ δυσέκκριτοι· ἑφθαὶ δὲ συναρτυόμεναι, εὔστομοι.

XXV. νά. Μύακες, ἁλμυροὶ, βρομώδεις· βοηθοῦνται [16] δὲ ὀπῷ Κυρηναϊκῷ καὶ ὄξει. Ταρακτικοὶ δὲ κοιλίας καὶ διουρητικοὶ, οὐκ εὔστομοι, δύσπεπτοι, ἐμφρακτικοὶ, παχέος αἵματος φλέγμα-

[1] Ἴσ. γρ. ἐγχέουσι. — [2] ΑΤ, ἢ χλωρῶν πηγάνου τε μετ' ὀξυπεπέρεος. ΔΓ ἢ χλωρῶν τηγάνου τε μετ' ὀξυπεπέρεος. — [3] ΑΤ, ὀξυπύθμενοί τε τῶν ἄλλων κληζόμενοι. — [4] Ἴδ. τὰς σημειώσ. — [5] ΑΤ, ὀπτοί. — [6] ΑΤ, ἄνευθοι. ΔΓ, ἄνεφθοι. — [7] ΑΤ, δύσφθαρτοι. Ἴδ. τὰς σημ. [8] ΑΤ, ἰσχυρότεροι. Ἴδ. τὰς σημ. — [9] Ἴδ. τὰς σημ. — [10] Ἴδ. τὰς σημ. — [11] ΑΤ, ὄξει καὶ ὀπῷ ποιῇ ἵνα. ΔΓ, ὄξει καὶ ὀπῷ ἵνα ποιῇ. — [12] ΑΤ, ἔν τισι μείζους. — [13] Ἐκ ΔΓ, ΑΤ, ἀναλλάττειν. — [14] ΑΤ, Σκληροί. ΔΓ, Σκληρόσαρκοι. — [15] ΑΤ, δυσκατέργαστοι δέ. — [16] ΑΤ, βοηθοῦντες.

τός τε γόνιμοι [1], καὶ μᾶλλον οἱ πρόσφατοι. Διὸ κατεργαζέον αὐτοὺς τοῖς δριμέσι, ναπυϊ, εὐζώμῳ, καρδάμῳ. Ὀπτοὶ, δυσδιαχώρητοι, πολύδιψοι, βαρεῖς· οἱ δὲ ἑψηθέντες καὶ τριβέντες καὶ ἀρτυθέντες, ἧττον ὄντες βρομώδεις [2], τὰ ἴσα ποιοῦσι τοῖς τρομβώδεσι [3].

νϐ'. Μυῖσκαι, τρογγυλώτεραι [4] μέν εἰσι μυάκων [5], μικρότεραι δὲ καὶ δασεῖαι, ὄτρακά τε λεπτὰ φέρουσαι, τὰς σάρκας τε ἁπαλώτεραι καὶ γλυκύτεραι [6], τοὺς χυμοὺς διαφορώτεραι 7. Οἱ αὐτοὶ ἀτροφώτεροι [8], δηκτικοὶ τόματος καὶ φάρυγγος, ἀναδάκνοντες τὴν κατάποσιν, καὶ τὴν φωνὴν δασύνοντες, ἢ ἀποκόπτοντες, τῶν πολλοὺς φαγόντων, ξηρᾶς τε κινητικοὶ βηχὸς καὶ βράγχης 9. Οὐκ ἀγαθοὶ δὲ οἱ ἀμμώδεις, ἢ ἐν ὀστράκοις κεραμίων [10], οἵ τε ἀπὸ [11] τῶν πετρῶν ἢ φυκίων· δριμεῖς γὰρ οἵδε [12].

νγ'. Ὄστρεα τὰ πελάγια, σπάνια καὶ ἀχρεῖα, διὰ τὸ μὴ xxvi.
θεωρεῖσθαι ὑπὸ ἡλίου· γίνεται δὲ καὶ μικρομεγέθη [13], πικρά τε εἰσι [14] καὶ οὐκ ἐδώδιμα, διὰ τὸ δηκτικὸν τῆς κοιλίας. Χαίρει γὰρ ἐπικιρναμένῃ γλυκέσι θαλάσσῃ [15], γλυκυχύλους προσαύξοντα [16] σάρκας. Διὸ καλλιστα τὰ κατὰ [17] τὰς ἐκβολὰς τοῦ Νείλου ἐν Αἰγύπτῳ, καὶ ἐν Ἐφέσῳ κατὰ τὴν εἰσβολὴν τοῦ Καΰστρου, ἃ εἰς καταβόλους τίθεται [18] ὡς σπέρματα, καὶ αὖ-

[1] AT, ἐμφρακτικοὶ παχέος αἵματος, φλέγματος δὲ γόνιμοι.— [2] AT, ἧττον τοὺς βρομώδους. ΔΓ, ἧττους τοὺς βρομώδους : ἧττους τοῦ βρομώδους. — [3] AT, τρομμώδεσι. — [4] AT, Μύες καὶ τρογγυλώτεραι. — [5] Ἐκ ΔΓ, AT, μυῶν. — [6] Ἐκ ΔΓ, AT, τὰς σάρκας τε ἁπαλώτεραι καὶ γλυκύτεραι, ὄτρακά τε λεπτὰ φέρουσαι. — 7 ΔΓ, διαφορώτεροι. — [8] Ἰδ. τὰς τημειώσ. — 9 Ἐκ ΔΓ, AT, βροχῆς. — [10] AT, ἢ ὀστράκοισι κεραμέων. — [11] AT, τούς τε ἀπό. — [12] AT, οἵδε. ΔΓ, οἵδεν : οἱ : οἱ δέ. — [13] ΔΓ, δὲ μικρομεγέθη. — [14] AT, πικρὰ δ' εἰσί. — [15] AT ἐπικιρνάμενον γλυκέσι κράσει. — [16] AT, προσαύξων. ΔΓ, προσαυξάνων : προσαέξων. — [17] AT, Κάλλιστα κατά. — [18] AT, Καΰστρου εἰς καταβόλους τιθέντες.

ξεται· ἔαρι δὲ ἐμπίπλανται παχυνόμενα λευκῷ χυμῷ γαλακτώδει. Κατά τε πόλιν Βρεντέσιον [1], Ταρακῶνα, Ναρβῶνα, Δικαιαρχίαν ἐν Λουκρίνῳ [2] λάκκῳ, Χελιδονίας, Λευκάδα, Ἄκτιον, καὶ κόλπον Λιβυκὸν, τοῦτον τὸν τρόπον γίνεται.

νδ. Πελωρίδες [3], ἢ μελαινίδες, καλλισται αἱ ἐμφερεῖς ὀστρέοις, ἐν τέλμασιν, ἰλύϊ τε βορβορώδει, ὅπου μίγνυται ὕδωρ γλυκύ. Αἱ δὲ ἐν βυθῷ, σπάνιαι καὶ ἀηδέστεραι. Ταύταις χρῶνται ἐζωμοποιημέναις [4] πρὸς λύσιν κοιλίας χρησίμως. Πεπτικαὶ δ' εἰσὶ καὶ διαχωρητικαὶ [5] μετρίως.

xxvii. νέ. Αἱ δὲ πίνναι, τόπων μὲν ἕνεκεν ἐπιτήδειοι, ἁπαλαί, εὔτροφοι, αἱ ἐκ τῶν [6] τεναγωδῶν λαμβανόμεναι, καὶ ἐκ τῶν [7] ἐπικιρναμένων γλυκεῖ ὕδατι καὶ ἀκύμονι. Τῷ τε γὰρ μὴ βλάπτεσθαι [8] πρὸς τῶν κυμάτων ἁπαλαὶ μένουσιν· οἵ τε [9] πινnοφύλακες, κοινωνοῦντες τῆς τροφῆς, ἐν τοῖς γαληνιζομένοις [10] εὐαγροῦσι τῇ πίννῃ, καὶ μᾶλλον ὑπὸ τοῖς πετρώδεσι καὶ πηλώδεσιν [11] ὑφεσήκασι [12]. Μεγέθους δ' ἕνεκα, αἱ μικραὶ τῶν μειζόνων ἁπαλώτεραι. Ὧρας δὲ ἐαρινῆς καὶ θέρους [13] ληφθεῖσαι, τῶν κατὰ τὰς ἄλλας παρὰ μέγα διαφέρουσι· πρὸς γὰρ τῇ εὐτροφίᾳ καὶ γλυκεῖαι τηνικαῦτα γίνονται [14]. *Μεγέθους δὲ ἕνεκεν, αἱ μὴ μεγάλαι κρείττους*. Αἱ δὲ μέσαι, μαλακὴν, λευκὴν, γλυκεῖαν ἔχουσι σάρκα. Τράχηλοι μὲν γὰρ

[1] ΑΤ, γαλακτώδει. Πάλιν Βρεντέσιον.—[2] Ἐκ ΔΓ, ΑΤ, Δικαιαρχίαν Λοκρίνῳ.—[3] ΑΤ, Ἄκτιον. Πελωρίδες. ΔΓ, Ἄκτιον καὶ κόλπῳ Λιβυκῷ κατὰ τοῦτον τρόπον γίνεται. Πελωρίδες: Ἄκτιον Λιβυκοὺς κόλπους. Πελωρίδες. Ἴδ. τὰς σημ.—[4] ΑΤ, χρῶ καὶ ἐζωμοποιημέναις.—[5] ΑΤ, δ' εἰσὶ διαχωρητικαί.—[6] ΑΤ, ἐπιτήδειοι, αἱ ἁπαλαὶ, εὔτροφοι· ἐκ τῶν.—[7] Ἐκ ΔΓ, ΑΤ, καὶ ὀπτῶν.—[8] ΑΤ, Τῷ μὴ βλάπτεσθαι.—[9] Ἐκ ΔΓ, ΑΤ, οἱ δέ.—[10] Ἐκ ΔΓ, ΑΤ, ἐν τοῖς ληνιζομένοις.—[11] ΑΤ, πιννώδεσιν.—[12] ΑΤ, ὑπεσήκασι. ΔΓ, ὑπεσάκασιν.—[13] ΑΤ, Θέρει.—[14] ΑΤ, καὶ γλυκεῖαί εἰσι, τοιγικαύτοι γὰρ γίνονται. ΔΓ, καὶ γλυκεῖαί εἰσι. Τηνικαῦτα γὰρ γίγνονται.

αὐτῶν, σκληροί, δύσπεπτοι, δυσδιαίρετοι, δύσφθαρτοι· τὸ δὲ [1] σῶμα τῶν τραχήλων εὐφθαρτότερον ἔχουσιν. Ἑψῶνται [2] δὲ γλυκεῖ, ἐλαίῳ [3], μέλιτι, καὶ οἴνῳ ὁμοίως. Καὶ [4] τῶν ἐξ ὕδατος ἀνεζεσμένων μετὰ νάπυος ἔξω τῶν κογχυλιωδῶν φύσεως ἡ χρῆσις [5]. Ὀπταὶ δὲ σκληρότεραι τῶν ἑφθῶν, καὶ μᾶλλον αἱ τῷ οἴνῳ ἐρραμέναι· ἄμεινον δι' ὀποῦ [6] καὶ ὄξους, ἢ νάπυος. Τῶν δὲ ἐν οἴνῳ καὶ ὄξει βραχεισῶν ἀπαλωτέρα ἡ σὰρξ, φυσώδης δέ.

νς'. Στρόμβοι 7 δὲ, σκληροί, δυσκατέργαστοι, μᾶλλον δ' οἱ τῶν [8] ὠτίων μείζους. Μετὰ νάπυος δὲ καὶ ὀποῦ πρόσφοροι 9, λειοτριβηθέντες ἐν ὄξει. xxviii.

νζ'. Σωλῆνες, ἢ αὐλοί, ἢ δόνακες, ἄρρενές εἰσι, καὶ θήλειαι, αἳ καλοῦνται [10] ὄνυχες· διαφορὰν δ' ἔχουσι. Καθαρτικαὶ [11] γάρ εἰσιν αἱ θήλειαι, οὔρων κινητικαὶ, ὑγραίνουσι. Σκευάζονται δὲ ἀνοιγόμενοι. Οἱ δὲ πρόσφατοι καὶ μεγάλοι, μελανορράβδωτοι [12] καθ' ἑτερόχροιαν [13], ἄρρενες, ταρακτικοὶ οὔρων. Ἀλυπότατοι δὲ μετὰ ἁλῶν καὶ ὄξους· μοχθηροὶ δὲ καὶ ἐπιπολαστικοὶ μετ' ἐλαίου καὶ ἁλῶν ληφθέντες· ἐμφερῶς τευθίσι πρὸς πότον [14] παρασκευάζονται. Κράτιστοι δ' οἱ μείζους καὶ παχύτεροι, ὀπτοί· οἱ δ' ἐλάχιστοι, γλυκεῖς· γλυκύτεραι δ' αἱ θήλειαί εἰσι [15], μονόχροοι [16]. Ἀκμάζουσι δὲ θέρους. Ταριχηροὶ δὲ, ἀηδεῖς.

[1] ΑΤ, τό τε.—[2] Ἐκ ΔΓ, ΑΤ, ἑψῶντες.—[3] ΑΤ, δὲ γλυκελαίῳ.—[4] Ἰδ. τὰς σημ.—[5] Ἰδ. τὰς σημ.—[6] Ἴσ. γρ. ἄμεινον δὲ δι' ὀποῦ, ἢ, ἀμείνους δὲ δι' ὀποῦ.—[7] Ἐκ ΔΓ, ΑΤ, Σκόμβροι —[8] ΑΤ, μᾶλλον δὲ τῶν.—[9] Ἴσ. γρ. εὐπρόσφοροι.—[10] ΑΤ, οἱ καλοῦντες. ΔΓ, οἱ καλοῦνται.—[11] ΑΤ, Καθάριαι.—[12] Ἴσ γρ. καὶ μεγάλοι, ῥαβδωτοὶ, ἢ, καὶ μεγάλοι, μέλανες, ῥαβδωτοί.—[13] ΑΤ, κατὰ τὴν ἑτερόχροιαν.—[14] ΑΤ, πρὸς πότιμον. ΔΓ, πρὸς ποτὸν: πρὸς ποταμόν. Ἰσ. γρ. πρόσφατοι μόνον.—[15] ΑΤ, γλυκύτεραι δὲ θήλειαι δὲ εἰσί. ΔΓ, γλυκύτεραι δὲ θήλειαί εἰσι.—[16] ΑΤ, Μονόχροιαι.

xxix. νή. Τήθεα γίγνονται ἐν βορβόρῳ καὶ φυκιοφόροις ἀκταῖς· εὑρίσκεταί τ' ἐν [1] βρύοις καὶ πράσοις καὶ φυκίοις. Ἔοικε [2] φυτῷ θαλαττίῳ μύκητι· δυσέκρυπτον [3] δὲ ταῖς χερσὶν ἐναπολείπει ποιότητα. Μάλιστα δ' αὐτῶν τὰ [4] δερματώδη ἀκατέργαστά ἐστιν. Ἐπαρκεῖ [5] δὲ τοῖς νεφροὺς [6] ἢ στόμαχον κακουργουμένοις, καὶ τεινεσμώδεσι, καὶ ἰσχιαδικοῖς, τῇ τε ἄνω κοιλίᾳ [7], μετὰ πηγάνου διδόμενα [8]. Τέμνεται δὲ καὶ πλύνεται [9], ὀπῷ τε Κυρηναϊκῷ καὶ πηγάνῳ, ἅλμῃ τε καὶ ὄξει συναρτύεται, ἢ μετ' ὄξους, ἢ προτρόπου [10], σὺν ἡδυόσμῳ χλωρῷ. Καλλιστα δὲ τὰ ἐν [11] Σμύρνῃ τῆς Ἀσίας. Αἴγυπτος δὲ οὐδ' ὅλως φέρει.

xxx. νθ'. Τελλίναι, ἢ ξιφύδρια, διαχωρητικὰ κοιλίας. Γίνονται δὲ ἐν ἀμμώδεσι χωρίοις καὶ κυμαίνουσιν [12] αἰγιαλοῖς. Αἱ δὲ ποτάμιαι μείζους καὶ πολυχυμότεραι, ὡς αἱ ἐν Αἰγύπτῳ. Αἱ δὲ ἐψηθεῖσαι, γλυκεῖαι· ὧν ὁ ζωμὸς λύει κοιλίαν. Μεμυκυῖαι δὲ ἁλὶ πάσσονται, καὶ διὰ τῶν ὀστράκων ἕλκουσιν ἰκμάδα. Πλύνονται ψυχρῷ, καὶ μετ' ὀξελαίου καὶ ἡδυόσμου [13], ἢ καὶ πηγάνου, ἐσθίονται. Τοῖς δὲ βουλομένοις λύειν κοιλίαν μετὰ λαχάνων λιτῇ ἀρτύσει σκευάζονται. Ἀκμαῖαι δὲ βρωθεῖσαι ἔαρος καλλισται.

xxxi. ξ'. Τῶν δὲ χηνῶν τὰς τραχείας γλυκυμαρίδας ἔνιοι καλοῦσιν, οἱ δὲ, κόγχας· αἳ καὶ μῆκος ἔχουσιν, ἔλαττον δὲ [14] τῶν κατ' Αἴγυπτον γινομένων. Καὶ [15] κατὰ μὲν τὴν τιμῆσιν τραχύτητας ἔχουσι [16] προσεοικυίας τῶν δρυίνων βαλάνων πυέλοις [17]·

[1] AT, εὑρίσκεται δ' ἐν.— [2] Ἴσ. γρ. Ἔοικε δέ.— [3] Ἐκ ΔΓ, AT, δυσέκνιπτον.— [4] AT, δ' αὐτά.— [5] Ἐκ ΔΓ, AT, Ἐξαρκεῖ.— [6] AT, νεφροῖς.— [7] AT, καὶ ἰσχιαδικοῖς τε, τῆς ἄνω κοιλίας.— [8] AT, διδόμενος.— [9] AT, Πλύνεται δὲ καὶ δίδοται. ΔΓ, Τέμνεται δὲ καὶ πλύνεται, καὶ δίδοται.— [10] AT, καὶ πρὸ τρόπου.— [11] AT, Κάλλιστοι δ' οἱ ἐν.— [12] AT, χωρίοις, κυμαίνουσιν.— [13] AT, ὀξελαίου, ἡδυόσμου. Ἴδ. τὰς σημ.— [14] AT, αἳ κατὰ μῆκος ἔχουσιν, ἐλάττω δέ.— [15] AT, γινομένων· αἳ.— [16] AT, ἔχουσαι.— [17] AT, πτελέαις. Ἴδ. τὰς σημειώσεις.

κατὰ

κατὰ μῆκος δ' εἰσὶ [1] ῥαβδωταί, ἐπαναςάσεις διαφόρους τῶν ἄλλων ἔχουσαι. Αἱ θαλαττίζουσαι δὲ τὴν γεῦσιν, σκληρόσαρκοι καθες ῶσαι, δίδονται τοῖς [2] ἀσθενέσι· τὸ δ' ἀπ' αὐτῶν ὕδωρ ἐπιτήδειον ςομάχῳ, κοιλίας τε [3] ὑποβιβασμῷ, καὶ πρὸς οὖρα. Αὗται [4] ταριχευθεῖσαι ἐφελκύσαι δύνανται ςόμα κατὰ τὴν βρῶσιν, καὶ μᾶλλον μετὰ νάπυος, ἢ ὄξους καὶ πηγάνου. Αἱ δὲ λεῖαι χῆμαι παρὰ μέγα διαφέρουσι τῶν τραχειῶν [5]. Αὗται δ' εἰσὶν αἱ πλατὺ ὄςρακον [6] ἔχουσαι καὶ διαυγές· εὔπεπτοι, εὔτροφοι, εὔχυμοι, γλυκεῖαι, οὐκ ἀπηνεῖς ςομάχῳ. Ὀπῷ δὲ καὶ νάπυϊ ἐσθίονται, καὶ λοπάδι καὶ ὀπταί. ἑφθῶν δὲ ὁ ζωμὸς λύει κοιλίαν.

ξά. Αἱ δὲ γλυκυμαρίδες χαριέςεραι τῶν λειοςράκων κογ- xxxii.
χῶν [7], ἧττους δὲ πελωρίδων. Διαλλάττουσι [8] δὲ κατὰ τόπους τοῖς εἴδεσιν, ὡς πελωρίδες, καὶ χυμῷ καὶ ποικιλίᾳ [9] καὶ σχηματισμῷ. Αἱ μὲν γὰρ ἐν τῷ ἐν Ἀλεξανδρείᾳ λιμένι ἄριςαι· αἱ δὲ περὶ τὸν Δίολκον καὶ Φάρον καὶ γέφυραν, ἐπιμήκεις [10] καὶ τραχεῖαι.

ξϐ'. Τὰ δὲ καλούμενα ὠτία γίνονται πρὸς πέτραις. Σκληρὰ δ' ἐςὶ, δύσπεπτα, ἄςομα, κακοςόμαχα, διαχωρητικά [11]. Ἀπὸ τηγάνου [12] δὲ προσφέρονται· οὐ γὰρ ἄλλως ἡδύνονται. Γίνονται δὲ μεγαλα [13] ἐν Ἰλλυρίᾳ κατὰ τὸν Ἰόνιον κόλπον· ἐσθίονται δὲ ὀπῷ, ὄξει, πηγάνῳ.

[1] ΑΤ, τ' εἰσί.—[2] Ἐκ ΔΓ, ΑΤ, δίδονται δὲ τοῖς.—[3] ΑΤ, κοιλίας δέ.—[4] Ἴσ. γρ. Αἱ δέ.—[5] ΑΤ, τραχέων.—[6] Ἴσ. γρ. αἱ πλατὺ τὸ ὄςρακον.—[7] ΑΤ, τῶν λείων ὀςρακίων κόγχων.—[8] ΔΓ, Διαφέρουσι.—[9] ΑΤ, καὶ χημαὶ ποικιλίᾳ.—[10] Ἐκ ΔΓ, ΑΤ, γέφυράν εἰσι μήκεις.—[11] Ἐκ ΔΓ, ΑΤ, διαφορητικά.—[12] Ἐκ ΔΓ, ΑΤ, ἀπὸ πηγάνου.—[13] ΑΤ, μεγάλαι.

ΚΕΦΑΛΑΙΟΝ. Δ.

ΠΕΡΙ ΙΧΘΥΩΝ ΤΑΡΙΧΗΡΩΝ ΚΗΤΩΔΩΝ.

xxxiii. ξγ'. Οἱ δὲ τάριχοι [1], κοινῶς μέν εἰσιν εὔσομοι, κακόχυλοι δὲ, κακοσόμαχοι, λεπτυντικοί, καὶ ταρακτικοὶ κοιλίας. Ταρίχων δὲ οἱ μὲν σκληρόσαρκοι, οἱ δὲ φύσει ὑγροπαγεῖς καὶ ἁπαλοί [2], οἱ δὲ μέσως· καὶ οἱ μὲν σαρκώδεις, οἱ δὲ ἐμπίμελοι· καὶ οἱ μὲν παλαιοί, οἱ δὲ μέσοι, οἱ δὲ πρόσφατοι. Ὧν οἱ μὲν παλαιοὶ [3], ἐπιτεταμένοι, οἱ δὲ νεαλεῖς, ὑποβεβηκότες, οἱ δὲ μεσοχρόνιοι [4], σύμμετροι. Καὶ οἱ μὲν ἄγαν πίονες, ἐπιπολαστικοί, οἱ δ' ἧττον, ἐκείνων θρεπτικώτεροι [5]. Τῶν δ' ἄλλων, οἱ σκληρόσαρκοι, δύσφθαρτοι· οἱ ἁπαλώτεροι φθείρονται ῥᾳδίως.

xxxiv. ξδ'. Κολίαι [6], εὔσομοι, κινητικοὶ κοιλίας· κράτιστοι δὲ οἱ Ἰβηρικοί.

ξέ. Πηλαμὺς μικρὰ γίνεται ἐν Μαιώταις [7]· εὔσομος, εὔφθαρτος, εὐέκκριτος.

ξς'. Κύβιον, πηλαμὺς μετὰ τεσσαράκοντα ἡμέρας ἀπὸ Πόντου ἐπὶ Μαιῶτιν λίμνην [8] ὑποστρέφουσα, εὔσομος, εὔχυλος.

ξζ'. Τὸ δὲ ὡραῖον [9] καλούμενον, ἡδὺ, εὔτροφον, ἄδιψον.

ξή. Τρίτομον [10], δύσφθαρτον, στερεώτερον [11] τοῦ κυβίου, τἆλλα δὲ ἐμφερές.

[1] ΔΓ, ταριχηροί. — [2] ΑΤ, καὶ οἱ ἁπαλοί. — [3] ΑΤ, Ὧν οἱ πελάγιοι. — [4] ΑΤ, μέσοι χρόνιοι. — [5] ΑΤ, ἐπιπολαστικοὶ, ἧττονες· ἐκεῖνοι θρεπτικώτεροι. — [6] Ἐκ ΔΓ, ΑΤ, Κωλιοί. — [7] ΑΤ, Μεσογαίαις. ΔΓ, μεσόταις. — [8] ΑΤ, ἐπὶ Πόντῳ μετὰ λίμνην. ΔΓ, ἀπὸ Πόντου ἐπὶ Μετιλίμνην. — [9] ΑΤ, Τὸ λεώραιον. ΔΓ, Τὸ ὡραῖον. — [10] ΑΤ, Τρίτομον κύβιον. ΔΓ, Τριτὼν κύβιον. — [11] ΔΓ, σκληρότερον.

ξθ΄. Ὄρκυνος [1] πηλαμύς ἐστι μεγάλη, μὴ ὑποστρέφουσα ἐπὶ τὴν λίμνην [2]· ἐμφερὴς δὲ τῷ τριτόμῳ [3], πλὴν δυσφθαρτότερος· διὸ ὑπομένει παλαίωσιν.

ο΄. Ἀπόλεκτον [4] ψαφαρώτερόν ἐστι τοῦ τριτόμου, εὐστομίᾳ [5] λειπόμενον, εὐδιοίκητον, πεπτικόν.

οα΄. Σάρδα, πηλαμύς ἐστιν ἐπιμήκης [6] ὠκεάνιος [7], εὔστομος, δριμύτητι κυβίου [8] προφέρουσα, κινητικὴ ὀρέξεως, πρὸς ἐκκρίσεις εὐόλισθος.

οβ΄. Σκόμβρος εὔστομος, δύσφθαρτος, δίψους ποιητικός [9]· κράτιστος [10] δὲ ἐν Παρίῳ [11].

ογ΄. Τὰ δὲ ἐκ Θύννων γινόμενα ταρίχη συχνὴν πρὸς ἄλληλα διαφορὰν ἐνδείκνυται. Ἃ μὲν γὰρ αὐτῶν ἐστιν εὐδιοίκητα, ἃ δὲ δυσοικονόμητα. Αὐχὴν μὲν γὰρ αὐτῶν γίνεται ὠμοτάριχος· ἔστι δὲ εὔστομος, δύσφθαρτος, διὰ τὸ ἀπίμελον· κράτιστος δὲ ὁ Κυμαῖος. Κοιλία δὲ τοῦ Θύννου πρόσφατος μέν, ἐδώδιμος (οὐχ ὑπομένει γὰρ πρὸς παλαίωσιν [12]), εὐστόμαχος ὡς ἐν ταρίχει, εὔχυλος, εὐδιάφθορος, ἐπιπολαστικὴ δὲ διὰ τὸ πιμελῶδες. Τὰ δὲ λοιπὰ μέρη, μελάνδρυα [13] καλούμενα [14] διὰ τὴν ἐμφέρειαν πρὸς τὰς μελαινούσας τῆς δρυὸς ῥίζας, παρορμητικὰ ὀρέξεως [15], νάπυος παραπλοκῇ, τοῦ δ' ὑπογαστρίου δυσφθαρτότερα, τῷ πιμελῆς ἀπηλλάχθαι. xxxv.

οδ΄. Τάδε μὲν κυρίως καὶ συνήθως κλήζεται ταρίχη, καίτοι

[1] Ἐκ ΔΓ, ΑΤ, Ὀρκίαλος.—[2] ΑΤ, μεγάλη, ὑποστρέφουσα ὑπὸ τὴν λίμνην.—[3] ΑΤ, ὑγιής· ὁμοιὴ δὲ τῷ τὸ δὲ τριτόμῳ. ΔΓ, ὑγιής· ὁμοίη δὲ τῷ τῷδε τριτόμῳ: ὑγιής· ὁμοίη δὲ τῷ τριτόμῳ: ὑγιής· τὸ δὲ τριτόμῳ.—[4] Ἐκ ΔΓ, ΑΤ, Ἀπόλεκτος.—[5] Ἐκ ΔΓ, ΑΤ, εὐστομίας.—[6] ΑΤ, Σάρδα ἡ πηλαμὺς ἐπιμήκης.—[7] ΔΓ, ὠκεάνειος.—[8] Ἴσ. γρ. κολίου.—[9] ΔΓ, ποιητική.—[10] ΑΤ, κρατίστη.—[11] ΔΓ, Παρίᾳ: Πάρῳ.—[12] Ἴσ. γρ. γὰρ παλαίωσιν (ὥσπερ ἀνωτέρ. τμ. ξθ΄).—[13] ΔΓ, μελανδρίαι: κοσαί.—[14] Ἰδ. τὰς σημειώσ.—[15] ΑΤ, ὀρέξεων.

συχνῶν καὶ πολυτελῶν ἄλλων ἰχθύων [1] κατὰ τὰς νήσους ἁλιζομένων· τρίγλαι γὰρ καὶ φάγροι σκληροί. Οἱ δ' ἐκ τῆς Ἰνδικῆς [2] κομιζόμενοι [3] εἰσὶ μὲν κητώδεις, οὐκ ἐνάριθμοι δὲ τοῖς καθαριωτέροις θαλαττίοις.

ΚΕΦΑΛΑΙΟΝ. Ε.

ΠΕΡΙ ΤΩΝ ΠΟΤΑΜΙΩΝ ΚΑΙ ΛΙΜΝΑΙΩΝ ΤΑΡΙΧΩΝ.

xxxvi. οέ. Τῶν δὲ ποταμίων καὶ λιμναίων ταρίχων φέρει μὲν ὁ Νεῖλος κητώδεις σίμους τε καὶ φάγρους [4]· οἱ διὰ τὸ καταπιμελέστατον ζεσθέντες ἐσθίονται διὰ νάπυος· πλείονες δὲ ληφθέντες [5] ἐπιπολάζουσι.

ος'. Τῆς δὲ μέσης ὕλης, ἐκ μὲν τοῦ κεστρέως ταριχεύονται, οἱ μὲν, κατὰ ῥάχιν ἀνατμηθέντες [6], καλούμενοι Μενδήσιοι· οἱ δὲ, ὑγιεῖς [7], ἁλυκάτοι [8]. Οἱ δὲ ἐν κεράμοις [9] ταριχευόμενοι, βωρεῖς, οἱ καὶ ὠμοὶ ἐσθίονται, ἀποδαρέντος τοῦ δέρματος καὶ ἀποτιλθέντος [10]. Εἰσὶ δὲ τῶν κεστρέων καὶ οἱ ἀκρόπαστοι [11] καλούμενοι, ἡδεῖς· καὶ ὀπτοὶ ἐσθίονται, καθάπερ καὶ οἱ ἁλυκάτοι τε [12] καὶ οἱ Μενδήσιοι [13].

οζ'. Καὶ τῶν κορακίνων δὲ οἱ ταριχευόμενοι καλοῦνται ἡμινηροι, καὶ αὐτοὶ ὀπτανοὶ ἐσθιόμενοι· ὀπώρας τέ τινος [14] δίκην φέρουσιν, οὐκ ἀεὶ ὄντες, ἀλλὰ πρὸς τὸν χειμῶνα γινόμενοι.

οή. Καὶ ἄλλα δέ τινα ἐλάχιστα γίνεται ταρίχια, ὠμόφαγα,

[1] ΑΤ, πολυτελῶν ἰχθύων.—[2] ΑΤ, σκληροὶ ἐκ τῆς Ἰνδικῆς. Ἰδ. τὰς σημ.—[3] Ὁ Λατῖν. μεταφρας. νομιζόμενοι.—[4] ΑΤ, κητωδεσίμους τε καὶ φάγρους.—[5] ΑΤ, πλείονος δὲ ληφθέντος.—[6] ΑΤ, ἀνατμησθέντες.—[7] ΔΓ, εὐγιεῖς.—[8] ΔΓ, ἁλυκά, τοῖ : ἁλυκάτοι. Ἴσ. γρ. ἁλυκοί.—[9] Ἴσ. γρ. κεραμίοις.—[10] ΑΤ, καταλισθέντες. ΔΓ, ἀποτιλθέντες : κατατιλθέντες.—[11] ΑΤ, καὶ ἀκρόπαστοι.—[12] Ἴσ. γρ. καὶ οἱ ἁλυκοί τε.—[13] ΑΤ, καὶ Μενδήσιοι.—[14] ΑΤ, Ὀπώρας τινός.

οὐ σπουδαῖα [1] μὲν, ἡδεῖαν [2] δέ τινα κνίσσαν [3] ἐξάγοντα [4], ἅπερ μετὰ λαχάνων δριμέων ἐσθίονται· ὧν πρὸς τὸ ἐντελὲς τῆς πραγματείας χρὴ μνησθῆναι. Καλεῖται δὲ ἃ μὲν κορακίδια [5], ἃ δὲ βωρίδια, ἃ δὲ κολίδια [6], ἃ δὲ τυφλινίδια [7], ἃ δὲ ἀβραμίδια· ἅπερ πάντα κακοςόμαχά τ' εἰσὶ καὶ [8] δύσφθαρτα, καὶ κοιλίας ὑπαγωγά [9].

[1] ΑΤ, οὓς σπουδαῖα. ΔΓ, οὓς σπουδαῖα. — [2] ΑΤ, ἰδίαν.—[3] Ἐκ ΔΓ, ΑΤ, κνίσαν.—[4] ΑΤ, ἐπάγοντα. Ἴσ. γρ. ἀνάγοντα.—[5] Ἴσ. γρ. κορακινίδια.—[6] ΔΓ, κόλλια.—[7] ΔΓ, τυφληνίδια. Ἴσ. γρ. τυφλίδια.—[8] ΑΓ, κακοςόμαχα ποιεῖ καί.—[9] ΑΤ, ἐπαγωγά.

ΓΑΛΗΝΟΥ,

ΠΕΡΙ

ΤΗΣ ΑΠΟ ΤΩΝ ΕΝΥΔΡΩΝ ΖΩΩΝ ΤΡΟΦΗΣ.

(ἐκ τοῦ Περὶ τροφῶν δυνάμεως, Βιβλ. Γ, Τομ. Β, σελ. 344-349).

Τῶν ἐν ὕδατι διαιτωμένων ζώων καὶ γένη πάμπολλα, καὶ διαφοραὶ τούτων εἰσὶ, καὶ εἴδη. Λεχθήσονται δὲ νῦν, ὥςπερ ἐπὶ τῶν ἔμπροσθεν, αἱ πρὸς τὴν ἰατρικὴν χρείαν ποιότητες [1] ἐν αὐτοῖς. Ἰατρικὴν δὲ λέγειν, ἢ ὑγιεινὴν, οὐ διοίσει πρός γε τὰ παρόντα. Περὶ πάντων οὖν εἰρήσεται, καθάπερ ἐπὶ τῶν ἄλλων, ὅσα συνεχῶς ἐσθίουσιν οἱ ἄνθρωποι.

ΠΕΡΙ ΚΕΦΑΛΟΥ.

Τοῦ γένους τῶν λεπιδωτῶν ἰχθύων ἐςὶν ὁ Κέφαλος, οὐκ ἐν θαλάττῃ μόνον, ἀλλὰ καὶ ἐν λίμναις [2] καὶ ἐν ποταμοῖς γενόμενος· διὸ καὶ μεγάλην ἔχουσιν οἱ κατὰ μέρος Κέφαλοι πρὸς ἀλλήλους διαφορὰν, ὡς δοκεῖν ἕτερον εἶναι γένος τοῦ πελαγίου Κεφάλου πρὸς τὸν ἐν λίμναις, ἢ ποταμοῖς, ἢ τέλμασιν, ἢ ὀχετοῖς τοῖς ἐκκαθαίρουσι τοὺς ἐν ταῖς πόλεσι κοπρῶνας. Περιττωματικὴ μὲν γὰρ ἡ σάρξ ἐςι καὶ βλενώδης ἱκανῶς τῶν ἐν ἰλυώδει καὶ ῥυπαρῷ διαιτωμένων ὕδατι· καλλίςη δὲ τῶν ἐν καθαρᾷ θαλάττῃ, καὶ μᾶλλον ὅταν ὑπ' ἀνέμων καταιγίζηται. Κατὰ γὰρ τὴν σκεπεινὴν [3] καὶ ἀκύμονα, χείρων ἡ σὰρξ γίνεται

[1] ὁμοιότητες. — [2] καὶ λίμναις. — [3] σκεπτεινήν.

τῶν ἰχθύων, ὅσῳ καὶ ἀγυμναστότερα· ἐν δὲ ταῖς καλουμέναις λιμνοθαλάσσαις ἔτι χείρων τῆσδε· καὶ ταύτης ἔτι μᾶλλον ἡ κατὰ τὰς λίμνας. Εἰ δὲ καὶ σμικραί τινες αὗται τύχοιεν οὖσαι, καὶ μήτε ποταμοὺς μεγάλους δεχόμεναι, μήτε πηγὰς ἔχουσαι, μήτ' ἀπορρύην θαψιλῆ, πολὺ δή τι χείρους· εἰ δὲ καὶ μηδὲν ὅλως ἀπορρέοι τοῦ [1] ὕδατος, ἀλλ' εἴη σάσιμον, ἱκανῶς μοχθηραί. Περὶ δὲ τῶν ἐν ἕλεσι, καὶ τέλμασι, καὶ ὅσα τοιαῦτα χωρία, λέλεκται κατ' ἀρχάς· ἐσχάτως γὰρ οἱ κατὰ τοιούτους τόπους διαιτώμενοι μοχθηρὰν ἔχουσι τὴν σάρκα. Τῶν δ' ἐν τοῖς ποταμοῖς γεννωμένων, ἀμείνους ὅσοι κατὰ τοὺς τοιούτους, ἐν οἷς ὀξὺ καὶ πολὺ τὸ ῥεῦμα· κατὰ δὲ τοὺς λιμνάζοντας οὐκ ἀγαθοί. Καὶ παρὰ τὰς τροφὰς δὲ βελτίους γίνονται καὶ χείρους· ἔνιοι μὲν γὰρ εὐποροῦσι καὶ πόας καὶ ῥιζῶν χρησῶν, καὶ διὰ τοῦτο κρείττους εἰσίν· ἔνιοι δὲ ἰλυώδη τε πόαν ἐσθίουσι καὶ ῥίζας κακοχύμους· καί τινες αὐτῶν, ὅσοι κατὰ ποταμοὺς διαιτῶνται μεγάλην διαῤῥέοντας πόλιν, ἀποπατήματ' ἀνθρώπων καὶ μοχθηρὰς τροφὰς τοιαύτας προσφερόμενοι, χείριστοι πάντων, ὡς ἔφην, εἰσίν, ὥστε κἂν βραχὺ πλείονι χρόνῳ διαμείνωσι [2] νεκροί, σήπονταί τε παραχρῆμα, καὶ μοχθηρότατον ὄζουσιν. Ἀηδεῖς δὲ καὶ βρωθῆναι πάντως οὗτοι, καὶ πεφθῆναι· καὶ τὴν μὲν χρησὴν τροφὴν ὀλίγην ἔχουσι, περίττωμα δ' οὐκ ὀλίγον. Οὔκουν θαυμαστόν ἐστιν οὐδ' εἰ κακοχυμίαν ἀθροίζουσιν ἐν τοῖς σώμασι τῶν ὁσημέραι προσφερομένων αὐτούς. Ὄντων δὲ χειρίστων τούτων, ἐξ ὑπεναντίου κάλλιστοι πάντων εἰσίν, ὡς ἔφην, οἱ ἐν τῇ καθαρωτάτῃ θαλάττῃ, καὶ μάλιστ' ὅπου μήτε γεώδεις αἰγιαλοί, μήτε περιλαμβάνουσι τὸ ὕδωρ, ἀλλ' ἤτοι ψαμμώδεις, ἢ τραχεῖς· εἰ δὲ καὶ πρὸς τὰ βόῤῥεια τῶν πνευμάτων εἰσὶν ἐσραμμένοι [3], πολὺ βελτίους. Οὐ σμικρὸν

[1] ἀπορρέοιτό τι τοῦ.—[2] διαμένωσι.—[3] πνευμάτων δ' ἐσραμμένοι.

γὰρ εἰς εὐχυμίαν συντελούντων ἅπαντι ζώῳ τῶν οἰκείων γυμνασίων, ἔτι καὶ τὸ καθαρὸν τοῦ καταμιγνυμένου τῷ ὕδατι πνεύματος αὐξάνει τὴν ἀρετὴν τῆς οὐσίας αὐτῶν. Πρόδηλον δ' ἐκ τῶν εἰρημένων ἀμείνω καὶ κατὰ τοῦτο εἶναι θάλατταν θαλάττης, καθὼς ἤτοι καθαρὰ τελέως ἐστὶν, ἢ δέχεται ποταμοὺς μεγάλους καὶ πολλοὺς, ὥσπερ ὁ Πόντος· οἱ γὰρ ἐν τῇ τοιαύτῃ, καθ' ὅσον πλεονεκτοῦσι τῶν λιμναίων, κατὰ τοσοῦτον ἀπολείπονται τῶν ἐν καθαρᾷ θαλάττῃ διαιτωμένων. Εἰσὶ δὲ καὶ λίμναι τινὲς τοιαῦται, καὶ καλοῦσιν ἐνίας αὐτῶν λιμνοθαλάττας, ἔνθα ποταμὸς μέγας ἐργάζεται λίμνην συνάπτουσαν θαλάττῃ· καὶ χωρὶς δὲ τοῦ λιμνάζειν τὸν ποταμὸν, ὅπου περ ἂν τῇ θαλάττῃ μιγνύηται [1] πρῶτον, ἐπίμικτόν τε τὸ ὕδωρ ἐστὶν ἐξ ἁλμυροῦ τε καὶ γλυκέος, ἥτε σὰρξ τῶν ἐν αὐτῷ διαιτωμένων ἰχθύων ἐν τῷ μεταξὺ τῶν τε ποταμίων καὶ τῶν θαλαττίων ἰχθύων γίνεται. Κοινὸς δ' ὁ λόγος οὗτος ἔστω σοι καὶ τῶν ἄλλων [2], ὅσοι γε κατὰ ποταμοὺς καὶ λίμνας καὶ θάλατταν [3] ἰχθύες γίνονται· τὸ γὰρ πολὺ πλῆθος αὐτῶν [4] οὐκ ἐπαμφοτερίζει, τῶν μὲν θαλαττίων φευγόντων τὸ ποτάμιον ὕδωρ, τῶν δὲ ποταμίων ἢ λιμναίων τὸ θαλάττιον. Ἀλλ' ὅ γε Κέφαλος ἁπάντων μάλιστα τοῖς ὕδασιν ἀμφοτέροις χρᾶται, καὶ φύσιν ἔχει πρὸς ἄναντες τὸ ῥεῦμα τοῦ ποταμοῦ χωρεῖν, ἐπὶ πλεῖστον ἀφισάμενος τῆς θαλάττης. Οὗτος μὲν [5] ὁ Κέφαλος τὰς πολλὰς καὶ μικρὰς ἀκάνθας οὐκ ἔχει, καθάπερ οὐδ' ἄλλος τις τῶν θαλαττίων· ὁ δ' ἐκ ποταμῶν ἢ λιμνῶν ἐπεμβαίνων θαλάττῃ, παραπλησίως τοῖς ὁμογενέσι μεσὸς τῶν τοιούτων ἀκανθῶν ἐστι. Σχεδὸν γὰρ ἅπασι τοῖς ἐν λίμναις καὶ ποταμοῖς γεννωμένοις ἰχθύσιν ἡ σὰρξ λεπτῶν μεσὴ ἀκανθῶν εὑρίσκεται, τῶν θαλαττίων οὐκ ἐχόντων αὐτάς. Καθ' ὃν γὰρ ἂν τόπον ἧ μεγάλου [6] ποταμοῦ σῶμα συνάπτον θα-

[1] μίγνυται. — [2] Ἴσ. γρ. καὶ ἐπὶ τῶν ἄλλων. — [3] θαλάττην. — [4] αὐτόν. — [5] Ἴσ. γρ. Οὗτος μὲν οὖν. — [6] ἢ μεγάλου.

λάττῃ, τινὲς μὲν τῶν ποταμίων [1] ἰχθύων ἐν τῇ θαλάττῃ, τινὲς δὲ τῶν θαλαττίων ἐν τῷ ποταμῷ θηρεύονται, γνωριζόμενοι τῷ τὰς εἰρημένας ἀκάνθας ἤτοι πολλὰς ἔχειν, ἢ οὐδ' ὅλως. Ὀλίγοι μὲν οὖν τῶν ποταμίων ἐπεμβαίνουσι τῇ θαλάττῃ, πάντες δὲ οἱ θαλάττιοι χαίρουσι τοῖς ποταμοῖς. Εὐθὺς δὲ καὶ ἡ γεῦσις ἐσθίοντί σοι γνωρίσει τὸν ἀμείνω Κέφαλον· θριμυτέρα γάρ ἐστιν αὐτοῦ καὶ ἡδίων καὶ ἀλιπὴς ἡ σάρξ· οἱ δὲ λιπαροὶ καὶ κατὰ τὴν γεῦσιν ἔκλυτοι, χείρους μέν εἰσι καὶ εἰς αὐτὴν τὴν ἐδωδήν, χείρους δὲ καὶ πεφθῆναι, καὶ κακοστόμαχοι, καὶ κακόχυμοι· διὸ καὶ σὺν ὀριγάνῳ σκευάζουσιν αὐτούς. Ἔνιοι δὲ τῶν παρ' ἡμῖν ἀνθρώπων τοὺς ἐν τοῖς ποταμοῖς γεννωμένους ἰχθύας, Λευκίσκους καλοῦσιν, ἕτερον εἶναι νομίζοντες αὐτοὺς εἶδος τῶν Κεφάλων. Ἔστι δὲ τἄλλα μὲν ὅμοιον πάντη τὸ ζῶον τῷ ζώῳ, λευκότερον δὲ βραχεῖ, καὶ τὴν κεφαλὴν ἔχον μικροτέραν, καὶ τὴν γεῦσιν ὀξυτέραν [2]· ἡ δὲ δύναμις τῆς ἀπ' αὐτοῦ τροφῆς, οἵαν ἔμπροσθεν εἶπον εἶναι τῶν ποταμίων κεφαλῶν· ὥσθ' ὑπὲρ ὀνόματος, οὐ πράγματος, ἡ ἀμφισβήτησις. Ὃ δὲ τούτου χρησιμώτερόν ἐστιν ἐπίσασθαι, καὶ δὴ φράσω. Τῶν ταριχευομένων ἐστὶν οὗτος ἰχθύων [3], καὶ γίνεται πολὺ κρείττων ἑαυτοῦ σκευασθεὶς οὕτως ὁ λιμναῖος· ἀποτίθεται [4] γὰρ ἅπαν τὸ βλενῶδές τε καὶ βρομῶδες ἐν τῇ γεύσει [5]. Καλλίων δὲ τοῦ πλείονι [6] τῷ χρόνῳ ταριχευθέντος ὁ νεαλής. Ἀλλὰ περί γε τῶν ταριχευομένων ἰχθύων ὀλίγον ὕστερον εἰρήσεται κοινῇ, καθάπερ γε καὶ περὶ τῶν ἑωλιζομένων ἐν χειμῶνι.

ΠΕΡΙ ΛΑΒΡΑΚΟΣ [7].

Τοῦτον τὸν ἰχθὺν [8] οὐ τεθέαμαι γεννώμενον ἐν γλυκέσιν ὕδασιν· ἐκ μέντοι τῆς θαλάσσης ἐπαναβαίνοντα ποταμοῖς ἢ

[1] μὲν ποταμίων.—[2] Ἰσ. τὰς σημ.—[3] ἰχθύς.—[4] ἀποτίθενται.—[5] Ἰσ. γρ. ταριχεύσει.—[6] δὲ πλείονι.—[7] ΛΑΥΡΑΚΟΣ.—[8] Τοῦτον ἰχθύν.

λίμναις ἑώρακα· διὸ καὶ μικρὸς ὀλιγάκις εὑρίσκεται, καθάπερ ὁ Κέφαλος πολλάκις. Οὐ φεύγει δὲ οὐδὲ τὰς λιμνοθαλάσσας καὶ τὰ ῥόματα τῶν ποταμῶν, καί τοι πελάγιος ὤν· τουτὶ γὰρ τοὔνομα τίθενται τοῖς εἰς τὸ βάθος [1] ἀποχωροῦσιν. Ἡ γε μὴν τροφὴ ἐκ τούτου τε κἀκ τῶν ἄλλων ἰχθύων, αἵματός ἐσι γεννητικὴ λεπτοτέρου τῇ συῤῥάσει τοῦ ἐκ τῶν πεζῶν ζώων, ὡς μήτε τρέφειν ὀαψιλῶς, καὶ διαφορεῖσθαι θᾶττον. Ἐπεὶ δὲ τὸ [2] Λεπτότερον ὄνομα, ποτὲ μὲν ἐπὶ δύο πράγμασι παραβαλλομένοις λέγομεν, ἐνίοτε δ' ἄνευ παραβολῆς, ἰῤέον ὅτι πρὸς τὸ μέσον αἷμα τῶν ἄκρων παραβολὴ γίνεται τοῖς ἁπλῶς [3] λεγομένοις· ἄκρα δὲ τῇ κακίᾳ κατὰ τὴν σύῤῥασίν ἐσι τό τε παχὺ, καθάπερ ἡ ὑγρὰ πίττα, τό τε ὀῤῥῶδες οὕτως, ὡς ἐκχυθὲν τῆς φλεβὸς, ἐν τῷ πήγνυσθαι πλεῖσον ἔχειν ὑγρὸν ἐποχούμενον ὑδατῶδες· ἄριῤῥον δὲ, τὸ τούτων ἀκριβῶς μεταξὺ γινόμενον [4], ἐξ ἄρτου τε τοῦ καλλιῤῥα κατεσκευασμένου [5], περὶ οὗ κατὰ τὸ πρῶτον εἴρηται γράμμα, καὶ τῶν πτηνῶν, ὧν εἴρηται, ζώων ἐκ πέρδικός τε καὶ τῶν ἄλλων παραπλησίων. Ἐγγὺς δὲ τούτων εἰσὶ καὶ τῶν θαλαττίων οἱ πελάγιοι τῶν ἰχθύων.

ΠΕΡΙ ΤΡΙΓΛΗΣ.

Ἔστι μὲν καὶ ἥδε [6] τῶν πελαγίων ἰχθύων, τετίμηται δ' ὑπὸ τῶν ἀνθρώπων ὡς τῶν ἄλλων ὑπερέχουσα τῇ κατὰ τὴν ἐδωδὴν ἡδονῇ [7]· σκληροτέραν [8] δὲ σχεδὸν ἁπάντων αὐτῶν ἔχει τὴν σάρκα, καὶ ψαθυρὰν ἱκανῶς, ὅπερ σημαίνει ταὐτὸν τῷ μήτε γλίσχρον εἶναί τι, μήτε λιπαρὸν ἐν αὐτῇ. Τρέφει τοιγαροῦν, ὅταν πεφθῇ καλῶς, τῶν ἄλλων ἁπάντων ἰχθύων μᾶλλον. Ἐῤ-

[1] βάθους. — [2] ἐπὶ δὲ τό. — [3] Ἴσ. γρ. ἡ παραβολὴ γίνεται ἐν τοῖς ἁπλῶς. — [4] γενόμενον. — [5] καλλίσου κατασκευασμένου. — [6] ἦγε. — [7] κατὰ τὴν ἡδονὴν ἐδωδῆ. — [8] σκληροτέρα.

ῥέθη δὲ καὶ πρόσθεν, ὡς τὸ σκληρότερον ἔδεσμα παχυμερέστερόν τε καὶ, ὡς ἂν εἴποι τις, μᾶλλον γεῶδες ὑπάρχον, ἀξιολογώτερον τρέφει τῶν ὑγροτέρων τε καὶ μαλακωτέρων [1], ὅταν γε πρὸς τούτῳ [2] δηλονότι καὶ τὴν οὐσίαν οἰκείαν ἔχῃ τῷ τρεφομένῳ σώματι· κρίνεται δ' αὐτὴ διὰ τῆς ἡδονῆς. Ὅσαι γὰρ ἀλλότριαι τροφαὶ ταῖς ὅλαις φύσεσίν εἰσι τῶν τρεφομένων ζώων, ταύτας ἢ οὐδ' ὅλως, ἢ ἀηδῶς ἐσθίει· τῶν γε μὴν οἰκείων, ὥσπερ τὸ ὑγρότερον ἧττον τρέφει, οὕτω πέττεται καὶ ἀναδίδοται ῥᾷον. Ἡ τοίνυν τῆς Τρίγλης σάρξ ἡδεῖα μέν ἐστιν, ὡς ἂν οἰκεία τροφὴ τῇ φύσει τῶν ἀνθρώπων, σκληροτέρα δὲ οὖσα τῶν ἄλλων ἰχθύων, ὅμως ἑκάστης ἡμέρας ἐσθίεσθαι δύναται, διότι ψαθυρὰ καὶ ἀλιπής ἐστι, καί τι δριμύτητος ἔχει. Τὰ γὰρ λιπαρὰ καὶ γλίσχρα, καὶ κατὰ τὴν πρώτην μὲν εὐθέως ἐδωδὴν ἐμπίπλησί τε ταχέως, ἀνατρέπει τε τὴν ὄρεξιν, ἔτι δὲ μᾶλλον οὐχ ὑπομένομεν αὐτῶν [3] τὴν ἐδωδὴν ἐφεξῆς ἡμέραις πλείοσι. Τό γε μὴν ἧπαρ τῆς Τρίγλης οἱ λίχνοι τεθαυμάκασιν ἡδονῆς ἕνεκεν· ἔνιοι δ' οὐδὲ καθ' ἑαυτὸ δικαιοῦσιν ἐσθίειν αὐτό, παρασκευάσαντες δ' ἐν ἀγγείῳ τὸ καλούμενον Γαρέλαιον [4], ἔχον οἴνου βραχύ τι, καταθρύπτουσιν [5] ἐν αὐτῷ τὸ σπλάγχνον, ὡς γίνεσθαι [6] τὸ σύμπαν ἐξ αὐτοῦ τε καὶ τῶν προπαρεσκευασμένων ὑγρῶν ἕνα χυμὸν ὁμοιομερῆ πρός γε τὴν αἴσθησιν, ἐν ᾧ τὰς τῆς Τρίγλης σάρκας ἀποβάπτοντες ἐσθίουσιν. Ἔμοι γε μὴν οὐθ' ἡδονὴν [7] ἔδοξεν ἔχειν ἀξίαν τῆς τοιαύτης τιμῆς, οὔτ' ὠφέλειαν τῷ σώματι, καθάπερ οὐδὲ ἡ κεφαλή· καίτοι καὶ ταύτην ἐπαινοῦσιν οἱ λίχνοι, καὶ φασὶ τὰ δεύτερα φέρεσθαι μετὰ τὸ ἧπαρ. Οὐ μὴν οὐδὲ διά τι τὰς μεγίστας τρίγλας ὠνοῦνται πάμπολλοι, δύναμαι γνῶναι, μήθ' ἡδεῖαν ὁμοίως ταῖς μικροτέραις ἐχούσας [8] τὴν

[1] τρέφει ὑγροτέρων τε καὶ μαλακώτερον.—[2] πρὸ τοῦτο.—[3] αὐτοῦ. [4] παρέλαιον.—[5] καταθρίπτουσιν.—[6] γενέσθαι.—[7] Ἐμοὶ δὲ μὲν οὐδ' ἡδονήν.—[8] ἐχούσαις.

σάρκα, μήτ' εὔπεπτον, ὡς ἂν ἱκανῶς σκληράν. Ὥςε διὰ τοῦτό τινα τῶν ἀργυρίου παμπόλλου τὰς μεγάλας τρίγλας ὠνουμένων [1] ἠρόμην τίς ποτέ ἐςιν ἡ αἰτία τῆς ἀφ' ἑαυτῶν [2] σπουδῆς· ὁ δ' ἀπεκρίνατό μοι, μάλιςα μὲν διὰ τὸ ἥπαρ ὠνεῖσθαι τὰς τηλικαύτας, ἤδη δὲ καὶ διὰ τὴν κεφαλήν. Ἀλλὰ γὰρ ἀρκεῖ μέχρι τοσούτου περὶ τῶν τριγλῶν εἰρῆσθαι τῇ πρὸς τὸ χρήσιμον οἰκειότητι τοῦ λόγου. Γίγνονται δ' ἄριςαι τρίγλαι κατὰ τὴν καθαρὰν θάλασσαν, ὥςπερ καὶ οἱ ἄλλοι πάντες ἰχθύες, οὐχ ἥκιςα δὲ καὶ διὰ τὰς τροφάς· αἱ γοῦν τὰς καρκινάδας ἐσθίουσαι, καὶ δυσώδεις εἰσὶ καὶ ἀηδεῖς καὶ δύσπεπτοι καὶ κακόχυμοι. Διάγνωσις δ' αὐτῶν, πρὶν μὲν ἐσθίειν, ἀναπτύξαντι τὴν κοιλίαν· ἐσθίοντι δὲ, κατὰ τὴν πρώτην εὐθέως ὀσμήν τε καὶ γεῦσιν.

ΠΕΡΙ ΤΩΝ ΠΕΤΡΑΙΩΝ ΙΧΘΥΩΝ.

Σκάρους, Κοττύφους, Κίχλας, Ἰουλίδας, Φυκίδας, Πέρκας, πετραίους ὀνομάζουσιν ἰχθύας, ἀπὸ τῶν χωρίων ἐν οἷς εὑρίσκονται διατρίβοντες· οὐ γὰρ ἐν τοῖς λείοις, ἢ ψαμμώδεσιν, ἢ γεώδεσιν αἰγιαλοῖς, ἀλλ', ἔνθα πέτραι τινές εἰσι καὶ ἀκταὶ, φωλεύουσί τε καὶ τεκνοῦσιν. Ἄριςος δ' ἐν αὐτοῖς ἡδονῆς ἕνεκεν ὁ Σκάρος εἶναι πεπίςευται· μετ' αὐτὸν δὲ Κόττυφοί τε καὶ Κίχλαι, καὶ μετὰ τούτους Ἰουλίδες τε καὶ Φυκίδες καὶ Πέρκαι. Τροφὴ δ' ἐξ [3] αὐτῶν, οὐ μόνον εὔπεπτος, ἀλλὰ καὶ ὑγιεινοτάτη τοῖς τῶν ἀνθρώπων σώμασίν ἐςιν, αἷμα γεννώντων μέσον τῇ συςάσει· καλῶ δὲ Μέσον, ὃ μήτε πάνυ λεπτόν ἐςι καὶ ὑδατῶδες, ἀλλὰ μήθ' ἱκανῶς παχύ. Πλάτος δ' ἀξιόλογον ἔχοντος τοῦ μέσου, περὶ τῶν ἐν αὐτῷ διαφορῶν ἐπὶ προήκοντι τῷ λόγῳ λεχθήσεται.

[1] ὠνημένων. — [2] Ἰσ. γρ. τῆς ἀμφ' αὐτῶν [τουτέςι τῶν τριγλῶν], ἤ, τῆς ἐπὶ τοσοῦτον. — [3] Ἰσ. γρ. Τροφὴ δ' ἡ ἐξ.

ΠΕΡΙ ΚΩΒΙΟΥ.

Αἰγιάλιος δὲ ἰχθύς ἐστιν οὗτος, τῶν σμικρῶν ἀεὶ διαμενόντων εἴς τις ὢν καὶ οὗτος. Ἄριστος δ' εἰς ἡδονὴν καὶ πέψιν ἅμα, ἀνάδοσίν τε καὶ εὐχυμίαν, ἐστὶν ὁ κατὰ τοὺς ψαμμώδεις αἰγιαλοὺς, ἢ τὰς πετρώδεις ἀκτάς. Ὁ δ' ἐν τοῖς στόμασι τῶν ποταμῶν, ἢ λιμνοθαλάσσαις, οὔθ' ἡδὺς ὁμοίως, οὔτ' εὔχυμος, οὔτ' εὔπεπτος. Εἰ δὲ καὶ ἰλυώδες ὑπάρχει τὸ ὕδωρ, ἢ πόλιν ἐκκαθαίρων ὁ ποταμὸς, οὕτω μὲν ἂν εἴη χείριστος ὁ κατ' αὐτὸν Κωβίος, ὥσπερ οἱ ἄλλοι πάντες ἰχθύες οἱ ἐν τοιούτοις ὕδασι [1] διατρίβοντες. Εἰκότως οὖν ἐν μὲν τοῖς πετραίοις ἰχθύσιν οὐδεμία σαφὴς ἐστὶ διαφορὰ τῶν ὁμοειδῶν πρὸς ἀλλήλους, ὡς ἂν ἐν καθαρωτάτῃ θαλάττῃ διαιτωμένοις ἀεὶ, φεύγουσί τε τὸ γλυκύτατον ὕδωρ, τό τε συμμιγὲς ἐκ τοῦ τοιούτου τε [2] καὶ τοῦ θαλαττίου [3]. Δευτέροις δὲ μετὰ τούσδε τοῖς πελαγίοις ὑπάρχει ταὐτόν· οὐδὲ γὰρ οὐδ' οὗτοι διαφορὰν ἀλλήλοις [4] ἔχουσι μεγάλην, ὁποίαν οἱ διατρίβοντες ἐν ἀμφοτέροις τοῖς ὕδασι. Τούτων γὰρ οἱ μὲν ἐν τῇ καθαρωτάτῃ θαλάττῃ, κάλλιστοι τῶν ὁμοειδῶν εἰσιν· οἱ δ' ἐν τοῖς ἐκκαθαίρουσι τὰς πόλεις ποταμοῖς, ἁπάντων χείριστοι· μέσοι δ' αὐτῶν οἱ μεταξύ. Λέλεκται δὲ ταῦτα καὶ διὰ τῶν ἔμπροσθεν, ἡνίκα περὶ Κεφάλου τὸν λόγον ἐποιούμην. Ἡ γε μὴν σὰρξ τῶν Κωβίων, ὥσπερ σκληροτέρα τῆς τῶν πετραίων ἐστὶν, οὕτω μαλακωτέρα τῆς τῶν Τριγλῶν. Ἀνάλογον οὖν αὐτῇ καὶ τὸ τῶν ἐσθιόντων σῶμα τρέφεται.

ΠΕΡΙ ΤΩΝ ΜΑΛΑΚΟΣΑΡΚΩΝ ΙΧΘΥΩΝ.

Φιλότιμος ἐν τῷ τρίτῳ Περὶ τροφῆς, περὶ τῶν μαλακοσάρκων ἰχθύων οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι· « Κωβίοι δὲ

[1] οἱ ἐν τοῖς ὕδασι.—[2] Ἴσ. γρ. ἐκ τούτου τε.—[3] καὶ θαλαττίου. —[4] Ἴσ. γρ. ἐν ἀλλήλοις.

» καὶ Φυκίδες [1], καὶ Ἰουλίδες, καὶ Πέρκαι, καὶ Σμύραιναι,
» καὶ Κίχλαι, καὶ Κόσσυφοι, καὶ Σαῦροι [2], καὶ πάλιν, Ὄνοι,
» καὶ πρὸς τούτοις Ἀμίαι [3], καὶ Ψῆτται, καὶ Ἵπατοι, καὶ
» Κίθαροι, καὶ Σκινίδες, καὶ πᾶν τὸ τῶν ἀπαλοσάρκων γένος,
» εὐκατεργαστότερόν ἐστι τῶν ἄλλων ἰχθύων ». Ἄξιον οὖν ἐστι θαυμάσαι πῶς τοὺς Σκάρους παρέλιπε πρωτεύοντας ἐν τῷ γένει τῶν πετραίων ἰχθύων, οἷς πᾶσιν ὑπάρχει ψαθυρωτάτην τε καὶ μαλακωτάτην ἔχειν τὴν σάρκα τῶν ἄλλων ἰχθύων. Ἔνιοι μὲν γὰρ αὐτῶν, ἀπαλόσαρκοι μέν εἰσιν, ἀλλ' οὐκ ἔχουσι τὸ ψαθυρὸν, ἐμφερομένου τινὸς αὐτοῖς γλίσχρου τε καὶ λιπαροῦ χυμοῦ· ὅμοιοί τε κατὰ τοῦτο τοῖς πετραίοις ὄντες, ἐν τῇ σκληρότητι τῆς σαρκὸς αὐτῶν διαλλάττουσι. Τοιοῦτοι μὲν οὖν οἱ πελάγιοι σχεδὸν ἅπαντές εἰσι, πλὴν εἴ τινες αὐτῶν ὑπὸ μοχθηρᾶς τροφῆς διαφθείρουσι τὴν σάρκα, καθάπερ αἱ τὰς Καρκινάδας ἐσθίουσαι Τρίγλαι· ζωύφια δ' ἔστι ταῦτα πάνυ σμικροῖς Καρκίνοις ἐοικότα, ξανθὰ τὴν χρόαν. Οἱ πετραῖοι δ' ἰχθύες, οὔτε ποικίλαις τροφαῖς χρῶνται, οὔτε χωρίοις διαφέρουσιν, οὔθ' ὕδασι γλυκέσι· καὶ διὰ ταῦτ' ἄμεμπτοι πάντες εἰσὶ διαπαντός. Οὓς δ' Ὄνους μὲν ἐκάλεσεν ὁ Φιλότιμος, Ὀνίσκους δ' ὀνομάζουσιν ἄλλοι, τροφῇ μὲν ἀγαθῇ χρώμενοι καὶ θαλάττῃ καθαρᾷ, τοῖς πετραίοις γ' ἐναμιλλον ἔχουσι τὴν σάρκα, μοχθηρᾷ δὲ τροφῇ χρησάμενοι, καὶ κατά τι τῶν ἐπιμίκτων ὑδάτων, καὶ μάλισθ' ὅσα μοχθηρὰ, διατρίψαντες, οὐκ ἀποβάλλουσι μὲν τὴν μαλακότητα τῆς σαρκὸς, ἐπικτῶνται δὲ λιπαρότητα καὶ γλισχρότητα, καθ' ἣν οὔτε ἡδεῖς ὁμοίως ἔτι διαμένουσι, περιττωματικήν τε [4] τὴν ἐξ αὐτῶν ἀναδιδόασι τροφήν. Ἐπὶ πάντων δὲ ἰχθύων, ὡς ἔφην, κοινὸν τοῦτο μεμνῆσθαι προσήκει, ὡς χείριστοι γεννῶνται κατὰ τὰς ἐμβολὰς τῶν ποταμῶν, ὅσοι κοπρῶνας καθαίρουσιν, ἢ

[1] Φῦκες. — [2] Σαυροί. — [3] Ἀμύαι. — [4] περιττωματικὴν δέ.

μαγειρεῖα καὶ βαλανεῖα, ἢ τὸν τῆς ἐσθῆτός τε [1] καὶ τῶν ὀθονίων ῥῦπον, ὅσα τ' ἄλλα τῆς πόλεώς εἰσιν, ἣν διαῤῥέουσι [2], καθάρσεως δεόμενα, καὶ μάλισθ' ὅταν ᾖ πολυάνθρωπος ἡ πόλις. Μοχθηροτάτη δ' εὑρίσκεται καὶ τῆς Σμυραίνης [3] ἡ σὰρξ ἐν ὕδατι τοιούτῳ διατριβούσης· καίτοι γ' οὔτε ποταμοῖς ἐπεμβαίνουσάν ἐστιν εὑρεῖν αὐτὴν, οὔτ' ἐν λίμνῃ γεννωμένην, ἀλλ' ὅμως καὶ αὕτη [4] χειρίστη γίνεται κατὰ τὰς ἐμβολὰς τῶν τοιούτων ποταμῶν, ὁποῖός ἐστιν ὁ διὰ Ῥώμης ῥέων· καὶ διὰ τοῦτο εὐωνοτάτη πιπράσκεται κατὰ τὴν πόλιν τήνδε σχεδὸν ἁπάντων μόνη τῶν ἐκ θαλάττης, ὥσπερ γε καὶ οἱ κατὰ τὸν ποταμὸν αὐτὸν ἰχθύες γενόμενοι [5]· καλοῦσι δ' αὐτοὺς ἔνιοι Τιβερίνους, ὡς ἰδίαν ἔχοντας ἰδέαν οὐδενὶ τῶν θαλαττίων ὁμοίαν. Ὅτι δὲ ἡ τῶν ἐκ τῆς πόλεως ἐπιῤῥεόντων ἐπιμιξία μοχθηροτάτους αὐτοὺς ἐργάζεται, μαθεῖν ἐστιν ἐκ τοῦ βελτίους εἶναι τοὺς ἐν αὐτῷ τῷ ποταμῷ γεννωμένους πρὶν εἰς τὴν πόλιν ἀφικέσθαι. Καὶ μέντοι καὶ ἄλλος τις ποταμὸς, ὀνομαζόμενος Νὰρ, παρεμβάλλων εἰς τὸν Τίβεριν, ὡς ἀπὸ πεντήκοντα καὶ τριακοσίων σταδίων, ἰχθὺν ἔχει πολὺ βελτίω αὐτοῦ τοῦ κατὰ [6] τὸν Τίβεριν, ἐπειδὴ καὶ μέγας ἐστὶν εὐθὺς ἀπὸ τῶν πηγῶν, καὶ καθαρὸς διαμένει κάταντες τὸ ῥεῦμα ἔχων καὶ ὀξὺ μέχρι τοῦ Τιβέρεως, ὡς μηδαμόθεν μηδ' ἐπὶ βραχὺ λιμνάζειν. Ὅσοι μὲν οὖν ἐκ συνηθείας ἐμπειρίαν ἔχουσι τῶν ἐπιχωρίων ἰχθύων, οὐ δέονται τῶν εἰρημένων ἄρτι γνωρισμάτων εἰς τὴν διάγνωσιν αὐτῶν· ὅσοι δ' ἀήθεις εἰσὶν, εἴτ' οὖν ἐξ ἄλλης πόλεως ἥκοντες, εἴτ' ἐπιχώριοι, τὰ τοιαῦτα προεξεταζέτωσαν [7] εὐθέως ἀπ' ἀρχῆς πρὶν διὰ τῆς οἰκείας πείρας εἰς γνῶσιν ἀφικέσθαι τῆς φύσεως ἑκάστου τῶν ἰχθύων. Ἐχρῆν οὖν οὐχ ἁπλῶς μεμνημονευκέναι τῶν ἁπαλοσάρκων ἰχθύων ἁπάντων ἅμα τὸν Φιλότιμον, οὐδ' ἀναμίξαι τοῖς

[1] ἢ τῶν ἐσθῆτός τε. — [2] διαρέουσι. — [3] Μυραίνης. — [4] καὶ αὐτή. — [5] γεννόμενοι. — [6] αὐτοῦ κατά. — [7] προσεξεταζέτωσαν.

ἄλλοις

ἄλλοις τοὺς πετραίους ἀδιορίστως. Οὗτοι μὲν γὰρ ἄριστοι διὰ παντὸς ὑπάρχουσιν· οὔτε δ' Ὀνίσκος, οὔτε Σμύραινα, καθάπερ οὐδ' οἱ Κωβίοι· καὶ γὰρ τούτων ἔνιοι μὲν ἐν ποταμοῖς καὶ λίμναις, ἔνιοι δ' ἐν θαλάττῃ γίγνονται, τινὲς δ' ἐν λιμνοθαλάσσαις καλουμέναις, ἢ ὅλως ἐν ἐπιμίκτοις ὕδασιν, ἔνθα ποταμοῦ μεγάλου ῥόμα συνάπτει τῇ θαλάττῃ [1]. Πάμπολυ τοίνυν ἀλλήλων διαφέρουσιν οἱ κατὰ μέρος, ὥσπερ γε καὶ οἱ Κέφαλοι, καὶ αἱ Σμύραιναι· καὶ οἱ Ὀνίσκοι δὲ, τούτων μὲν ἧττον, οὐ σμικρῷ δ' ἀλλήλων οὐδ' οὗτοι παραλλάττουσιν· οὐ μὴν ὁμοίως γε [2] μαλακὴν ἔχουσι σάρκα τούτοις καὶ τοῖς πετραίοις ἰχθύσιν οἱ Κωβίοι, καθάπερ οὐδὲ Σκινίδες ἢ Σκίαιναι (διττῶς γὰρ ὀνομάζονται). Περὶ δὲ τῶν Κιθάρων, καὶ πάνυ θαυμάζω τοῦ Φιλοτίμου· παραπλήσιος γὰρ ὢν ὁ Ῥόμβος, αὐτῶν μαλακωτέραν ἔχει τὴν σάρκα, τῶν Ὀνίσκων ἀπολειπόμενος οὐκ ὀλίγῳ. Καὶ τούτους οὖν, καὶ τοὺς Ἡπάτους καλουμένους, καὶ τοὺς ἄλλους ὅσους ἔμιξε τοῖς πετραίοις τε καὶ τοῖς Ὀνίσκοις ὁ Φιλότιμος, ἐν τῷ μέσῳ καθεσηκέναι γίνωσκε τῶν θ' ἁπαλοσάρκων καὶ τῶν σκληροσάρκων· οὔπω μὲν γάρ εἰσι σκληρόσαρκοι, τῶν ἀκριβῶς δὲ ἁπαλοσάρκων ἀπολείπονται. Παρέλιπε δ' ἐν τούτοις ὁ Φιλότιμος καὶ τὸ Βούγλωττον, ὥσπερ ἐν τοῖς πετραίοις τὸν Σκάρον, εἰ μή τι ἄρα τῷ τῆς Ψήττης ὀνόματι καὶ κατὰ τῶν Βουγλώττων ἐχρήσατο· παραπλήσια μὲν γάρ πως ἐστὶν, οὐ μὴν ἀκριβῶς ὁμοειδῆ Βούγλωττόν τε καὶ Ψῆττα· μαλακώτερον γάρ ἐστι καὶ ἥδιον εἰς ἐδωδὴν, καὶ παντὶ βέλτιον, τὸ Βούγλωττον τῆς Ψήττης. Ἀλλὰ καὶ οἱ Σαῦροι μέσοι πώς εἰσι τῶν ἁπαλοσάρκων τε καὶ σκληροσάρκων. Οὐ μὴν δεῖταί γέ τις τῶν εἰρημένων ἰχθύων οὔτ' ὄξους, οὔτε νάπυος, οὔτ' ὀριγάνου, καθάπερ οἱ λιπαροὶ καὶ γλίσχροι καὶ σκληροί· καὶ μέντοι καὶ χρῶνται τινὲς μὲν ταγηνίζοντες αὐτοὺς, τινὲς δὲ ὀπτῶντες, οἱ δὲ ἐν [3] ταῖς λο-

[1] συνάπτεται θαλάττῃ.—[2] ὁμοίως δέ.—[3] ἢ δὲ ἐν.

πάσι σκευάζοντες, ὥσπερ τοὺς Ῥόμβους τε καὶ Κιθάρους. Ἀλλ' αἱ μὲν τῶν μαγειρικῶν λοπάδων σκευασίαι τοὐπίπαν ἀπεψίας εἰσὶν αἴτιαι· καλλισται δ' εἰσὶν εἰς πέψιν αἱ διὰ τοῦ λευκοῦ ζωμοῦ. Γίγνεται δὲ οὗτος, ὅταν, ὕδατος δαψιλοῦ ἐμβληθέντος, ἐλαίου τις αὔταρκες ἐπιχέας, ἀνήθου τε καὶ πράσου μικρὸν, εἶθ' ἡμιέφθους ποιήσας ἐπιβάλλοι [1] τοσοῦτον ἁλῶν, ὡς μηδέπω φαίνεσθαι τὸν ὅλον ζωμὸν ἁλμυρόν. Αὕτη καὶ τοῖς νοσηλευομένοις ἐπιτήδειος ἡ σκευασία· τοῖς δ' ἀμέμπτως ὑγιαίνουσι καὶ ἡ διὰ τοῦ ταγήνου [2], καὶ μετ' αὐτὴν ἡ τῶν ἐπὶ τῆς ἐσχάρας ὀπτηθέντων· ἀλλ' αὕτη [3] μὲν ἐλαίου καὶ γάρου δεῖται μετὰ βραχέος οἴνου· τοῖς δὲ ταγηνισθεῖσιν ἁρμόττει πλέον ἔχειν, ἢ κατὰ τούτους, οἴνου τε καὶ γάρου, βραχέος ἐπιχυθέντος ἐλαίου. Τοῖς δ' ἀνατρεπομένοις ἐπὶ τῷδε τὸν σόμαχον, ἕτοιμον ἔσω παρακείμενον ὄξος, ὀλίγον ἔχον ἐν ἑαυτῷ γάρου τε καὶ πεπέρεως· μεταβαίνοντες γὰρ ἐπὶ τὴν διὰ τούτων ἐδωδὴν ἄμεινόν τε πέττουσι, καὶ πρὸς τὴν διαχώρησιν οὐδὲν βλάπτονται, δι' ἣν μάλισά τινες ἐξ οἴνου καὶ γάρου τὰ ταγηνισθέντα [4] προσφέρονται, πεπέρεως μὲν ἐπεμβάλλοντες οἱ πλείους, ὀλίγοι δ' ἐλαίου. Τινὲς δ' ἐκ τῶν εἰρημένων ἰχθύων, ἐπειδὰν ταγηνισθῶσιν, ὀλίγοις ἁλσὶ περιπασθέντες ἥδιστοί τε ἅμα βρωθῆναι, καὶ πεφθῆναι γίνονται [5] βελτίους, εὐστομαχώτεροί τε πάσης ἄλλης σκευασίας. Ἁπάντων δὲ τῶν εἰρημένων ἰχθύων ἡ τροφὴ καλλίστη τοῖς τε μὴ γυμναζομένοις [6] ἐστὶ, καὶ τοῖς γέρουσι 7 καὶ ἀσθενέσι, καὶ τοῖς νοσηλευομένοις· οἱ γυμναζόμενοι δὲ τροφιμωτέρων ἐδεσμάτων δέονται, περὶ ὧν ἔμπροσθεν εἴρηται. Λέλεκται δ' ἤδη πολλάκις ἡ μαλακὴ καὶ ψαθυρὰ τροφὴ πρὸς ὑγείαν ὑπάρχειν ἀρίστη, διότι καὶ εὐχυμοτάτη πασῶν ἐστιν· οὐδὲν δ' εὐχυμίας εἰς ὑγείαν ἀσφαλῆ μεῖζον ἐφόδιον.

[1] Ἴσ. γρ. ἐπιβάλοι.—[2] ταγῆνος.—[3] αὐτή.—[4] γάρου ταγηνισθέντα.—[5] γίνεται.—[6] γυμνασαμένοις.—7 καὶ γέρουσι. ΔΓ, καὶ ἀργοῦσι.

ΠΕΡΙ ΤΩΝ ΣΚΛΗΡΟΣΑΡΚΩΝ ΙΧΘΥΩΝ.

Καὶ περὶ τούτων ἔγραψεν ὁ Φιλότιμος κατὰ λέξιν οὕτως ἐν τῷ δευτέρῳ Περὶ τροφῆς· « Δράκοντές τε, καὶ Κόκκυγες, καὶ » Γαλεώνυμοι, καὶ Σκορπίοι, καὶ Φάγροι [1], καὶ πρὸς τούτοις » ἔτι καὶ Τραχοῦροι [2], καὶ Τρίγλαι, καὶ πάλιν Ὀρφοί τε καὶ » Γλαῦκοι, καὶ Σκάροι, καὶ Κύνες, καὶ Γόγγροι, καὶ Λαμίαι [3], » καὶ Ἀετοὶ [4], καὶ Ζύγαιναι, καὶ πάντες οἱ σκληρόσαρκοι, » δυσκατέργαστοί τ' εἰσὶ, καὶ παχεῖς καὶ ἁλυκοὺς ἀναδιδόασι » χυμούς ». Αὕτη μὲν ἡ τοῦ Φιλοτίμου ῥῆσις· ἐπισκεψώμεθα δ' ἕκαστον τῶν κατ' αὐτὴν εἰρημένων ἀπὸ τῆς ἀρχῆς. Οἱ μὲν Δράκοντες καὶ οἱ Κόκκυγες ἐναργῶς ἅπασι φαίνονται τοῖς προσενεγκαμένοις αὐτοὺς σκληρὰν ἔχοντες τὴν σάρκα. Τῶν Γαλεῶν δ' οὐχ ἓν εἶδός ἐστιν· ὁ γάρ τοι παρὰ Ῥωμαίοις ἐντιμότατος ἰχθὺς, ὃν ὀνομάζουσι Γαλαξίαν, ἐκ τοῦ τῶν Γαλεῶν ἐστι γένους, ὃς οὐδὲ [5] γενναῖσθαι δοκεῖ κατὰ τὴν Ἑλληνικὴν θάλασσαν· καὶ κατὰ τοῦτό γε καὶ ὁ Φιλότιμος αὐτὸν ἠγνοηκέναι φαίνεται. Γέγραπται μέντοι διττῶς ἐν τοῖς ἀντιγράφοις τοὔνομα, Γαλεοὶ μὲν ἐν τρισὶ συλλαβαῖς κατ' ἔνια, Γαλεώνυμοι δὲ, ἐν πέντε, κατ' ἄλλα. Καὶ δηλονότι τῶν ἁπαλοσάρκων ἐστὶν ὁ παρὰ τοῖς Ῥωμαίοις ἔνδοξος Γαλαξίας· οἱ δ' ἄλλοι Γαλεοὶ, σκληρόσαρκοι μᾶλλον εἰσί. Σκορπίους δ' ἐφεξῆς καὶ Τραχούρους, καὶ Τρίγλας, Ὀρφούς τε καὶ Γλαύκους, ὁ Φιλότιμος ἐν τοῖς σκληροσάρκοις ὀρθῶς καταλέγει· Σκάρους δ' αὐτοῖς συγκαταριθμῶν ἁμαρτάνει, τῶν πετραίων ἰχθύων ὄντας. Ἑξῆς δὲ Κύνας ἔγραψεν, οὓς ἐν τοῖς κητώδεσιν ἐχρῆν ἠριθμεῖσθαι, σκληρὰν καὶ περιττωματικὴν ἔχοντας τὴν σάρκα, καὶ διὰ τοῦτο

[1] Φάγγροι. — [2] Ἴσ. γρ. ἔτι Τραχοῦροι. — [3] Ἀμίαι. — [4] Ἰδ. τὰς σημειώσ. — [5] οὐδέν.

τεραχιζομένους τε καὶ ταριχευομένους, ἐδωδήν τε ὄντας ἀνθρώπων τῶν ἐπιτυχόντων· καὶ γὰρ ἀηδεῖς εἰσι καὶ βλενώδεις, καὶ διὰ τοῦτο καὶ διὰ νάπυός τε καὶ ὀξελαίου καὶ τῶν οὕτω δριμέων ὑποτριμμάτων αὐτοὺς ἐσθίουσιν. Ἐκ τούτου δὲ τοῦ γένους εἰσὶ καὶ Φάλαιναι, καὶ Δελφίνες, καὶ Φῶκαι· πλησίον δ' αὐτῶν ἥκουσι καὶ οἱ μεγάλοι Θύννοι, καίτοι τῇ γ' ἡδονῇ τῆς ἐδωδῆς οὐχ ὁμοιοι τοῖς προειρημένοις ὄντες· ἀηδεῖς γὰρ ἐκεῖνοι, καὶ μάλιστα οἱ πρόσφατοι [1], ταριχευθέντες δ' ἀμείνους γίνονται. Τῶν δ' ἐλαττόνων [2] Θύννων κατά τε τὴν ἡλικίαν καὶ τὸ μέγεθος οὔθ' ἡ σὰρξ ὁμοίως σκληρὰ, καὶ πεφθῆναι δηλονότι βελτίους εἰσὶ, καὶ τούτων ἔτι μᾶλλον αἱ Πηλαμίδες, αἳ καὶ ταριχευθεῖσαι τοῖς ἀρίστοις ταρίχοις ἐναμιλλοι γίγνονται. Πλεῖσται δ' ἐκ τοῦ Πόντου κομίζονται, τῶν ἐκ τῆς Σαρδοῦς, καὶ τῶν ἐκ τῆς Ἰβηρίας μόνων [3] ἀπολειπόμεναι· ἐντιμότατον γὰρ δὴ τοῦτο τὸ τάριχος [4] εἰκότως ἐστὶν, ἡδονῆς τε καὶ μαλακότητος ἕνεκα τῆς σαρκός. Ὀνομάζονται δὲ συνήθως ὑπὸ τῶν πάντων ἤδη τὰ τοιαῦτα ταρίχη Σάρδαι [5]. Μετὰ δὲ Σάρδας τε καὶ Πηλαμίδας οἱ ἐκ τοῦ Πόντου κομιζόμενοι Μύλλοι [6] μᾶλλον τετίμηνται, καὶ μετ' αὐτοὺς οἱ Κορακῖνοι. Ταῦτα μὲν οὖν, ὡς ἐν παρέργῳ, περὶ τῶν ταριχευθέντων ἰχθύων εἰρήσθω. Ζυγαινῶν δὲ καλῶς ἐμνημόνευσεν ὁ Φιλότιμος ἐν τοῖς σκληροσάρκοις· ἐχρῆν δὲ καὶ τῆς ἀηδίας αὐτῶν μεμνῆσθαι, καθάπερ γε καὶ τῶν ἄλλων, οὓς ὅλως παρέλιπε. Γόγγρους δὲ καὶ Φάγρους, καὶ Λαμίας [7], καὶ Ἀετοὺς, ὀρθῶς εἶπε σκληροσάρκους εἶναι. Καὶ ἄλλοι δέ τινες, ὡς αὐτὸς ἔφη, τῶν σκληροσάρκων ἰχθύων εἰσίν· ὧν οὐκ εἶπε τὰς προσηγορίας, ὅτι μηδ' ἐν πολλῇ χρήσει τοῖς ἀνθρώποις εἰσίν· ὅθεν ἄμεινόν ἐστιν ἐπισκέψασθαι περὶ τῆς δυνάμεως αὐτῶν, ἐάσαντας [8] τὰς προσηγορίας. Ὅτι μὲν οὖν οἱ σκληρό-

[1] μάλιστα πρόσφατοι.—[2] Ἰδ. τὰς σημ.—[3] Σαρδοῦς, τῶν ἐκ τῆς Ἰβηρίας μόνον.—[4] τάριχον.—[5] Σάρδα.—[6] Μῦλοι.—[7] Ἀμίας.—[8] ἐάσαντες.

σαρκοι δυσκατεργαστότεροι τῶν μαλακοσάρκων εἰσίν, ὀρθῶς εἶπεν ὁ Φιλότιμος· ἤτε γὰρ ἐν τῇ γαστρὶ πέψις, ἤτε καθ' ἕκαστον τῶν τρεφομένων μορίων ἐξομοίωσις, ἐπὶ μὲν τοῖς μαλακωτέροις ῥᾴων ἐστὶν, ἐπὶ δὲ τοῖς σκληροτέροις χαλεπωτέρα. Γίγνεται γὰρ ἀλλοιουμένων αὐτῶν ταῦτα· ῥᾷον δ' ἀλλοιοῦνται τὰ μαλακώτερα, διότι καὶ πάσχειν ἑτοιμότερα· πάθος δ' ἐστὶ τῶν ἀλλοιουμένων ἡ ἀλλοίωσις. Ὀρθῶς οὖν εἶπεν αὐτοὺς δυσκατεργάστους εἶναι· ὀρθῶς δὲ καὶ παχέος χυμοῦ γεννητικούς. Ἡ μὲν γὰρ σκληροτέρα τροφὴ παχυτέραν ἔχει τὴν οὐσίαν, ἡ δὲ μαλακωτέρα λεπτοτέραν. κ. τ. λ.

ΠΕΡΙ ΤΩΝ ΟΣΤΡΑΚΟΔΕΡΜΩΝ ΖΩΩΝ.

Ἐπειδὴ τὸ παριέχον ὅλον τὸ σῶμα, καθάπερ ἀμφίεσμά τι σύμφυτον ἑκάστῳ, καλεῖται δέρμα· κατ' ἀναλογίαν δ' αὐτῷ τὸ κατὰ τοὺς Κήρυκάς ἐστι καὶ τὰς Πορφύρας, Ὄστρεά τε καὶ Χήμας, ὅσα τ' ἄλλα τοιαῦτα, διὰ τοῦτο καλοῦσιν ὀστρακόδερμα ταῦτα τὰ ζῶα· σαφῶς γοῦν [1] ὀστράκῳ παραπλήσιον ἢ λίθῳ τὸ ἔξωθεν αὐτοῖς περικείμενον σκέπασμά ἐστι. Κοινὸν μὲν οὖν ἁπάντων τῶν τοιούτων ἁλυκὸν χυμὸν ἔχειν ἐν τῇ σαρκὶ, λαπακτικὸν τῆς γαστρός· ἴδιον δ' ἑκάστῳ τὸ μᾶλλον τε καὶ ἧττον ἐν τούτῳ κατά γε ποιότητα καὶ ποσότητα. Τὰ μὲν γὰρ Ὄστρεα μαλακωτάτην ἔχει τῶν ἄλλων ὀστρακοδέρμων τὴν σάρκα· τὰ δὲ σμικρὰ Χήμια, καὶ οἱ Σφόνδυλοι, καὶ οἱ Σωλῆνες, καὶ αἱ Πορφύραι, καὶ οἱ Κήρυκες, ὅσα τ' ἄλλα τοιαῦτ' ἐστὶ, σκληράν· Εἰκότως οὖν ὑπάγει μὲν ἐκεῖνα τὴν γαστέρα μᾶλλον, ἧττονα τροφὴν διδόντα τῷ σώματι· τὰ δὲ σκληρότερα, δυσπεπτότερα μέν ἐστι, τρέφει δὲ μᾶλλον. Ἀλλὰ ταῦτα μὲν ἕψεται πάντα, τὰ δὲ Ὄστρεα χωρὶς ἑψήσεως ἐσθίουσιν, ἔνιοι δὲ καὶ ταγηνίζουσιν. Ὥσπερ δὲ δύσπε-

[1] οὖν.

πτον ἔχει τὴν σάρκα τῶν ὀστρακοδέρμων [1] ζώων, οὕτως καὶ δυσδιάφθαρτον· αἱρούμεθά τε διὰ [2] τοῦτο διδόναι πολλάκις αὐτὰ τοῖς διαφθείρουσιν ἐν τῇ κοιλίᾳ τὴν τροφὴν ὑπὸ κακοχυμίας, ἤτοι γ' ἐξ ἥπατος εἰς αὐτὴν καταῤῥεούσης, ἢ περιεχομένης ἐν τοῖς χιτῶσιν αὐτῆς. Ἔχει δὲ πάντα μὲν, ὡς εἶπον, ἁλυκὸν χυμὸν ὑπακτικὸν τῆς γαστρὸς, ἧττονα μέντοι τῶν ὀστρέων τὰ σκληρόσαρκα· διὸ καὶ διδόαμεν αὐτὰ τοῖς διαφθείρουσι τὴν τροφὴν, ἑψῶντες [3] δὶς καὶ τρὶς ἐν ὕδατι καλλίστῳ, μετατιθέντες [4] εἰς τὸ καθαρὸν, ὅταν ἤδη τὸ πρότερον ἁλμυρὸν φαίνηται [5]. Γίνεται δ' ἐξ αὐτῶν ὁ καλούμενος Ὠμὸς χυμὸς πάμπολυς· ἐκ δὲ τῶν μαλακοσάρκων, τὸ φλέγμα. Καθάπερ οὖν ἀποθεμένων αὐτῶν τὸν ἁλυκὸν χυμὸν, ὥσπερ ἡ σαρξ δύσφθαρτος, οὕτω καὶ σαλτικὴ γίνεται τῆς γαστρὸς, ὡσαύτως εἰ, ἀρτύσας [6] δι' ἁλῶν ἢ γάρου, καθάπερ εἰώθασι τὰς Χήμας, ἐκπίοι τις τὸν γινόμενον [7] χυλὸν, ὑπαχθήσεται μὲν ἡ γαστὴρ ἱκανῶς, οὐδεμίαν δὲ τροφὴν ἐξ αὐτοῦ τὸ σῶμα τοῦ ἀνθρώπου λήψεται.

ΤΟΥ ΑΥΤΟΥ

(ἐκ τοῦ Περὶ τροφ. δυνάμ. βιβλ. Β, σελ. 337)

ΠΕΡΙ ΚΟΧΛΙΩΝ.

Ὅτι μὲν οὖν οὔτε ἐν τοῖς πτηνοῖς, οὔτε ἐν τοῖς ἐνύδροις, ἀριθμεῖσθαι δεῖ τοῦτο τὸ ζῶον, ἄντικρυς δῆλον· εἰ δὲ μηδ' ἐν τοῖς πεζοῖς αὐτοῦ μνημονεύσομεν, οὐδόλως ἐροῦμέν τι περὶ τῆς ἐκ Κοχλίου τροφῆς. Οὐμὴν οὐδὲ παραλιπεῖν εὔλογον, ὥσπερ τοὺς ἐκ τῶν ξύλων σκώληκας, ἐχίδνας τε καὶ τοὺς ἄλλους ὄφεις, ὅσα τε κατ' Αἴγυπτον καὶ ἄλλῃ [8] τινὰ τῶν ἐθνῶν ἐσθίουσιν·

[1] Ἴσ. γρ. τὴν σάρκα τὰ σκληρὰ τῶν ὀστρακοδέρμων. — [2] αἱρούμεθά τε καὶ διά. — [3] ἑψόντες. — [4] μεταθέντες. — [5] φαίνεται. — [6] ἐναρτύσας. — [7] γενόμενον. — [8] ἄλλα.

οὔτε γὰρ ἐκείνων τις ἀναγνώσεται ταῦτα, καὶ ἡμεῖς οὐκ ἄν ποτε φάγοιμεν [1] τῶν ἐκείνοις ἐδωδίμων. Κοχλίας δὲ ὁσημέραι πάντες Ἕλληνες ἐσθίουσιν, ἔχοντας μὲν σκληρὰν τὴν σάρκα, καὶ διὰ τοῦτο δύσπεπτον, εἰ δὲ πεφθείη, τροφιμωτάτην. Ὑπάρχει δ' αὐτοῖς, ὥσπερ τοῖς ὀστρακοδέρμοις, χυλὸς ὑπακτικὸς γαστρὸς, καὶ διὰ τοῦτό τινες ἀρτύοντες αὐτοὺς δι' ἐλαίου καὶ γάρου καὶ οἴνου, τῷ γινομένῳ [2] ζωμῷ χρῶνται πρὸς διαχώρησιν τῶν κατὰ τὴν κοιλίαν. Εἰ δὲ θελήσεις ὡς τροφίμῳ μόνῳ ἐδέσματι χρήσασθαι τῇ σαρκὶ τοῦ ζώου τούτου, προαφεψήσας ἐν ὕδατι μεταθήσεις εἰς ἕτερον ὕδωρ, εἶτα ἐν ἐκείνῳ πάλιν ἑψήσας, οὕτως ἀρτύσεις τε καὶ τὸ τρίτον ἑψήσεις ἄχρι τοῦ κατατάκερον ἀκριβῶς γενέσθαι τὴν σάρκα. Σκευασθεῖσα γὰρ οὕτως, ἐφέξει μὲν τὴν γαστέρα, τροφὴν δὲ ἱκανὴν παρέξει τῷ σώματι.

ΤΟΥ ΑΥΤΟΥ

(ἐκ τοῦ Περὶ τροφ. δυνάμ. Βιβλ. Γ, σελ. 348-349)

ΠΕΡΙ ΤΩΝ ΜΑΛΑΚΟΣΤΡΑΚΩΝ.

Ἀστακοὶ καὶ Πάγουροι καὶ Καρκῖνοι τε καὶ Κάραβοι καὶ Καρίδες καὶ Καμμαρίδες, ὅσα τ' ἄλλα λεπτὸν ἔχει τὸ περιέχον ὄστρακον, ὅμοια δὲ τῇ σκληρότητι τοῖς ὀστρακοδέρμοις, ἧττω [3] μὲν ἐκείνων ἔχει τὸν ἁλυκὸν χυμὸν, ἔχει δ' οὖν ὅμως οὐκ ὀλίγον. Ἔστι δὲ σκληρόσαρκα πάντα [4], καὶ διὰ τοῦτο δύσπεπτά τε καὶ τρόφιμα, προεψηθέντα δηλονότι κατὰ τὸ πότιμον ὕδωρ. Ἔστι δὲ καὶ τούτων ἡ σὰρξ, ὥσπερ καὶ τῶν ὀστρέων, ἐπισχετικὴ τῶν κατὰ τὴν γαστέρα, ὅταν ἐναποθῆται τῷ ὕδατι τὸν ἁλυκὸν χυμὸν, ὡς εἴρηται, προεψηθέντα. Καὶ τοίνυν καὶ ταῦτα δύσφθαρτα τοῖς σκληροῖς τῶν ὀστρακοδέρμων ὡσαύτως ἐστί.

[1] φάγωμεν.—[2] γενομένῳ.—[3] ἧττον.—[4] σκληρόσαρκα κατὰ πάντα.

ΠΕΡΙ ΜΑΛΑΚΙΩΝ.

ΜΑΛΑΚΙΑ καλεῖται τὰ μήτε λεπίδας ἔχοντα, μήτε τραχὺ, μήτε ὀσρακῶδες τὸ δέρμα, μαλακὸν δ' οὕτως, ὡς ἀνθρώποις. Ἔσι δὲ ταῦτα, Πολύποδές τε καὶ Σηπίαι καὶ Τευθίδες, ὅσα τ' ἄλλα τούτοις ἔοικεν. Ἁπτομένῳ μὲν οὖν μαλακὰ φαίνεται διὰ τὸ μήτε λεπιδωτὸν ἔχειν, μήτε τραχὺ, μήτε ὀσρακῶδες τὸ σκέπασμα· σκληρόσαρκα δ' ἐσὶ καὶ δύσπεπτα, καὶ βραχὺν ἐν ἑαυτοῖς περιέχοντα τὸν ἁλυκὸν χυμόν· εἰ μέντοι πεφθείη, τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι. Πλεῖσον δ' οὖν καὶ ταῦτα τὸν ὠμὸν ἐργάζεται χυμόν.

ΠΕΡΙ ΣΕΛΑΧΙΩΝ.

ΤΡΑΧΥ καὶ λαμπρὸν ἐν τῇ νυκτὶ τὸ δέρμα τῶν τοιούτων ἐσὶ ζώων· διὸ καί τινες ἀπὸ τοῦ σέλας ἔχειν ὠνομᾶσθαί φασιν αὐτὰ Σελάχια. Μαλακὴν δ' ἐν αὐτοῖς ἔχει τὴν σάρκα Νάρκη τε καὶ Τρυγὼν, ὥσπερ οὖν καὶ ἡδεῖαν, ὑπιοῦσάν τε κατὰ γαςέρα μετρίως καὶ πεπτομένην οὐ χαλεπῶς· ἀλλὰ καὶ τρέφει μετρίως, ὥπερ γε καὶ τὰ ἄλλα πάντα τὰ μαλακόσαρκα. Κοινὸν δ' αὐτοῖς [1] ἅπασίν ἐσι τὸ πολυσαρκότερα τῶν μέσων μορίων τὰ κατὰ [2] τὰς οὐρὰς εἶναι· μάλιςα δὲ τοῦθ' ὑπάρχει ταῖς Νάρκαις· ἔοικε γάρ τοι τὰ μέσα τῶν ζώων τούτων οἷόν περ χόνδρον τακερὸν ἐν αὐτοῖς ἔχειν. Βάτοι δὲ καὶ Λειόβατοι καὶ Ῥίναι, καὶ πάνθ' ὅσα τοιαῦτα, σκληρότερα καὶ δυσπεπτότερα, καὶ τροφὴν πλείονα τῷ σώματι παρέχοντα Νάρκης τε καὶ Τρυγόνος ἐσί.

ΠΕΡΙ ΤΩΝ ΚΗΤΩΔΩΝ ΖΩΩΝ.

ΕΙΡΗΤΑΙ μὲν ἤδη καὶ πρόσθεν ὑπὲρ τῶν ἐν τῇ θαλάττῃ κητωδῶν ζώων, ἐξ ὧν εἰσιν αἵ τε Φῶκαι καὶ Φάλαιναι, Δελφῖνες

[1] δ' ἐν αὐτοῖς. — [2] ἐσι πολυσαρκότερα τῶν μέσων μορίων κατά.

τε καὶ Ζύγαιναι, καὶ τῶν Θύννων οἱ μεγάλοι, καὶ πρὸς αὐτοῖς οἱ Κύνες, ὅσα τ' ἄλλα τοιαῦτα. Καὶ νῦν δὲ περὶ αὐτῶν [1] ἐν κεφαλαίῳ λεκτέον, ὡς ἅπαντα τὰ τοιαῦτα καὶ σκληρὰν καὶ κακόχυμον ἔχει καὶ περιττωματικὴν τὴν σάρκα· καὶ διὰ τοῦτο προταριχεύοντες αὐτὰ τοὐπίπαν, εἰς χρῆσιν ἄγουσι, λεπτομερεστέραν ἐργαζόμενοι τὴν ἐξ αὐτῶν ἀναδιδομένην τροφὴν εἰς τὸ σῶμα, καὶ διὰ τοῦτο πεφθῆναί τε δυναμένην θᾶττον, αἱματωθῆναί τε μᾶλλον. Ἡ γάρ τοι πρόσφατος, ὅταν μὴ πάνυ καλῶς πεφθῇ, πλεῖστον ἐν ταῖς φλεψὶν ἀθροίζει τὸν ὠμὸν χυμόν.

ΠΕΡΙ ΘΑΛΑΣΣΙΩΝ ΕΧΙΝΩΝ.

Καὶ δι' οἰνομέλιτος αὐτοὺς ἐσθίουσι καὶ διὰ γάρου, γαστρὸς ὑπαγωγῆς ἕνεκεν, καὶ λοπάδας ἐξ αὐτῶν σκευάζουσιν ἐπεμβαλλοντες ὠῶν τε καὶ πεπέρεως καὶ μέλιτος. Ἔστι [2] δὲ τῶν ὀλιγοτρόφων ἐδεσμάτων, καὶ μέσων τῆς κατὰ τὸ λεπτύνειν καὶ παχύνειν χυμοὺς δυνάμεως.

ΤΟΥ ΑΥΤΟΥ

(ἐκ τοῦ αὐτ. σελ. 350)

ΠΕΡΙ ΤΩΝ ΤΑΡΙΧΕΥΟΜΕΝΩΝ.

Ἐπιτήδεια πρὸς ταριχείαν ἐστὶ σώματα ζώων, ὅσα σκληράς τε ἅμα καὶ περιττωματικὰς ἔχει τὰς σάρκας. Ὀνομάζω δὲ περιττωματικὰς, ὡς κἀν τῷ πρόσθεν λόγῳ, τὰς ἐχούσας ἐν ἑαυταῖς ὑγρότητα παρεσπαρμένην φλεγματικωτέραν· καὶ ὅσῳ ἂν [3] ἧδε πλείων ᾖ καὶ παχυτέρα, τοσῷδε μᾶλλον ἀμείνων ἡ σὰρξ γίνεται ταριχευομένη. Τὰ δ' ἤτοι πάνυ μαλακὴν, ἢ πάνυ ξηρὰν καὶ ἀπέριττον ἔχοντα τὴν ἕξιν τοῦ σώματος, οὐκ ἐπιτή-

[1] δὲ αὐτῶν. — [2] Ἴσ. γρ. Εἰσί. — [3] κἄν.

δεια ταριχεύεσθαι. Δύναμις γάρ ἐστι τῶν ἁλῶν, ὡς ἐν τῇ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ δέδεικται, σύνθετος ἔκ τε τοῦ διαφορεῖν τὰς περιττὰς ὑγρότητας οἷς ἂν ὁμιλῇ [1] σώμασι, καὶ λεπτύνειν αὐτὰ, καὶ συνάγειν εἰς ἑαυτὰ, τοῦ τῶν λίτρων ἀφροῦ, καὶ τῶν χαύνων ἀφρολίτρων [2], τὸ μὲν λεπτύνειν καὶ διαφορεῖν ἐχόντων, τὸ δὲ συνάγειν ἢ σφίγγειν οὐκ ἐχόντων. Ὅσα τοίνυν ἐστὶ φύσει ξηρὰ σώματα, διαπαττόμενα τοῖς ἁλσὶν ἄβρωτα γίνεται σκελετευόμενα· καί τις ἐπιχειρήσας ταριχεῦσαι λαγωὸν, ὅμοιον εἰργάσατο ταῖς σκελετευθείσαις γαλαῖς. Αἱ δὲ τῶν ἀκμαζόντων τε καὶ πιόνων ὑῶν σάρκες, ἐπιτήδειοι ταριχεύεσθαι, τὴν ἀτοπίαν ἑκατέρων [3] ἐκπεφυγυῖαι, ξηρότητα μὲν τῶν γεγηρακότων, ὑγρότητα δ' ἄμετρον τῶν νέων χοίρων. Ὥσπερ γὰρ τὰ ξηρὰ σώματα βύρσαις ὅμοια γίνεται ταριχευθέντα, κατὰ τὸν ἐναντίον τρόπον ὅσα λίαν ὑγρὰ, διαῤῥεῖ καὶ κατατήκεται [4] τοῖς ἁλσὶν ὁμιλοῦντα· διὰ τοῦτ' οὖν οὐδὲ τῶν ἰχθύων ὅσοι μαλακόσαρκοί εἰσι καὶ ἀπέριττοι, καθάπερ οἱ πετραῖοι καλούμενοι, καὶ τῶν ὀνίσκων οἱ ἐκ καθαρᾶς θαλάττης, εἰς ταριχείαν εἰσὶν ἐπιτήδειοι. Κορακῖνοι δὲ καὶ Μύλλοι [5] καὶ Πηλαμίδες, ἔτι τε Σάρδαι καὶ Σαρδῆναι [6], καὶ τὰ Σαξάτινα καλούμενα, πρὸς [7] ταριχείαν εἰσὶν ἐπιτήδεια. Καὶ τὰ κητώδη δὲ τῶν θαλαττίων ζώων ταριχευόμενα βελτίω γίνονται, περιττωματικὴν ἔχοντα καὶ ταῦτα τὴν σάρκα. Μοχθηραὶ δὲ Τρίγλαι πρὸς ταριχείαν εἰσὶ διὰ τὸ ξηρὰν καὶ ἀπέριττον ἔχειν τὴν σάρκα. Πρόδηλον δ' ἐκ τούτων, ὅσα μὲν σκληρὰ καὶ νευρώδη καὶ οἱονεὶ δερματώδη τε καὶ βυρσώδη γίνεται ταριχευθέντα, δύσπεπτα πάνυ εἶναι· τὰ δ' ἐναντίως διατεθειμένα [8], λεπτομερῆ μὲν αὐτὰ γίνονται, λεπτύνει δ' ἐσθιόμενα τοὺς παχεῖς καὶ κολλώδεις χυμούς.

[1] ὁμιλεῖ.—[2] καὶ τοῦ τῶν χαύνων ἀφονίτρων.—[3] ἑκατέραν.—[4] διαῤῥεῖ κατατήκεται.—[5] Μύλοι.—[6] Ἴσ. γρ. Σαρδῖνοι (ἴδ. τὰς σημ. τμ. οά).—[7] Σαξάτινα καλούμενα, καὶ ταρίχη, πρὸς. —[8] διατιθέμενα.

Ἄριστα δ' ἐστὶ τῶν εἰς ἐμὴν πεῖραν ἐλθόντων τά τε Σαρδικὰ πρὸς τῶν ἔμπροσθεν ἰατρῶν ὀνομαζόμενα ταρίχη (Σάρδας δ' αὐτὰς καλοῦσι νῦν), οἵ τε ἐκ τοῦ Πόντου κομιζόμενοι Μύλλοι [1]. Δευτέραν δ' ἐπ' αὐτοῖς ἔχουσι τάξιν οἵ τε Κορακῖνοι καὶ αἱ Πηλαμίδες καὶ τὰ Σαξάτινα καλούμενα.

ΤΟΥ ΑΥΤΟΥ

(ἐκ τοῦ Περὶ εὐχυμ. καὶ κακοχυμ. σελ. 354).

Τῶν ἐνύδρων ζώων τά τε Μαλάκια καλούμενα, Τευθίδες καὶ Σηπίαι καὶ Πολύποδες, ὅσα τ' ἄλλα τοιαῦτα [2], παχὺν καὶ γλίσχρον ἔχουσι τὸν χυμὸν, ὥσπερ καὶ οἱ κητώδεις τῶν ἰχθύων, ἐξ ὧν εἰσι καὶ οἱ Θύννοι [3]· μετριώτεραι δ' αὐτῶν αἱ Πηλαμίδες. Ἱκανῶς δὲ παχύχυμα τὰ ὄσρεα, τῶν [4] οἱ Κήρυκες, αἵ τε Πορφύραι, καὶ πάνθ' ἁπλῶς τὰ καλούμενα πρὸς Ἀριστοτέλους Ὀστρακόδερμα, Χῆμαι, Λεπάδες [5], Κτένες, Πίνναι [6] καὶ τὰ παραπλήσια. Πορφύραι μὲν οὖν καὶ Κήρυκες σκληροτέραν ἔχουσι τῶν ἄλλων τὴν σάρκα καὶ παχυχυμοτέραν· ὑγροτέραν δὲ καὶ γλισχροτέραν τἄλλα, καὶ μάλιστα πάντων τὰ Ὄστρεα. Χρὴ δὲ γινώσκειν ἁπάντων αὐτῶν τὸν μὲν χυλὸν ὑπακτικὸν τῆς γαστρὸς, ὥσπερ ἐν τῷ γάλακτι τὸν ὀρρὸν, αὐτὸ δὲ τὸ στερεὸν σῶμα βραδυπεπτότερόν τε καὶ παχύχυμον, ὠμοῦ χυμοῦ καὶ παχέος καὶ ψυχροῦ γεννητικόν.

ΤΟΥ ΑΥΤΟΥ

(ἐκ τοῦ αὐτ. σελ. 358).

Ἰχθύες ὀλίγου δεῖν ἅπαντες εὔχυμοι, πλὴν τῶν ἐν ἕλεσι καὶ λίμναις καὶ ποταμοῖς ἰλυώδεσι καὶ θολεροῖς διαιτωμένων·

[1] καλοῦσιν, οἵ τε νῦν ἐκ τοῦ Πόντου νομιζόμενοι Μύλοι. — [2] ἄλλα τὰ τοιαῦτα. — [3] Θύναι. — [4] Ἴσ. γρ. ὄστρεα, οἷον. — [5] Λοπάδες. — [6] Πῖναι.

ἀέρι γὰρ χείρονι χρῶνται, καὶ νήξεσιν ἐλάττοσι, καὶ τροφαῖς μοχθηροτέραις, καὶ μάλισθ' ὅταν ἐκ πόλεως μεγάλης ῥέῃ τὸ ὕδωρ, ἐκκαθαῖρον ἀποπάτους τε καὶ βαλανεῖα καὶ μαγειρεῖα καὶ τὰ τῶν πλυνόντων τὴν ἐσθῆτα καὶ τὴν ὀθόνην ῥύμματα. Χειρίζη γὰρ ἡ σὰρξ γίνεται τῶν ἐν ὕδατι τοιούτῳ διαιτωμένων ζώων, μάλιστα μὲν ὅταν ἐν αὐτῷ μόνῳ διατρίβωσι· κἂν ἐπιμιγνύωνται [1] δὲ βελτίονι, μοχθηρότεροι πολλῷ καὶ οὗτοι τῶν ἐν καθαρᾷ θαλάττῃ διαιτωμένων εἰσίν. Ἄμεμπτοι γὰρ ὀλίγου δεῖν ἅπαντες ὑπάρχουσιν, ὅσοι κατὰ [2] τὴν ἄμικτον ὕδατι γλυκεῖ διατρίβουσιν, ὥσπερ οἵ τε πελάγιοι καλούμενοι, καὶ οἱ πετραῖοι· καὶ γὰρ εἰς εὐχυμίαν, καὶ τὴν ἐν αὐτῇ τῇ κατὰ τὴν ἐδωδὴν ἡδονὴν [3] προὔχουσι πολὺ τῶν ἄλλων. Ἀσφαλέστατον μὲν οὖν ἀεὶ προσφέρεσθαι τῶν τοιούτων· εἰ δέ τι ζῶον εἴη τῶν ἐν ἑκατέροις [4] τοῖς ὕδασι διαιτωμένων, ὥσπερ ὁ Κέφαλος καὶ ὁ Λάβραξ, ὅ τε Κωβίος καὶ ἡ Σμύραινα, Κορακῖνοί τε [5] καὶ Ἐγχέλυες, ἀναπυνθάνεσθαι μὲν πρότερον ὅθεν εἴη τεθηρευμένον, μετὰ δὲ ταῦτα τῇ ὀσμῇ καὶ τῇ γεύσει τὴν διάγνωσιν αὐτῶν ποιεῖσθαι· καὶ γὰρ δυσώδεις καὶ ἀηδεῖς καὶ βλενώδεις, ὅσοι τὴν δίαιταν ἔσχον ἐν ὕδατι μοχθηρῷ. Καὶ μέντοι καὶ λίπος αὐτοῖς ὑπάρχει πολὺ πλέον ἢπερ τοῖς ἄλλοις, καὶ σήπονται ταχέως. Οἱ δ' ἐν θαλάττῃ καθαρᾷ διαιτώμενοι, τήν τε ὀδμὴν ἄμεμπτον ἔχουσι, καὶ τὴν γεῦσιν ἡδεῖαν, τό τε λίπος ὀλίγιστον, ἢ οὐδ' ὅλως· ἐξαρκοῦσι τε πλέονι χρόνῳ σηπόμενοι, καὶ μάλισθ' ὅταν αὐτοῖς τις περιβάλῃ [6] χιόνος. Κατὰ ταῦτα μὲν οὖν καὶ κρείττους οἱ σκληρότεροι γίνονται, ψαθυροτέραν ἴσχοντες τὴν σάρκα τοῖς πετραίοις τε καὶ τοῖς Ὀνίσκοις ὁμοίως· ὃ γὰρ τούτοις ὑπάρχει φύσει, τοῦτο τοῖς σκληροσάρκοις ἐκ τῆς χιόνος προσγίνεται. Διὰ τοῦτ' οὖν ἐναντιωτάτην ἔχουσιν οὐσίαν τὴν τῆς [7] σαρκὸς οἵ τ'

[1] ἐπιμίγνυνται. — [2] ὅσοι καὶ κατά. — [3] ἡδονῇ. — [4] τῶν ἑκατέροις. — [5] Καρκῖνοί τε. — [6] περιβάλλῃ. — [7] οὐσίαν τὴν σαρκός.

ἐκ θαλάττης καθαρᾶς Κέφαλοι, καὶ οἱ κατὰ τὸ μοχθηρὸν ὕδωρ διαιτώμενοι. Παραπλησίως δ' αὐτοῖς καὶ οἱ Κωβίοι καὶ οἱ Λάβρακες, ἔτι τε τούτων μᾶλλον οἱ ἄλλοι. Καὶ Σμύραιναι δὲ φαυλόταται [1] γίνονται κατὰ τὰ τοιαῦτα τῶν ὑθάτων· ἡ δ' Ἔγχελυς, οὐδ' ὅλως εὔχυμον ἔδεσμα, κἂν ἐξ ὕδατος ᾖ καθαροῦ, μήτι γε δὴ [2] τοῦ πόλιν ἐκκαθαίροντος, ὡς εἴρηται. Καὶ παρὰ [3] τὰς ἐπιχωρίους δὲ τροφὰς, ἀμείνους τε καὶ χείρους ἑαυτῶν ἰχθύες γίνονται, διαγινωσκόμενοι ῥᾳδίως ὀσμῇ τε καὶ γεύσει, καθάπερ αἱ Τρίγλαι. Μοχθηρότεραι γὰρ αὐτῶν αἱ τὴν Καρκινάδα σιτούμεναι· τῶν δ' ἄλλων ἡ σὰρξ σκληροτέρας ἐς·ὶν ὕλης, οὐ μόνον τῆς τῶν πετραίων τε καὶ Ὀνίσκων, ἀλλὰ καὶ Κεφάλων καὶ Λαβράκων, καὶ τῶν ἄλλων πελαγίων· καὶ κατὰ τοῦτο δυσπεπτοτέρα τε καὶ τροφιμωτέρα, κακόχυμον οὐδὲν ἔχουσα.

[1] φαυλότατοι. — [2] μήτοι γε δή. — [3] περί.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ ΞΕΝΟΚΡΑΤΟΥΣ

ΠΕΡΙ ΤΗΣ ΑΠΟ ΤΩΝ ΕΝΥΔΡΩΝ ΤΡΟΦΗΣ.

ά. Ἄθυρμα.] Εἶτ' ἄθυρμα γράφοις, εἶθ', ὡς ὑπέλαβέ τις τῶν φίλων ἄρτυμα, μεταφορᾷ ὁ Ξενοκράτης ἐχρήσατο ψυχρᾷ πάνυ. Οἱ γὰρ ὀψοφάγοι οὔθ' ὡς ἀθύρματι καὶ παιδιᾷ, οὔθ' ὡς ἀρτύματι, ὅ ἐστιν ἡδύσματι, χρῶνται τοῖς ἰχθύσι, ἀλλὰ πάνυ σπουδάζοντες, ὡς τῶν ἐδεσμάτων ἄριστον αὐτοὺς παρατίθενται.

β'. Συνόδοντες, βούγλωσσοι· καὶ οἱ πλατεῖς, ὡς ψῆτται.] Ἴσως ἐγέγραπτο, Συνόδοντες· καὶ οἱ πλατεῖς, ὡς βούγλωσσοι, ψῆτται. Καὶ γὰρ αἱ Βούγλωσσοι τοῦ τῶν πλατέων γένους εἰσίν· ὅθεν καὶ Soleæ (Γαλλ. Soles) ὑπὸ τῶν Ῥωμαίων καλοῦνται, ὅ ἐστι Σανδάλια, διὰ τὸ πλατύ, ὥσπερ καὶ ὁ παρῳδὸς Μάτρων (παρὰ τῷ Ἀθην. σελ. 136) θεῶν σάνδαλα ὠνόμασεν αὐτάς

Σάνδαλα δ' αὖ παρέθηκεν ἀειγενῆ ἀθανατάων,
Βούγλωσσον.

ὁ δ' ὀψοφαγίστατος Ἀρχέστρατος (παρὰ τῷ αὐτ. σελ. 288), καὶ τὸν τόπον, ἔνθα γίνονται αἱ ἄριστοι βούγλωσσοι, διδάσκει·

Εἶτα λαβεῖν ψῆτταν μεγάλην, καὶ τὴν ὑπότρηχυν
Βούγλωσσον· ταύτην θέρεος κατὰ Χαλκίδα κεδνήν,

τὴν τῆς Εὐβοίας Χαλκίδα λέγων. Ἔστι δ' ἡ Βούγλωσσος ἣν νῦν ἁπλῶς Γλῶσσαν ὀνομάζομεν· ἐκαλεῖτο δὲ καὶ Βοϊδόγλωσσον οὐδετέρως, κατὰ τὸν σχολιαστὴν τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Α, 199), καὶ ὑπὸ τῶν Βυζαντινῶν συγγραφέων, Σκυθόπωμον, κατὰ τὸν Δουκάγγιον (λέξ. Σκυθόπωμον).

Ψῆτται.] Φέρεται διάφορος γραφὴ Φῆσαι, ἣν ἐξέφρασε καὶ ὁ Λατῖνος μεταφραστὴς, Phesæ· ἡ δὲ κατὰ Μόσχαν ἔκδοσις τοῦ Ματθαίου ἔχει, Φῦσαι. Οὐδετέραν τούτων ἀποδεκτέον, τὴν μὲν, ὅτι οὐδ' ὄνομα ὅλως ἰχθύος ἐστὶν ἡ Φῆσα· τὴν δὲ Φύσαν, ὅτι σημαίνει τὸν Αἰγύπτιον ἰχθὺν τὸν ὑπὸ τοῦ Αἰλιανοῦ (Περὶ ζ. ἰδιότητ. ιϛ', 13) μνημο-

νευόμενον, ὃν ἄβρωτον εἶναί φησιν ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 298), καὶ καλεῖσθαι ὑπὸ τῶν νῦν Ἑλλήνων Φλασκόψαρον, διὰ τὸ ὡς λάγυνον πεφυσημένον εἶναι, ὡς καὶ τοὔνομα δηλοῖ τὸ τῆς Φύσης. Φλασκία γὰρ καλοῦσι πολλοὶ τῶν παρ' ἡμῖν τῶν κολοκυνθιδίων τὰ λαγυνώδη, παρὰ τὸ τῶν Ἰταλῶν Fiasco. Ψῆτται δὲ, ἢ Ψῆσσαι, εἰσὶ τὰ παρ' ἡμῖν λεγόμενα Ψησσία, οὐδετέρως, καθὰ δηλοῖ καὶ ὁ Πτωχοπρόδρομος ἐν τῷ Κατὰ Ἡγουμένων ποιήματι (στίχ. 99),

Καὶ μὴν θωρῇς τὸς βαθρακοὺς, τὰς ἴσχας, τὰ ψησία.

Ἔνθα βαθρακοὺς λέγει τοὺς παρὰ τοῖς ἀρχαίοις βατράχους τοὺς θαλασσίους, περὶ ὧν καὶ ὁ Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 286) εἴρηκε·

Βάτραχον ἔνθ' ἂν ἴδῃς, ὀψώνει. ——————
Γαστρίον αὐτοῦ σκεύασον. ——————

Ἴσχαι δὲ, ἢ ὡς ἕτεροι, Ὗσκαι, εἶεν ἂν ἴσως οἱ παρ' ἐκείνοις, Ὕκαι (ἴδ. Ἀθήν. σελ. 327).

Ὀνίσκοι.] Πολλά φησιν ὀνίσκων εἶναι εἴδη ὁ Βελλώνιος (Περὶ τῶν ἐνύδρ. σελ. 122), ἓν μὲν τὸν καλούμενον τῷ γενικῷ τοῦ ὀνίσκου ὀνόματι, ὃν οἱ Γάλλοι Merluche ὀνομάζουσιν, ἕτερον δὲ, ὃν Merlan, ἄλλον, πρόσφατον μὲν, καλούμενον Aigrefin, τεταριχευμένον δὲ, Hadou· τέταρτον, τῶν ὀνίσκων μέγιστον, ὃς ἐστιν ἡ καλουμένη Morue· τὸν πέμπτον οἴεται τὸν αὐτὸν εἶναι καὶ τὸν παρὰ μὲν τοῖς ἀρχαίοις Ἕλλησι Καλλαρίαν, παρὰ δὲ τοῖς νῦν Γαδαρόψαρον καλούμενον. Καταλέγει δὲ καὶ ἕτερα ὀνίσκων εἴδη οὐκ ὀλίγα, ὥστε δυσχερὲς εἶναι τοῖς ἐντυγχάνουσι τῷ ὀνόματι ἐν ταῖς τῶν παλαιῶν βίβλοις συνιδεῖν περὶ τίνος εἴδους ὀνίσκου ὁ λόγος ἐστίν. Ἐπιτείνει δὲ τὴν ἀπορίαν καὶ ἡ τοῦ θαλασσίου ὄνου συνωνυμία· οἱ μὲν γὰρ τὸν αὐτὸν οἴονται εἶναι τὸν ὄνον τῷ ὀνίσκῳ, οἱ δὲ ἕτερον· καὶ τὸν μὲν ὄνον φασὶ καλεῖσθαι ὑπό τινων καὶ Γάδον (ὅθεν ἴσως καὶ τὸ Γαδαρόψαρον), τὸν δ' ὀνίσκον, Γελαρίνην, ἢ Γαλλερίδαν (ἴσ. Καλλαρίαν) καὶ Μάξεινον (ἴσ. γρ. Μάζινον ἢ Μάζεινον) καὶ Βάκχον, καὶ Χελλάρην, ὡς ἐστιν ἰδεῖν παρὰ τῷ Ἀθηναίῳ (σελ. 118, καὶ 315-316), παρ' ᾧ καί τινας ἄλλας ὀνομάτων διαφορὰς ἐστιν εὑρεῖν. Μνημονεύει δ' ὁ αὐτὸς Ἀθήναιος καὶ τῶν ἐπῶν Ἀρχεστράτου τῶν ἑξῆς·

Τὸν δ' ὄνον Ἀνθηδὼν, τὸν καλλαρίαν καλέουσιν,
Ἐκτρέφει εὐμεγέθη· σωμφὴν δὲ τρέφει τινὰ σάρκα,
Κἄλλως οὐχ ἡδεῖαν. ——————

Βάκχοι.]

Βάκχοι.] Ἐσημειώθη ἀνωτέρω ἐκ τοῦ Ἀθηναίου τὸν Βακχον τοῦ ὀνίσκου ὀνόματι μόνον διαφέρειν. Ὁ δὲ Ξενοκράτης καὶ κατ' εἶδος διεννηοχέναι θατέρου τὸν ἕτερον οἴεται· καὶ φασί τινες τὸν ἐνθάδε ὀνίσκον τὸν αὐτὸν εἶναι καὶ ὃν εἰρήκαμεν καλεῖσθαι τοῖς Γάλλοις Merluche. Ἡμῖν δ' ἐπέχειν ἄμεινον δοκεῖ περὶ τῆς διαφορᾶς τῶν ἰχθύων· περὶ ὧν ἐςι τῷ βουλομένῳ ἐπελθεῖν τά τε σημειωθέντα ἐν τῇ Γαλατικῇ μεταφράσει τοῦ Περὶ ζώων ἱςορίας Ἀριςοτέλους (*Notes sur l'Histoir. des anim. d'Aristot., par M. Camus, pag.* 83) καὶ ἃ ἐσημειώσατο Σνεϊδέρος ἐν τῇ Συνωνυμίᾳ τῶν Ἰχθύων τοῦ Ἀρτεδίου (σελ. 35).

Σκιαδεῖς.] Ἐκ διορθώσεως τοῦ Γεσνήρου, ἀντὶ τοῦ Σκιάδες. Ἐρεῖ ἐν τοῖς ἑξῆς Ξενοκράτης (τμ. λγ') περὶ τῶν Σκιαδέων. Ἐνταῦθα μετὰ τὸ Σκιαδεῖς ἐχομένως ὤφειλε γεγράφθαι, ἃ γραφέων πλημμελείᾳ κακῶς μετηνέχθησαν εἰς οὐ προσήκοντα τόπον (τμ. ή καὶ Ϛ'), ἀπὸ τοῦ, Καὶ θαλάσσιοι μὲν εὔςομοι, μέχρι τέλους τοῦ ἐννάτου τμήματος, Εὐχύλους τε καὶ συμμέτρους.

γ'. Τροφιμώτεροι δὲ οἱ πελάγιοι. Οἱ δὲ παρ' αἰγιαλῶν ὄχθαις.] Εἰς τοῦτο ἔτρεψα τὸ μηδενὶ σὺν νῷ γεγραμμένον, Τροφιμώτεροι δὲ οἱ παρ' αἰγιαλῶν ὄχθαις, ἵν' ᾖ σύμφωνον καὶ τῇ πείρᾳ καὶ οἷς φησι Δίφιλος (παρ' Ἀθην. σελ. 355), « Τῶν θαλασσίων ἰχθύων, οἱ μὲν » πετραῖοί εἰσιν εὔφθαρτοι, εὔχυλοι, σμηκτικοί, κοῦφοι, ὀλιγότροφοι· » οἱ δὲ πελάγιοι, δυσφθαρτότεροι, πολύτροφοι, δυσοικονόμητοι ». Συμφέρεται δὲ τούτοις καὶ ὁ Μνησίθεος (παρὰ τῷ αὐτ. σελ. 357), περὶ μὲν τῶν πελαγίων λέγων· « Εἰσὶ δὲ δυσκατέργαστοι· κατεργα- » σθέντες δὲ πολλαπλασίαν τροφὴν παρέχουσι ». Περὶ δὲ τῶν πε- » τραίων· Τὰ δὲ καλούμενα πετραῖα... ξηράν τε δίδωσι τροφήν, » εὔογκά τ' ἐςὶ καὶ τρόφιμα, καὶ πέττεται ταχέως, καὶ οὐκ ἐγκατα- » λείπει περιττώματα πολλά, πνευμάτων τε οὐκ ἔςι περιποιητικά ».

ς'. Ἐπὶ τοῖς, οὐραίοις, οἷς κινοῦνται.] Τὸ μὲν, Ἐπὶ, ἀντὶ τοῦ, Ἐπεὶ, ἐκ ΔΓ, ἡ δὲ προσθήκη τῆς ἀντωνυμίας ἐξ ΗΔ.

Μυραίνης τε καὶ φάγρου.] Ταύτην ἀνθυπέβαλον τὴν γραφὴν τῇ τῶν προτέρων ἐκδόσεων, « Μαραγείας τε καὶ πάγουρος », ἐξ αὐτῶν ὡρμημένος τῶν διαφόρων γραφῶν, καὶ τοῦ λόγου. Ὁ μὲν γὰρ Πάγουρος, ὃν ἡ συνήθεια Παγούριον καλεῖ, τῶν μαλακοσράκων ὢν, οὐκ ἔχει χώραν ἐνθάδε· τὸν Μαραγείαν δὲ οὐδεὶς οὔτε τῶν νῦν οὔτε τῶν πάλαι ἰχθυολόγων οἶδεν. Αἱ δὲ διάφοροι γραφαὶ εἰσὶν αἵδε· ἡ μὲν κατὰ Μόσχαν ἔκδοσις φέρει, Μαραυγείαι τε καὶ πάγουροι, αἱ λοιπαὶ δὲ,

Μαυραγεία : Μαυραυγείαι : Μαραγείας κ.τ.λ. : Μαραίνας δὲ καὶ πάγερος : Σμυρίδες δὲ καὶ πάγερος. Ἐκ τούτων οὖν διεσκεύασα τὴν γραφὴν, τὸ μὲν τῶν ὀνομάτων τρέψας εἰς τὸ τῆς Μυραίνης, ἣ καὶ Σμύραινα καλεῖται προσλήψει τοῦ σ, τὸ δὲ εἰς τὸ τοῦ Φάγρου, ὃ καὶ Πάγρου γράφεσθαι εἶχεν, εἰ δῆλον ἄλλως ἦν, ὅτι καὶ οἱ Ἕλληνες διὰ τοῦ π, ὥσπερ καὶ οἱ Ῥωμαῖοι, ἐκάλουν τὸν ἰχθύν· παρὰ τούτοις γὰρ καὶ Pager καὶ Phager. Ἔγραψα δὲ κατὰ γενικὴν, ἐπειδὴ ἀναφέρεται, ὥσπερ καὶ τὸ ἐχόμενον τριγλῶν, εἰς τὸ Κεφαλαί. Καὶ τὴν μὲν τοῦ φάγρου κεφαλὴν, ἐπαινοῦντα παραθησόμεθα ἑξῆς τὸν Ἀρχέστρατον ἐν τῷ περὶ φάγρου λόγῳ· περὶ δὲ τῆς μυραίνης (Γαλλις. Murène) τῆς παρ' ἡμῖν νῦν, ὡς καὶ παρὰ πολλοῖς τῶν πάλαι, καλουμένης, σμυραίνης, λέγει πάλιν ὁ αὐτὸς Ἀρχέστρατος, (παρ' Ἀθην. σελ. 313)

Ἰταλίας δὲ μεταξὺ κατὰ ϛενοκύμονα πορθμὸν,
Ἡ πλωτὴ Μύραινα καλουμένη, ἄν ποτε ληφθῇ,
Ὠνοῦ· τοῦτο γάρ ἐϛιν ἐκεῖ θαυμαϛὸν ἔδεσμα.

Τὴν μύραιναν Ἰκέσιος (παρὰ τῷ αὐτ. σελ. 312) τρόφιμον εἶναί φησιν οὐχ ἧττον τῶν ἐγχελέων καὶ τῶν γόγγρων.

ἡ. Καὶ θαλάσσιοι μέν.] Ταῦτα τε καὶ τὰ ἑξῆς μέχρι τέλους τοῦ θ' τμήματος ἐκ τοῦ οἰκείου τόπου, ὡς ἐσημειωσάμην ἀνωτέρω (σελ. 49), εἰς ὃν οὐκ ἐχρῆν ὧδε μετενεχθῆναι εἰκὸς ὑπὸ τῶν ἀντιγραφέων.

Πλαδαρᾶς.] Ἴσως γραπτέον, Πλαδαρᾶς δὲ, ἐναντιωματικῶς πρὸς τὰ προηγούμενα. « Πλαδαρὸν, νοτερὸν, ὕπομβρον, χαῦνον, ἀσθε» νὲς, ὑγρόν.—Πλαδαρώτερος, ἐκλυτώτερος.—Πλαδῶσαι σάρκες, αἱ » μὴ ἐϛερεωμέναι», φησὶν Ἡσύχιος.

Ποιοῦσι γάρ.] Ἢ διαγραπτέον τὰς δύο ταύτας λέξεις, ὡς ἁμάρτημα γραφέων, ἢ ὑποληπτέον σημεῖον εἶναι καὶ ἑτέρων λέξεων ἐκρυεισῶν τοῦ χωρίου. Οὐ δὲ γὰρ εἰκὸς πρὸς τὸ ἑπόμενον Εὐχρόους ἀναφέρεσθαι, ὃ τρεπτέον εἰς τὸ Εὐχρόου, ἵν' ᾖ τοῦ Αἵματος ἐπίθετον, κατὰ τὸ μετ' ὀλίγα ῥηθησόμενον, Παχυμεροῦς ὕλης δραϛικοί. Ἐνδέχεται καὶ ὅλον τόδε τὸ χωρίον συγκεχύσθαι, δέον γράφειν ἄνωθεν ἀρξαμένους, Πρὸς ἀναδόσεις ῥᾷϛοι, εὐχρόου αἵματος γόνιμοι, λαπακτικοὶ γαϛρός. Ποτάμιοι δὲ καὶ λιμναῖοι, κακοϛόμαχοι, πλαδαρᾶς καὶ μαλθακῆς [ἢ Πλαδαροὶ, μαλθακῆς] ϛαρκὸς ποιητικοὶ, παχυμεροῦς ὕλης δραϛικοί.

Λαπακτικοί.] Μαλακτικοὶ, καὶ ἑπομένως κενωτικοί. « Λαπάττων, » μαλάττων », φησὶν Ἡσύχιος, καὶ « Λαπάξαι, κενῶσαι ».

Δ'. Δυσδιάκριτοι.] Εἶεν ἂν οἱ πρὸς τὰς διακρίσεις (sécrétions) κακῶς ἔχοντες· ἐνθάδε μέντοι ἐπὶ τοῦ δυσέκκριτοι, τουτέστι δυσδιαχώρητοι, ἔοικε τεταχέναι τὴν λέξιν.

Κορακῖνος.] « Οἱ μὲν θαλάττιοι, φησὶν Ἰκέσιος, ὀλιγότροφοι καὶ » εὐέκκριτοι, εὐχυλίᾳ γε (γρ. εὐχυλίᾳ δὲ) μέσοι... Σπεύσιππος δ', ἐν » δευτέρῳ Ὁμοίων, ἐμφερεῖς φησιν εἶναι μελάνουρον καὶ κορακῖνον... » Οἱ δὲ Νειλῶται κορακῖνοι, ὅτι γλυκεῖς καὶ εὔσαρκοι, ἔτι δὲ ἡδεῖς, » οἱ πεπειραμένοι ἴσασιν ». Ταῦτα λέγει ὁ Ἀθήναιος (σελ. 308-309) περὶ τοῦ Κορακίνου· προσίθησι δὲ, ὅτι καὶ Πλατίσακον, καὶ Σαπέρδην, καὶ Πλάτακα, ἀλλαχοῦ δὲ (σελ. 118 καὶ 121) ὅτι καὶ Πέλτην, ἐκάλουν αὐτόν. Ἔστι δὲ οὐ μόνον τοῖς μελανούροις (ἅπερ ἡ συνήθεια Μελανούρια καλεῖ), ἀλλὰ καὶ τοῖς σκιαδεῦσιν ἢ σκιαίναις ἐμφερὴς ὁ κορακῖνος· ὃν ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 115) ὑπὸ τῶν νῦν Ἑλλήνων, Καραλτσίδια, Caralzidia φησὶν ὀνομάζεσθαι, ἢ κακῶς ἀκούσας, ἢ κακῶς γράψας. Εἰκὸς γὰρ τὸ πληθυντικὸν τοῦ ὑποκοριστικοῦ, Κορακίνια, (περὶ ὧν ἐν τοῖς ἑξῆς εἰρήσεται), ἢ Κορακίδια, εἰς τὸ Κορατσίδια ἐκκεχυδαΐσθαι. Ὅτι δὲ οὐκ ἦν ἔδεσμα διαφέρον ὁ Κορακῖνος, ἐδήλωσε μὲν καὶ ὁ λίχνος Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 294) περὶ τοῦ κατὰ τὴν Ἰταλίαν γόγγρου λέγων, ὅτι,

> Καὶ γόγγρος σπουδαῖος ἁλίσκεται, ὥστε τοσοῦτον
> Τῶν ἄλλων πάντων ὄψων κρατεῖ οὗτος, ὅσονπερ
> Θύννος ὁ πιότατος τῶν φαυλοτάτων κορακίνων.

Ἐδήλωσε δὲ καὶ ὁ κωμικὸς Ἄμφις (παρὰ τῷ αὐτ. σελ. 309), φήσας,

> Ὅστις κορακῖνον ἐσθίει θαλάττιον,
> Γλαύκου παρόντος, οὗτος οὐκ ἔχει φρένας.

Εἰ δὲ καὶ Σαπέρδης ἐλέγετο ὁ κορακῖνος, ἔχομεν καὶ περὶ τούτου ῥῆσιν Ἀρχεσράτου (παρὰ τῷ αὐτ. σελ. 117)·

> Σαπέρδῃ δ' ἐνέπω κλαίειν μακρὰ, Ποντικῷ ὄψῳ,
> Καὶ τοῖς κεῖνον ἐπαινοῦσιν. Παῦροι γὰρ ἴσασιν
> Ἀνθρώπων, ὅτι φαῦλον ἔφυ καὶ ἀκιδνὸν ἔδεσμα.

Πέρκη.] Ἔσωσαν τοὔνομα καὶ οἱ νεώτεροι· καλεῖται γὰρ Perca

(Ἰταλ.), Perche (Γαλλ.), Perch (Ἀγγλ.), Parsch ἢ Barsch (Γερμαν.). Ἐν δὲ τῇ καθ' ἡμᾶς φωνῇ καὶ Πέρκη, καὶ Περκίδα, τῆς παρὰ τὴν εὐθεῖαν, Περκὶς, αἰτιατικῆς εἰς ὀνομαστικὴν μεταποιηθείσης. Ἔστι δὲ ἡ Περκὶς ὑποκορισμὸς τῆς Πέρκης· καίπερ τοῦ Πλινίου (XXXII, 11) τὴν μὲν Πέρκην ἐν τοῖς λεπιδωτοῖς τῶν ἰχθύων καταλέγοντος, ἐν τοῖς ὀστρακοδέρμοις δὲ τὴν Περκίδα.

Τιβέρι.] Οὕτως ἔγραψα συνῳδῶς τῷ Λατίνῳ μεταφρασῇ, ἀντὶ τοῦ, τῇ βούρι (ἐν δυσὶν ἀσυνέτοις λέξεσιν), ἢ τῆς διαφόρου γραφῆς, Τύβουρι, ἢ, ὡς φέρει ἡ κατὰ Μόσχαν ἔκδοσις, τήβουρι. Τίβερις ἔστιν ὄνομα ποταμοῦ τοῦ διεξιόντος τὴν Ῥώμην, τοῦ νῦν ὑπὸ τῶν Ἰταλῶν καλουμένου Tevere, οὗ τὴν γενικὴν Γαληνὸς Τιβέρεως γράφει, ἡ δὲ ὀοτικὴ παρὰ Στράβωνι (σελ. 234) Τιβέρι, ἐσχημάτισαι. Ἄλλοι δὲ ἄλλως, οἷα φιλεῖ συμβαίνειν ἐν τοῖς ξενικοῖς ὀνόμασιν, ἔκλιναν τοὔνομα. Ταῦτα δέ μοι λέλεκται, ἵνα μή τις νομίσειε περὶ τῆς Τιβύρεως (ἢ πληθυντικῶς καὶ οὐδετέρως, Τιβύρων, ἢ Τιβούρων) εἶναι τὸν λόγον. Πόλισμα γάρ ἐστι τοῦτο Λατινικὸν ὑπὸ Ῥωμαίων Tibur, ὑπὸ δὲ τῶν νῦν Ἰταλῶν Tivoli, καλούμενον, πρὸς τῷ Ἀνίωνι ποταμῷ κείμενον· περὶ οὗ φησιν ὁ Στράβων (σελ. 238), «Ἐν » ὕψει δέ εἰσι τοῖς ἐν Ῥώμῃ Τιβουρά τε καὶ Πραίνεστος καὶ Τοῦσκλον. » Τίβουρα μὲν, ᾗ (γρ. μὲν ἐν ᾗ) τὸ Ἡράκλειον, καὶ ὁ καταῤῥάκτης, » ὃν ποιεῖ πλωτὸς ὁ Ἀνίων, ἀφ' ὕψους μεγάλου καταπίπτων εἰς φά- » ραγγα βαθεῖαν, καὶ κατάλση (γρ. καὶ καταῤῥάσσων) πρὸς αὐτῇ » τῇ πόλει... Ἐν δὲ τῷ πεδίῳ τούτῳ ὁ Ἀνίων (γρ. ὃ ὁ Ἀνίων) » διέξεισι, καὶ τὰ Ἄλβουλα καλούμενα ῥεῖ ὕδατα κ. τ. λ.». Καὶ ταῦτα μὲν περὶ τῆς τῶν ὀνομάτων διακρίσεως. Τοῦ δὲ κατὰ τὸν ποταμὸν Τίβεριν Λάβρακος μνημονεύει καὶ ὁ Γαληνὸς, ὡς ἐν τοῖς ἑξῆς γενήσεται δῆλον· ἔτι δὲ καὶ Πλίνιος ἄριστον εἶναι λέγων τὸν ἐν τῷ μεταξὺ τῶν δύο γεφυρῶν τοῦ Τιβέρεως λάβρακα, Lupi pisces in Tiberi amne inter duos pontes (*Plin. lib. IX, cap.* 54).

Καὶ οἱ ἐν Ἀνίωνι, λίμνη τε τῇ κατὰ Φαλερνοὺς κ. τ. λ.] Ὁ μὲν Ἀνίων ποταμὸς καλεῖται νῦν ὑπὸ τῶν Ἰταλῶν Teverone. Φαλερνοὺς δὲ λέγει τοὺς μεταξὺ Σινουέσσης πόλεως καὶ Καλήνου (Calvi). Λίμνη δ' ἡ κατὰ Φαλερνοὺς εἴη ἂν ἡ ὑπὸ τοῦ Μαρτιαλίου καλουμένη Sinuessanus lacus, ὅ ἐστι Σινουεσσηνὴ λίμνη.

Εὔχυλον γὰρ καὶ εὐπρόσφορον ἡ ἐκεῖ δίδωσι δίαιτα.] Ἡ ἐν ἐκείνοις γὰρ τοῖς ποταμοῖς καὶ λίμναις διατριβὴ καὶ διαγωγὴ δίδωσι, τουτέστι ποιεῖ, τὸν λάβρακα εὔχυλον καὶ εὐπρόσφορον, ὅ ἐστιν ἡδὺν ἐν τῇ προσ-

φορᾷ καὶ γεύσει· τοῦτο γὰρ σημαίνει τὸ, Εὐπρόσφορον· καὶ οὐχ ὅπερ ἡρμήνευσεν ὁ μεταφραστὴς Λατῖνος, valde accomodatum, ὅπερ ἂν εἴη μᾶλλον, εὔθετον, καὶ οὐκ εὐπρόσφορον, οὐδ', ὡς ἡγήσατο ἑρμηνευτέον εἶναι ἕτερος, facile parabile, ὃ ἐστιν εὐπόριστον. Ὅθεν καὶ ὁ Ἀθήναιος (σελ. 356) φησὶ, « Λευκίσκοι, κέφαλοι, » κεστρεῖς... ὅμοιοί εἰσι κατὰ τὴν προσφοράν », τουτέστι κατὰ τὴν γεῦσιν.

Καὶ μὴ περιπιμέλους.] Προσέθηκα τὴν ἀπαγόρευσιν· οὐδὲ γὰρ εἰκὸς τὸν ἰατρὸν Ξενοκράτην ἐπαινεῖν τοὺς περιπιμέλους, ὅ ἐστι τοὺς ἄγαν πίονας τῶν ἰχθύων, προδήλως ὄντας ἐναντίους ὑγείᾳ. Λέγει δὲ καὶ ὁ Ἱπποκράτης (Περὶ παθ. § 46, σελ. 191), « Ἰχθύες κοῦφον » ἔδεσμα, καὶ αὐτοὶ ἐφ' ἑωυτῶν, καὶ μεθ' ἑτέρων σιτίων. Αὐτοὶ δὲ » ἐφ' ἑωυτῶν διαφέρουσιν ὧδε· οἱ μὲν λιμναῖοι καὶ πίονες, καὶ οἱ » ποτάμιοι, βαρύτεροι· οἱ δὲ ἀκταῖοι θαλάσσιοι, κουφότεροι. Καὶ » δίεφθοι (ἴσ. γρ. Καὶ ἕφθοι) ὀπτῶν κουφότεροι ».

ί. Τῶν δὲ ἰχθύων ἃ μέν ἐστι νηχαλέα, ἃ δὲ σελάχη, τὰ δὲ μαλάκια, τὰ δὲ ὀστράκια.] Ἡμαρτῆσθαι τὴν κατ' εἴδη τῶν ἰχθύων διαίρεσιν ταύτην καὶ οἱ πρὸ ἡμῶν ἐσημειώσαντο. Αὐτίκα τὸ Νηχαλέα γραφικὸν ἔοικεν ἁμάρτημα εἶναι· καὶ γὰρ αὐτὸν τὸν Ξενοκράτην, οὐκ εἰκὸς ἑνί τινι εἴδει ἰχθύων προσνεῖμαι, τὸ νήχεσθαι, Νηχαλέαν φύσιν, ἐν ἀρχῇ τοῦ συγγράμματος (τμ. ά) ὀνομάσαντα τὴν τῶν ἰχθύων ἁπαξαπάντων φύσιν. Ὤφειλεν οὖν κἀνταῦθα εἰπεῖν, Τῶν ἰχθύων ἃ μέν ἐστι λεπιδωτὰ κ.τ.λ. Οὕτω γὰρ ὠνόμαζον οἱ ἀρχαῖοι τῶν ἰχθύων τὰ λεπίδας ἔχοντα· τῶν δὲ μὴ ἐχόντων Σελάχη μὲν ἐκάλουν τὰ χονδρώδη (cartilagineux), τουτέστι τὰ ἀντὶ ἀκάνθης χόνδρον ἔχοντα, Μαλάκια δὲ (mollusques), καθὰ σημαίνει καὶ τοὔνομα, τὰ μαλακὰ τῇ ἁφῇ, καὶ μήτ' ἀκάνθην μήτε χόνδρον ἔχοντα, οἷά εἰσιν αἱ σηπίαι, οἱ πολύποδες καὶ τὰ ὅμοια, Ὀστρακώδη δὲ, τὰ ὀστράκῳ καλυπτόμενα, ἃ ὑποδιήρουν εἰς τὰ σκληρόστρακα (testacés), ὥσπερ ὄστρεα, κτένας, χήμας καὶ τὰ παραπλήσια, καὶ εἰς τὰ μαλακόστρακα (crustacés), οἷον καράβους, παγούρους, καὶ τὰ ὅμοια. Ἀλλὰ μήποτε ἐξερρύη τι τοῦ χωρίου κατὰ τοιοῦτόν τινα τρόπον γεγραμμένου τὸ πάλαι· Τῶν δὲ ἐνύδρων ἃ μὲν ἐστι νηχαλέα, ἃ δὲ μόνιμα, τὰ δὲ κ. τ. λ. Καὶ οὕτως γὰρ γράψας, ἠμελημένῃ μὲν ἂν ἐχρήσατο διαιρέσει, οὐ μὴν παντάπασι τοῦ ἀκριβοῦς ἀλλοτρίᾳ. Ἔσαι γὰρ τὸ Νηχαλέα τηνικαῦτα ταυτὸν καὶ τὰ παρ' Ἀριστοτέλει Νευσικά, τουτέστι τὰ νήχεσθαι φύσιν ἔχοντα

τῶν ἐνύδρων, ἀντιδιεςαλμένως πρὸς τὰ Μόνιμα, ἢ πρὸς τὰ Πορευτικά. Οὕτως γὰρ ἐκεῖνος (Περὶ ζ. ἱςορ. Α, 1) ποιεῖται τὴν διαίρεσιν τῶν ἐνύδρων, παρα μὲν τὰς διαίτας, εἰς θαλάττια, ποτάμια, λιμναῖα, καὶ τελματιαῖα, ὑποδιαιρῶν τὰ θαλάττια εἰς πελάγια, αἰγιαλώδη, καὶ πετραῖα· παρὰ δὲ τὴν ἐν τοῖς τόποις σχέσιν, εἰς νευςικὰ, πορευτικὰ, καὶ μόνιμα, τῶν μὲν μονίμων (ἃ καὶ ἀκίνητα λέγει) παράδειγμα φέρων τὰ σκληρόςρακα, τῶν πορευτικῶν δὲ, τὸ τῶν καρκίνων γένος, τῶν δὲ νευςικῶν τοὺς ἰδίως λεγομένους ἰχθύας, τὰ μαλάκια, καὶ τὰ μαλακόςρακα.

ΕΝΥΔΡΑ.
- Θαλάσσια, . . .
  - Πελάγια,
  - Αἰγιαλώδη,
  - Πετραῖα.
- Ποτάμια,
- Λιμναῖα,
- Τελματιαῖα.

ΕΝΥΔΡΑ.
- Νευςικὰ,
- Πορευτικὰ,
- Μόνιμα.

ιά. Ἀφύα.] Ἄμεινον διὰ τοῦ η̄, Ἀφύη. Ἠπόρηται περὶ τῆς παρὰ τοῖς παλαιοῖς Ἀφύης· οἱ μὲν γὰρ ἐξαίρετον εἶδος ἰχθύων ὑπειλήφασιν εἶναι μικροφυές· οἱ δὲ τινῶν ἰχθύων τοὺς γόνους μικροὺς ἔτι ληφθέντας καὶ τηλικούτους ὥςε συγκατεσθίεσθαι ταῖς ἀκάνθαις, τῷ κοινῷ τῆς Ἀφύης ὀνόματι προσηγορεῦθαί φασι. Κωβῖτιν ἀφύην γὰρ ἔλεγον τὰ μικρὰ κωβίδια, οἷα καὶ ἐν τοῖς Παρισίοις ἐσθίεται ἀπὸ τηγάνου τὰ καλούμενα goujons, ἅπερ ἐςὶ τοῦ τῶν κωβιδίων γένους· καὶ Ἀφύην τριγλῖτιν, καὶ Ἀφύην ἐξ ἀθερίνης, οἵαι παρ' ἡμῖν ὁμοίᾳ σκευασίᾳ ἐσθίονται αἱ καὶ τοὔνομα φυλάξασαι ἀθερίναι. Ην δὲ καὶ Ἀφύη ἀφρῖτις, ὅθεν ἔοικε παράγεσθαι τὸ τῶν Γάλλων frai, ἴσως δὲ καὶ τὸ fretin (οἷς σημαίνουσι τὰ μικρὰ ἰχθύδια), καὶ τὰ παρ' ἡμῖν νῦν Ἀφρόψαρα, οἷς δηλοῦμεν, ὡς φησιν ὁ Σοννίνιος (*Voyag. en Grèce. Tom. I, pag.* 278), τὰ λεπτὰ μελανουρίδια. Τούτων δ' ἀρίςη ἦν ἡ κατὰ τὸ Φαληρὸν τῆς Ἀττικῆς ἀφύη· ὅθεν καὶ ὁ Ἀρχέςρατος, τὰς ἄλλας ὅλας ἐν οὐδενὶ λόγῳ τιθέ-

μενος, ταύτην μόνην ζητεῖν παραινεῖ τοῖς κατ' αὐτὸν ὀψοφάγοις (παρ' Ἀθην. σελ. 285)·

Τὴν ἀφύην μίνθου πᾶσαν, πλὴν τὴν ἐν Ἀθήναις·
Τὸν γόνον ἐξαυδῶ, τὸν ἀφρὸν καλέουσιν Ἴωνες.
Καὶ λάβε πρόσφατον αὐτὸν ἐν εὐκόλποισι Φαληροῦ
Ἀγκῶσι ληφθέντ' ἱεροῖς. Κἀν τῇ περικλύστῳ
Ἐξὶ Ῥόδῳ γενναῖος, ἐάν γ' ἐπιχώριος ἔλθῃ.
Ἂν δέ που ἱμείρῃ αὐτοῦ γεύσασθαι, ὁμοῦ χρὴ
Κνίδας ὀψωνεῖν, τὰς ἀμφικόμους ἀκαλήφας·
Ἐς ταὐτὸν μίξας δ' αὐτὰς, ἐπὶ τηγάνου ὄπτα,
Εὐώδη τρίψας ἄνηθ' λαχάνων ἐν ἐλαίῳ.

Καὶ ὑποκοριστικῶς δὲ ὠνόμασε τὰς ἀφύας Ἀριστοφάνης (παρὰ τῷ αὐτ.), εἰπών·

Μηδὲ τὰ μικρὰ τὰ Φαληρικὰ τάδ' ἀφύδια.

Περὶ δὲ τῆς δυνάμεως αὐτῶν τάδε λέγει Μνησίθεος ὁ Ἀθηναῖος (παρὰ τῷ αὐτ. σελ. 357), «Ἀφύαι δὲ, καὶ μεμβράδες, καὶ τριχίδες, » καὶ τἆλλα ὅσων συγκατεσθίομεν τὰς ἀκάνθας, ταῦτα πάντα τὴν » πέψιν φυσώδη ποιεῖ, τὴν δὲ τροφὴν δίδωσιν ὑγράν. Τῆς οὖν πέψεως » οὐχ ὁμαλιζούσης, ἀλλὰ τῶν μὲν σαρκῶν ἄγαν ταχὺ πεττομένων » τῆς δὲ ἀκάνθης σχολῇ διαλυομένης (καὶ γὰρ ἅμα αἱ ἀφύαι καθ' » αὑτὰς ἀκανθώδεις), ἐμποδισμὸς αὐτῶν ἑκατέρου γίνεται περὶ τὴν » κατεργασίαν· εἶτα φύσαι μὲν ἀπὸ τῆς πέψεως, ὑγρασίαι δὲ ἀπὸ » τῆς τροφῆς συμβαίνουσι. Βελτίω δέ ἐσιν ἑψόμενα, τῆς δὲ κοιλίας » ἐσὶν ἀνωμάλως ὑπάκτικά».

Λοπάσι σκευαζόμενον.] Τουτέσιν, ἐν λοπάσι, ἢ ἐν λοπάδι, σκευαζόμενον. Ἡ δὲ ἐν λοπάσι σκευασία (ἀναλογοῦσα ἀπὸ μέρους τῇ παρὰ τοῖς Γάλλοις καλουμένῃ sur le plat) ἐγίνετο διὰ παντοίων ἡδυσμάτων ἢ ἀρτυμάτων, καὶ ἀντιθιέσαλται, πρός τε τοὺς ἑψομένους, καὶ τοὺς ὀπτωμένους, καὶ τοὺς ταγηνιζομένους τῶν ἰχθύων.

ιϐ'. Ἀλώπεκες.] Ὡς καὶ παρὰ τῷ Ἀριστοτέλει· παρὰ δὲ τῷ Ἀθηναίῳ ἀρσενικῶς (ὁμοίως τῇ παρὰ Ξενοκράτει διαφόρῳ γραφῇ), Οἱ Ἀλωπεκίαι. Εἰσὶ τοῦ τῶν γαλεῶν γένους, οὗ ἐσι καὶ ὁ κύων. Ὁ γὰρ Ἀρχέστρατος περὶ τοῦ Ῥοδιακοῦ γαλεοῦ τὸν λόγον ποιούμενος λέγει (παρ' Ἀθην. σελ. 286 καὶ 295)·

Ἐν δὲ Ῥόδῳ γαλεὸν, τὸν Ἀλώπεκα, κἂν ἀποθνήσκειν
Μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ (γρ. ἐθέλῃ), ἅρπασον αὐτόν.
Ὃν καλέουσι Συρακόσιοι κύνα, πίονα· κἄτα
Ὕστερον ἤδη πάσχ' ὅ τι σοι πεπρωμένον ἐστί.

Περὶ δὲ τῆς δυνάμεως ἐρεῖ Ξενοκράτης ἐν τῷ περὶ Γαλεῶν κεφαλαίῳ.

Ἵππουροι.] Παρὰ τῷ Ἀθηναίῳ (σελ. 304) ἰκέσιος μὲν Ἱππουρέα καλεῖ τὸν Ἵππουρον, Δωρίων δὲ καὶ Ἐπαίνετος Κορύφαιναν αὐτὸν ὀνομάζεσθαί φασι. Ἄριζοι δὲ Ἵππουροι οἱ ἐν Καρύστῳ, εἰ χρὴ πιστεύειν Ἀρχεστράτῳ, λέγοντι·

—— Ἵππουρος δὲ Καρύστιός ἐστιν ἄριστος·
Ἄλλως τ' εὔοψον σφόδρα χωρίον ἐστὶ Κάρυστος.

Τοῖς κητώδεσιν αὐτὸν ἐγκαταλέγει ὁ Ὀππιανὸς (Ἁλιευτ. Α, 184 καὶ Δ, 404). Οἱ παρὰ τοῖς Γάλλοις ἰχθυολόγοι, ἐκ τοῦ Λιννaίου παραλαβόντες, τοῖς δυσὶν ἀρχαίοις ὀνόμασιν αὐτὸν καλοῦσι, Coryphène Hippurus, καὶ μέχρι τεσσάρων καὶ πέντε ποδῶν αὔξεσθαι φασὶ, καλεῖσθαι δὲ ὑπὸ τῶν ναυτιλλομένων Dorade, διὰ τὸ χρυσωπὸν τοῦ ὅλου σώματος (Ἰδ. *Dictionnair. d'Histoir. naturell., vol. VI, pag.* 278).

Θρίσσαι.] Τὴν αὐτὴν εἶναι βούλονται τὴν θρίσσαν καὶ τὴν παρ' Ἀριστοτέλει καλουμένην Τριχίδα, καὶ ἀρσενικῶς Τριχίαν. Ἀλλὰ τοῦτον μὲν Θεόδωρος ὁ Γαζῆς μεθηρμήνευσε διὰ τοῦ Sarda, τὴν δὲ τριχίδα, διὰ τοῦ Sardina, τὴν Θρίσσαν δὲ διὰ τοῦ Alosa, ἥ ἐστι τοῖς μὲν Γάλλοις Alose, τοῖς δὲ Γερμανοῖς Else. Ἔστι πλήρης ἀκανθῶν ἰχθὺς, καθὰ δηλοῖ καὶ ὁ Ἀριστοφάνης (Ἐκκλησ. 55),

—— Ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην
Ἔβηττε, τριχίδων ἐσπέρας ἐμπλήμενος·

ἔνθα ὁ σχολιαστὴς φησὶ, « Τῶν καλουμένων Θρισσῶν· αὗται ἐσθιόμεναι » βῆχα ἀνεγείρουσιν ». Ὡσαύτως δὲ καὶ αἱ παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτ. Α, 244) Θρίσσαι ὑπὸ τοῦ σχολιαστοῦ διὰ τοῦ Τριχαῖοι ἡρμηνεύθησαν, οὓς νῦν ἡ συνήθεια Τριχοὺς ὀνομάζει· τό γε οὖν ἔτυμον ταὐτὸν δύναται. Ὥσπερ γὰρ παρὰ τὴν γενικὴν Τριχὸς ὁ τριχίας καὶ ἡ τριχὶς, οὕτως παρὰ τὴν εὐθεῖαν Θρὶξ, ἡ Θρίσσα, κατὰ τὸ Θρᾷξ Θρᾴσσα καὶ Θρᾷττα, τὸ δηλοῦν οὐ μόνον τὴν ἐκ Θράκης γυναῖκα, ἀλλὰ καὶ ἰχθύος εἶδός τι ἕτερον τῆς Θρίσσης, οὗ μνημονέυει καὶ ὁ κωμικὸς Μνησίμαχος (παρ' Ἀθην. σελ. 329)·

Μύλλος, λεβίας, σπάρος, αἰολίας,
Θρᾶττα, χελιδὼν, καρὶς, τευθίς.

Ἡς Θρᾴττης ἢ Θρᾴσσης Θαλαττίας ἴσως εὑρήσει τις καὶ παρὰ τῷ Πλινίῳ τοὔνομα, εἰ τὸ παρ' ἐκείνῳ φερόμενον thassa τρέποι εἰς τὸ thrassa (*Plin. lib. XXXII, cap.* 11). Περὶ δὲ τῆς δυνάμεως τῆς Θρίσσης φησὶν Ἰκέσιος (παρ' Ἀθην. σελ. 328) « Θρίσσαι, ἀχυ- » ρώδεις, καὶ ἀλιπεῖς, καὶ ἄχυλοι ».

Λέρος.] Τοῦτο μὲν, παρ' οὐδενὶ κείμενον ὡς ἰχθύος ὄνομα, διαγραπτέον πάντως, οὐδ' εἰς τὸ Λάρος τρεπτέον, ὡς παρήνει τις τῶν πρὸ ἐμοῦ· εἰς δὲ τὴν χώραν αὐτοῦ εἰ χρὴ εἰσενεγκεῖν τὴν παρ' ἐνίοις σημειωθεῖσαν ὡς διάφορον γραφὴν, Σίλουρος, οὐκ ἔχω λέγειν. Ἔζι γὰρ οὐ τόδε μόνον ἄπορον, ἀλλὰ καὶ ἡ παράλειψις τῶν δυνάμεων τῶν κατειλεγμένων ἰχθύων, ὡς ἐσημειώσατο ὁ Γεσνῆρος. Τὰς γὰρ ποιότητας τῶν ἰχθύων ἐκθήσειν ἐπαγγειλάμενος ὁ Ξενοκράτης, ἀφύης, ἀλωπέκων, θρισσῶν, καὶ τούτου δὴ τοῦ λέρου, ἢ σιλούρου, οὐδεμίαν ὅμως αὐτῶν δύναμιν ἡ ποιότητα καταλέγει. Ἦν ὅτε ἀντὶ τοῦ, λέρος, ἠβουλόμην γράφειν λάριμοι, ἢ λάριμος, οὗ μνημονεύει μόνος ὁ Ὀππιανὸς (Ἁλιευτ. Γ, 399),

Καὶ μέν τις Θρίσσῃσιν ὁμῶς καὶ χαλκίσιν ἄγρην
Φράσσατ' ὀπωρινὴν, καὶ λάριμον εἶλε, καὶ ἔθνη
Τραχούρων, ——————————.

καὶ ὃν ὁ σχολιαστὴς διὰ τοῦ Κύλας, ὡς ἰδιωτικοῦ καὶ συνήθους ὀνόματος, ἑρμηνεύει. Ἀλλ', ἐπειδὴ ὁ μὲν Λάριμος οὔθ' εὕρηται παρ' οὐδενὶ ἑτέρῳ, οὔτε πιθανῶς ἂν τρέποιτο εἰς τὸν παρὰ τῷ Ὀβιδίῳ τε καὶ Πλινίῳ Λάμυρον, κἀκεῖνον οὐδὲν ἧττον ἄγνωστον ἰχθὺν, τὸ δὲ ἐν τῇ συνηθείᾳ Κύλας τοῦ σχολιαστοῦ, οὐδενὸς ἀκούσας μέμνημαι, προειλόμην τὴν ἀσύνετον γραφὴν κατὰ χώραν ἐᾶσαι.

Οἱ δὲ ἐκ πελάγους φεύγουσιν κ. τ. λ.] Ἡ γραπτέον, ὡς ἔγραψα τρέψας εἰς ἀντωνυμίαν τὸ ἄρθρον, ἢ τοῦτο σώζοντας (Οἱ δὲ ἐκ), τρεπτέον τὸ φεύγουσιν εἰς τὸ φεύγοντες. Περὶ δὲ τῶν δυνάμεων συμφέρεται οἷς φησι Μνησίθεος παρ' Ἀθηναίῳ (σελ. 358), « Δύσπεπτοι » δὲ, καὶ βαρύτατοι τῶν θαλασσίων εἰσὶν, οἱ μετεκβαίνοντες εἴς τε » ποταμοὺς καὶ λίμνας· οἷον κεφρεὺς, καὶ συλλήβδην τῶν ἰχθύων ὅσοι » δύνανται βιοτεύειν ἐν ἀμφοτέροις τοῖς ὕδασι ». Τὰ δὲ ἑπόμενα τοῦ κειμένου, Δύσχυλοι κ. τ. λ., ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει φέρεται

κατ' οὐδέτερον γένος, Δύσχυλα, οὐκ εὐςόμαχα, δύσπεπτα, ὀλιγότροφα.

ιγ'. Ἀχάρνης.] Ἀχάρνας καλεῖται ὑπ' Ἀριςοτέλους (Περὶ ζώων ἱςορ. ή, 19), Ἄχαρνος δὲ ὑπὸ τοῦ κωμικοῦ Καλλίου (παρὰ τῷ Ἀθην. σελ. 286)·

Κίθαρος ὀπτὸς, καὶ βατὶς, θύν-
νου τε κεφάλαιον τοδί·
ἐγχέλεια, κάραβοι, ΑΙ-
ΝΕΥΣ ἄχαρνος οὑτοσί·

Ἔνθα, ΑΙΝΙΕΥΣ, παρκινεῖ γράφειν ὁ Κασωβὼν, ἵν' ᾖ, ἄχαρνος ὁ ἐκ τῆς Αἴνου, Θρᾳκικῆς πόλεως. Εὕρηται δὲ παρ' Ἀθηναίῳ (σελ. 327 καὶ 356) καὶ Ἀκαρνὰν ἰχθὺς, ὃν τὸν αὐτὸν εἶναί τινες τῷ ἀχάρνα ἢ ἀχάρνῳ, ὑποπτεύουσιν, ἁμαρτηθείσης ἴσως τῆς γραφῆς. Ὁ μέντοι Ἡσυχιος φησὶ, θηλυκῶς, « Ἀχάρνα, εἶδος ἰχθύος » καὶ « Ἀκάρναξ » λάβραξ ». Τῶν νεωτέρων τινὲς παραπλήσιον εἶναι τὸν ἀχάρνην τῷ φάγρῳ διατείνονται (ἴδ. τὰς εἰς τὴν Γαλατ. μετάφρ. τοῦ Περὶ ζώων ἱςορ. Ἀριςοτέλ. σημειώσ. σελ. 59)· ἀλλ' ἐπέχειν ἄμεινον.

ιδ'. Βελόναι.] Αἱ καὶ Ῥαφίδες, συνωνύμως λεγόμεναι, διὰ τὸ εἰς ὀξύτατον ἀπολήγειν αὐτῶν τὴν κεφαλήν· διὸ καὶ Ἐπίχαρμος, Ὀξυρύγχους ῥαφίδας (παρὰ τῷ Ἀθην. σελ. 319) ἐκάλεσεν αὐτάς. Βελονίδια, οὐδετέρως, καὶ Βελονίδας θηλυκῶς ἡ συνήθεια καλεῖ.

Δύσφθαρτοι.] Λείπει ἔν τισι τῶν ἀντιγράφων ἡ ταύτης τὴν χώραν κατέχουσα ἐν ταῖς πρὸ τῆς ἐμῆς ἐκδόσεσι γραφὴ, Εὔφθαρτοι· ἐμοὶ δ' ἔδοξε τηρητέαν εἶναι τρέψαντα εἰς τὸ, Δύσφθαρτοι, ἵνα συνᾴδῃ τῷ τοῦ Διφίλου Δύσπεπτος. Φησὶ γὰρ ἐκεῖνος (παρὰ τῷ Ἀθην. σελ. 356) « Ῥαφὶς, ἡ βελόνη, καλεῖται δὲ καὶ ἀβλεννὴς, δύσπεπτος, » ὑγρὸς, εὐκοίλιος ».

ιέ. Βῶκες.] Συνῃρημένον ἐκ τοῦ Βόακες. Ἐκάλουν γὰρ αὐτοὺς, ὡς φησιν Ἀθήναιος (σελ. 286-287), Βόηκας, Βόακας, καὶ Βῶκας, παρὰ τὴν βοήν· τοῦτον γὰρ μόνον τῶν ἰχθύων φωνὴν ἔχειν. Ἀριςοφάνης δὲ ὁ γραμματικὸς ἔλεγε, κακῶς κεκλῆσθαι τὸν ἰχθὺν βῶκα, δέον βόωπα, ἐπεὶ, μικρὸς ὑπάρχων, μεγάλους ὤπας ἔχει· εἶναι οὖν τὸν βόωπα, βοὸς ὀφθαλμοὺς ἔχοντα. Ὅπως ποτ' ἂν ἔχῃ τὰ περὶ τῆς γραφῆς, ἡ παρ' ἡμῖν συνήθεια ἠκολούθησε τῇ τοῦ Ἀριςοφάνους παραδόσει· Βοῦπα γὰρ ἡμῖν (χυδ. Γοῦπα) ὁ ἰχθὺς λέγεται θηλυκῶς, μεταπλάσασιν εἰς ὀνομαςικὴν τὴν αἰτιατικὴν, βόωπα (συνῃρημένως

βῶπα). Παραπλήσιον εἶναι λέγει Σπεύσιππος (παρ' Ἀθην. σελ. 313) τὸν βόακα τῇ μαινίδι καὶ τῇ σμαρίδι. Περὶ δὲ τῆς δυνάμεως ὁ Δίφιλος (παρὰ τῷ αὐτ. σελ. 356) « Βῶξ δὲ (φησὶν), ἐφθὸς, εὔπεπτος, » εὐανάδοτον ὑγρὸν ἀνιεὶς, εὐκοίλιος· ὁ δ' ἀπ' ἀνθράκων, γλυκύτερος » καὶ ἁπαλώτερος ». Οἱ νεώτεροι τῶν ἰχθυολόγων οἴονται τὴν ὑφ' ἡμῶν καλουμένην βοῦπαν οὐ τὸν παρὰ τοῖς ἀρχαίοις βῶκα ἢ βῶπα (τὸν τοῦ Λινναίου Sparus boops) εἶναι, ἀλλὰ τὸν κάνθαρον (τὸν τοῦ Λινναίου Sparus Cantharus), περὶ οὗ ἐν τοῖς ἑξῆς.

Ἰουλίδες.] Καλεῖται Ἴουλος καὶ Ἰουλὶς ὁ ἰχθὺς, ὥς φησιν Ἀθήναιος (σελ. 304-305)· παρ' ᾧ καὶ Δωρίων παραινεῖ, « Ἰουλίδας ἕψειν μὲν ἐν » ἅλμῃ, ὀπτᾶν δὲ ἐπὶ τηγάνου ». Φησὶ δ' ὁ αὐτὸς Ἀθήναιος (σελ. 327). ὅτι καὶ Ὕκην (ἀπ' εὐθείας ἀρσενικῆς, ὁ Ὕκης) ἐκάλουν τὴν Ἰουλίδα, κατὰ τὸν Σμυρναῖον Ἕρμιππον. Εἰσὶ δὲ τῶν πετραίων ἰχθύων αἱ Ἰουλίδες, ὥσπερ καὶ αἱ πέρκαι καὶ αἱ φυκίδες, ὧν Γαληνὸς (Περὶ τροφ. δυνάμ. Γ, σελ. 345) τὴν τροφὴν εὔπεπτον, ὑγιεινοτάτην, καὶ γόνιμον αἵματος μέσου τῇ συσάσει, τουτέστι μήτε πάνυ λεπτοῦ καὶ ὑδατώδους, μήτε παχέος, φησὶν εἶναι. Διοσκορίδης δὲ (Β, 35) τὸν ἐξ αὐτῶν ζωμὸν κοιλίας ὑπαγωγὸν λέγει, σκευαζόμενον λιτῶς μεθ' ὕδατος καὶ ἐλαίου καὶ ἀνήθου. Παρ' ἡμῖν τανῦν ὁ Ἴουλος, ἢ Ἰουλὶς καλεῖται Γύλος, τὴν αὐτήν πως (Ἴουλος, Γίουλος, Γύλος) παθόντος ἀλλοίωσιν τοῦ ὀνόματος, ἣν καὶ τὸ Ἰατρεύω, Γιατρεύω. Ὁ δὲ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 155) Ζίλλον (Zillo) καλεῖσθαι φησὶ τοῖς νῦν Γραικοῖς, κακῶς ἀκούσας ἴσως, ἢ γράψας. Καὶ Ἀβδέλλαν δ' αὐτὴν, καὶ Ἰλλέκαν (Illecam), ἢ Ἰγλέκκαν (Iglecquam), ὀνομάζεσθαι προσέτι λέγει· ὧν τὸ μὲν Ἰλλέκα, ἴσως ἦν Γυλέκα, ἢ Γυλέσκα, ἀλλοιωθὲν δηλονότι καὶ τοῦτο ἐκ τοῦ Ἰουλὶς ἢ Ἰουλίσκη, τὸ δὲ Ἀβδέλλα, ἐπίθετον μᾶλλον ἂν εἴη τῆς Ἰουλίδος, εἰς προσηγορικὸν μεταπεσὸν ὄνομα, διὰ τὴν φύσιν τοῦ ἰχθύος. Προσίσχεται γὰρ τοῖς τῶν νηχομένων σώμασι, καὶ ἐκμυζᾷ δίκην βδέλλης τὸ αἷμα· διὸ καὶ ὁ Ὀππιανὸς (Ἁλιευτ. Β, 453), τῶν Ἰουλίδων τὸ αἱμοβόρον ἐμφανίσαι βουλόμενος, φησὶν,

——— Αἱ δ' οὐδὲν ἀναιδείης χαλόωσι,
Πρὶν θανέειν, ἢ ξανθὸν ἀπ' ἀνέρος αἷμα πάσασθαι·
Τόσσος ἔρως καὶ τοῖσιν ἐν ἰχθύσιν αἵματος ἀνδρῶν.

Λείπεται τέταρτον ὄνομα ἰδιωτικὸν τῶν Ἰουλίδων, Σγουρδέλλαι ᾧ φησιν ὁ αὐτὸς Βελλώνιος (Παρατηρήσ. Α, 30) τοὺς τὴν Λῆμνον οἰ-

κοῦντας νῆσον καλεῖν τὰς Ἰουλίδας. Ἀλλὰ τοῦτό γε οὐκ ἂν εἴη τῆς καθ' ἡμᾶς φωνῆς, εἰ μὴ τραπείη εἰς τὸ Σγουρέλαι· εἰκὸς γάρ τινας τῶν ἡμετέρων, οὕτω καλέσαι τὰς Ἰουλίδας, οὐκ ἐκ τῆς Ἰταλῶν φωνῆς παραλαβόντας (Zigurelle γὰρ ὑπὸ τῶν Γενουηνσίων καλοῦνται), ἀλλ' αὐτὸ τὸ ἀρχαῖον ὄνομα τῶν Ἰουλίδων οἱονεὶ μεθερμηνεύσαντας. Ἡ γὰρ διὰ τῆς τοῦ σώματος ἐπιφανείας τῶν Ἰουλίδων διήκουσα γραμμὴ παραπλήσιόν τι ἐμφαίνει ταῖς συνεσταλμέναις θριξὶ (cheveux crépus), ἃς οἱ ἀρχαῖοι, Οὔλας, ἡμεῖς δὲ Σγουρὰς καλοῦμεν. Καὶ μαρτυρεῖ τῇ εἰκασίᾳ ταύτῃ ὁ Σχολιαστὴς τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Β, 434), ὃς, ἐξηγούμενος τὸ ὄνομα τῶν Ἰουλίδων (ἀγνοήσας ὅμως ἢ ἑκὼν παραλείψας τὴν ἰδιωτικὴν αὐτῶν προσηγορίαν), φησὶν, « Ἰουλὶς, » ὄνομα ἰχθύος. Ἴουλος τέσσαρα σημαίνει· Ἴουλος, ὕμνος Διθυραμ- » βικός· Ἴουλος, ὁ σκώληξ· Ἴουλος ἡ σγουρότης, καὶ Ἴουλος ἡ ἐξ- » άνθησις τῶν γενείων ».

Τράχουροι, οἱ πρὸς ἐνίων σαῦροι καλούμενοι.] Ὀππιανὸς διαφορὰν οἶδε Τραχούρου καὶ Σαύρου· τὸν μὲν γὰρ ἐν τοῖς ἀμμώδεσι φύεσθαι, τὸν Τράχουρον (Ἁλιευτ. Α, 99), τὸν σαῦρον δὲ τοῖς πηλώδεσι καὶ τεναγώδεσιν μᾶλλον ἐμφιλοχωρεῖν. Καὶ Γαληνὸς δὲ (Γ, Περὶ τροφ. δυνάμ. σελ. 346-347) τὸν μὲν τράχουρον σκληρόσαρκον λέγων, τὸν δὲ σαῦρον, μέσον πως τῶν ἁπαλοσάρκων καὶ τῶν σκληροσάρκων, δῆλός ἐστιν ἕτερον τοῦτον τοῦ τραχούρου νομίζων. Ὁ Ἀθήναιος (σελ. 322) τὴν σκευασίαν μόνην τοῦ σαύρου διδάσκει ἐκ τοῦ κωμικοῦ Ἀλέξιδος· τὸν δὲ τράχουρον (σελ. 326) ὅτι ξηροτέραν ἔχει τὴν σάρκα λέγει, Διοκλεῖ μάρτυρι χρώμενος. Ὁ αὐτὸς δ' Ἀθήναιος (σελ. 305) καὶ τὴν θαλάττιον κίχλην, Σαῦρον ὑπ' ἐνίων καλεῖσθαι παραδέδωκε. Εἰκὸς οὖν, ὡς εἰκάζει Βελλώνιος, τὸν μὲν Σαῦρον γενικὸν ὄνομα ἰχθύων εἶναι, οὗ εἶδός τι ἦν ὁ Τράχουρος· ὃν ὁ Λινναῖος ὑπὸ τὸ γένος τῶν σκόμβρων τέταχε, Σκόμβρον τράχουρον (Γαλλ. Maquereau bâtard) ὀνομάσας, καὶ ὁ Φορσκώλιος (*Description. animal., pag. XVI*) τὸν αὐτὸν οἴεται εἶναι καὶ τὰ παρ' ἡμῖν νῦν πληθυντικῶς καὶ οὐδετέρως καλούμενα Σταυρίδια, ἢ μᾶλλον Σαυρίδια, σώσασι τὸ ἀρχαῖον τοῦ Σαύρου ὄνομα. Πιθανὸν δὲ καὶ τὴν παρ' ἡμῖν νῦν καλουμένην Λακέρδαν, ὑπὸ τῷ γενικῷ τῶν σαύρων ὀνόματι τετάχθαι τοῖς ἀρχαίοις· Ἡ γὰρ Λακέρδα Ῥωμαϊκόν ἐστιν ὄνομα, Lacerta, σημαῖνον τὸν χερσαῖον σαῦρον, τὸν καὶ σαῦραν θηλυκῶς λεγόμενον· παρ' ὃν καὶ ὁ θαλάττιος Σαῦρος ὠνόμασαι. « Σαῦρος (φησὶν » Ἡσύχιος), τὸ ἑρπετὸν ζῶον, καὶ ἰχθὺς μέγιστος, σαῦρος ». Καὶ

ἴσως οὗτος ἂν εἴη ὁ παρὰ μὲν τῷ Ὀππιανῷ (Ἁλιευτ. Α, 99) Τράχουρος, ὃν ὁ σχολιαστὴς ὅμοιον εἶναί φησι τῇ πηλαμύδι, παρ' ἡμῖν δὲ Λακέρδα καλούμενος· παρὰ γὰρ τὸν Σαῦρον καὶ ἑτέροις ὁ τράχουρος ἐκαλεῖτο ὀνόμασι, ὡς γοῦν ἔστι συλλογίσασθαι ἐκ τοῦ Ἡσυχίου « Σισορβάκος, τρά» χουρος ὁ ἰχθύς » καὶ αὖθις, « Σκιθακὸς, ἰχθύς, ὁ καὶ τράχουρος » ὃν ὑποβὰς (σελ. 1213) ὁ αὐτὸς Λεξικογράφος Σκίθαρκον καλεῖ.

Χάνναι.] Χάννη, θηλυκῶς, παρ' Ἀριστοτέλει καὶ πλείστοις ἑτέροις· Χάννον δ', ἀρσενικῶς, ὠνόμασε Νουμήνιος (παρ' Ἀθην. σελ. 327). Καὶ εἰ ἀληθὲς τὸ παρὰ τὸ Χαίνειν ἔτυμον, ὅθεν καὶ ὁ Ἐπίχαρμος (παρὰ τῷ αὐτ. Ἀθην.) Μεγαλοχάσμονας εἶρηκε τὰς χάννας, καταλληλοτέρα ἂν εἴη ἡ δι' ἑνὸς ν γραφὴ, Χάνος καὶ Χάννη. Ἔσωσεν ἡ συνήθεια τὸ ὄνομα τοῦ Χάνου (Γαλλ. Serran). Οὕτως ἐμφερῆ φησι Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 268) εἶναι τῷ ὀρφῷ τῷ ἡπάτῳ καὶ τῇ πέρκῃ τὸν χάννον, ὡς δυσδιάκριτον εἶναι τῷ μὴ μετ' ἐπισασίας θεωρήσαντι. Ἔπιθι τὰ περὶ τοῦ Χάννου διὰ μακρῶν σημειωθέντα ὑπὸ τοῦ Σοννινίου (*Sonnini, Voyag. en Grèce, Tom. I, pag.* 281-288). Ἔστι δὲ ὁ Χάννος ἀπαλόσαρκος, σκληρότερος δὲ τῆς πέρκης, ὥς φησι Δίφιλος (παρ' Ἀθην. σελ. 355).

Οὐκ εὐσόμαχον, οὐκ εὔφθαρτον.] Ἢ οὕτως γραπτέον μεθ' ἃς προσέθηκα δευτέρας ἀρνήσεως, ἢ, ὡς παρήνει ὁ Γεσνῆρος, « Οὐκ εὐσόμα» χον, δύσφθαρτον », ὃ τὸν αὐτὸν ἔχει νοῦν.

ις΄. Ἐρυθρῖνος.] Τὸν ἐρυθρῖνον, ὃν Ὕκην ἐκάλουν οἱ Κυρηναῖοι, ὅμοιον εἶναί φασιν ἡπάτῳ καὶ φάγρῳ Ἀριστοτέλης Σπεύσιππος καὶ Δωρίων (παρ' Ἀθην. σελ. 300). Διὰ ταύτην τε τὴν πρὸς τὸν φάγρον ἐμφέρειαν, τοῦτον μὲν Pagre καλοῦσιν οἱ νῦν Μασσαλιῶται, τὸν ἐρυθρῖνον δὲ Pageau, ὡς ἄν τις φαίη, φαγρίσκον (Ἰδ. Βελλών. σελ. 186). Ἔσωσεν ἡ συνήθεια τοὔνομα, ὑποκορίσασα εἰς τὸ οὐδέτερον Ἐρυθρινάριον (χυδ. Λυθρινάρι), πρὸς δὲ καὶ Ἐρυθρίνιον (χυδ. Λυθρίνι). Ὁ δὲ σχολιαστὴς τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Α, 97), καὶ λυθρινάρια καὶ ῥούσια καλεῖσθαι κοινῶς τοὺς ἐρυθρίνους λέγει· καὶ ἔοικε τὸ Ῥούσια, ξενικὸν ὄνομα εἶναι, διὰ τὸ ἐρυθρὸν τοῦ χρώματος, rosso τοῖς Ἰταλοῖς καλούμενον.

Ἐντατικὸς πρὸς συνουσίαν, εἴ τις αὐτὸν ἐν οἴνῳ πνίξας πίοι.] Ὁ δὲ Πλίνιος (XXXII, 10) παρορμὰν πρὸς συνουσίαν λέγει τὸν ἐρυθρῖνον ἐσθιόμενον· ὃ καὶ μετριώτερον εἰρῆσθαι δοκεῖ. Τῶν γὰρ προσφερομένων ἄλλων ἄλλα γονιμώτερα σπέρματος εἶναι οὐδεὶς ἠμφισβήτηκε· τὸν δ' ἀπὸ τοῦ πνιγέντος ἐρυθρίνου οἶνον τοῦτο ποιεῖν τῶν εἰκῇ

πεπισευμένων ἐςὶν, ὥσπερ καὶ τὸ πᾶν τοὐναντίον ἐργάζεσθαι τὴν τρίγλην, περὶ ἧς ὁ Ἀθήναιος (σελ. 325) λέγει, « Ἐὰν δ' ἐναποπνιγῇ » τρίγλη ζῶσα ἐν οἴνῳ, καὶ τοῦτο ἀνὴρ πίῃ, ἀφροδισιάζειν οὐ δυ- » νήσεται ».

ιζ'. Θράνις, ἢ ξιφίας.] Σκιφίαν δωρικῶς Ἐπίχαρμος (παρ' Ἀθην. σελ. 282) καλεῖ τὸν ξιφίαν, καθὰ καὶ Σκιφύδρια ὁ αὐτὸς (παρὰ τῶ αὐτ. σελ. 85) τὰ ξιφύδρια, περὶ ὧν ἐν τοῖς ἑξῆς (τμ. νϑ') Ξενοκράτης. Ἡμῖν δὲ νῦν Ξιφιὸς ὀνομάζεται (Γαλλ. espadon), ὡς Κολιὸς παρὰ τὸ Κολίας, καὶ Κοχλιὸς παρὰ τὸ Κοχλίας. Ταῦτα Ἀρχέςρατος λέγει περὶ τοῦ ξιφίου (παρ' Ἀθην. σελ. 314)·

Ἀλλὰ λάβε ξιφίου τέμαχος, Βυζάντιον ἐλθὼν,
Οὐραίου τ' αὐτὸν τὸν σφόνδυλον· Ἔςι δὲ κεδνὸς
Κὰν πορθμῷ, πρὸς ἄκραισι Πελωριάδος προχοαῖσι,

Πορθμὸν λέγων τὸν χωρίζοντα τῆς Ἰταλίας τὴν Σικελίαν, περὶ ἣν καὶ Στράβων μεγίςους ξιφίας θηρᾶσθαι μαρτυρεῖ, οὓς καὶ γαλεώτας ὀνομάζεσθαί φησιν (Στράβ. σελ. 24). Ὁ δὲ Θράνις εἴη ἂν ξιφίου εἶδους διαφόρου ὄνομα μᾶλλον, ἢ τοῦ αὐτοῦ συνώνυμον (ὥσπερ καὶ ὁ Γαλεώτης), παρὰ τὸ θράνος, ὃ σημαίνει τὸν πάσσαλον, δι' ὃ φέρει ῥύγχος πασσάλῳ παραπλήσιον. « Θρανίον... πάσσαλος » φησὶν Ἡσύχιος. Ὁ δ' αὐτὸς Λεξικογράφος καὶ Θορηνέα τὸν ἰχθὺν ὀνομάζει· « Θορηνεὺς, ὁ ξιφίας ἰχθὺς », παρὰ τὸ θορεῖν, ὥσπερ καὶ ὁ θύννος, παρὰ τὸ θύειν· « Θορεῖν, πηδῆσαι » καὶ « Θύσας, πηδήσας » φησὶν ὁ αὐτός. Πηδητικοὶ γὰρ ἀμφότεροι, ὡς φησιν Ἀριςοτέλης (Περὶ ζώων ἱςορ. Η, 19), « Οἱ δὲ θύννοι καὶ ξιφίαι οἰςρῶσι περὶ κυνὸς ἐπιτολὴν... » ὡς' ἐξάλλεσθαι ἐνίοτε οὐκ ἔλαττον τὸν ξιφίαν τοῦ δελφῖνος· διὸ καὶ » τοῖς πλοίοις πολλάκις ἐμπίπτουσι ». Ἴσως ὁ Θράνις, ἐκεῖνο τοῦ Ξιφίου τὸ γένος, ἢ ἐκείνῳ παραπλήσιόν ἐςιν, ὅπερ ὠνόμασεν ὁ Λακεπέδης (*Histoir. natur. des Poissons, Tom. IV, pag.* 218, *édit. de* 1799), Xiphias épée, πρὸς διαςολὴν τοῦ ἰδίως καλουμένου Ξιφίου, Xiphias espadon. Ὁ γὰρ Xiphias épée οὗτος ἐπιεικῶς ἀμβλύτερον καὶ παχύτερον θατέρου, καὶ παττάλῳ μᾶλλον ἢ ξίφει ἐμφερὲς, φέρει τὸ ῥύγχος. Διόρθου ἐν παρόδῳ καὶ τὸν Αἰλιανὸν (Περὶ ζ. ἰδιότητ. Θ, 40) ἐν οἷς λέγει περὶ τοῦ Ξιφίου· « Ὁ γοῦν » ξιφίας ἀμύνει ΤΗ ΠΤΕΡΥΓΙ, ὡς ξίφει, ἔνθεν τοι καὶ κέκληται », γράφων, ΤΩ ΡΥΓΧΕΙ.

Ἐςὶ, Ψαφαρός.] Τραχὺς, σκληρός. « Ψαφαρὸν, ξηρὸν, αὐχμηρὸν κ.τ.λ. »

φησὶν Ἡσύχιος· ἑρμηνεύει δὲ καὶ Γαληνὸς τὸ παρ' Ἱπποκράτει, Ὑποψάφαρα, διὰ τοῦ τραχύτερα. Καὶ αὕτη μέν ἐστιν ἡ τῆς κατὰ Μόσχαν ἐκδόσεως γραφή· πρότερον δ' ἐγράφετο, Ἐςὶ φορᾶς, ὅπερ οὐδένα μὲν ἔχει νοῦν, ἐνδέχεται μέντοι λείψανον ὀρθωτέρας ἄλλης γραφῆς εἶναι, τῆς Ἐςὶ, δύσφαρτος.

Ὑπογάςριον.] Ὑποκοίλιον λέγει τοῦτο ἡ συνήθεια· καὶ ἔςι ταὐτὸν τῷ ἐν τοῖς προεκτεθεῖσιν (ἀνωτέρ. σελ. 62) Ἀρχεςράτου ἔπεσιν οὐραίῳ. Ἐπηνεῖτο δ' ὡσαύτως καὶ τὸ τοῦ Θύννου ὑπογάςριον· περὶ οὗ ἔπιθι ἃ παρέθετο ὁ Ἀθήναιος (σελ. 302) κωμικῶν μαρτύρια.

ιή. Θύννος καὶ Θυννίς.] Ὁ Θύννος (Γαλλ. thon) ἔσωσε καὶ παρ' ἡμῖν τὸ ἀρχαῖον ὄνομα. Περὶ τῆς Θυννίδος ἠπόρηται, εἰ ὁ Θῆλυς Θύννος ὠνόμασαι Θυννὶς (ὥσπερ ἡ τοῦ ἀλέκτορος Θήλεια, ἀλεκτορὶς), ἢ ἑτέρα ἐςὶ τοῦ Θύννου ἡ Θυννίς (ὥσπερ τῆς χαλκίδος ὁ χαλκεύς)· περὶ οὗ ἐπίτω ὁ βουλόμενος τὸν διὰ πλείςης ὅσης ἐπιμελείας πραγματευσάμενον περὶ τούτων Σνεϊδέρον (Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 53-60). Τὴν γὰρ Θήλειαν τοῦ Θύννου, Θύνναν, οὐ Θυννίδα, καλεῖ ὁ Ὀππιανός (Ἁλιευτ. Δ, 505)· ὁ δὲ Ἀρχέςρατος, οὗ τὸ μαρτύριον ὑποβὰς παραθήσομαι, Θύνναν καὶ Θυννίδα τὴν αὐτὴν ἔοικε λέγειν. Ἕτεροι δὲ (παρ' Ἀθην. σελ. 303) τὴν πηλαμύδα, Θυννίδα καλεῖσθαί φασι. Ἦν δὲ καὶ παρ' ἡμῖν, καὶ ἔςιν ἴσως ἔτι, καὶ Θύννας ὄνομα, εἰ μὴ τοῦ Θύννου, τῆς γοῦν πηλαμύδος, διαφόρου, ᾗ δηλοῖ ὁ Πτωχοπρόδρομος ἐν τῷ Κατὰ Ἡγουμένων ποιήματι (στίχ. 223),

Ἢ παλαμύδαν, ἢ σκουμπρὶν, ἢ Θύνναν Βρωμαρέαν.

Παραθώμεθα δὲ νῦν καὶ τὰ τοῦ Ἀρχεςράτου (παρ' Ἀθην. σελ. 302)·

Ἀμφὶ δὲ τὴν ἱεράν τε καὶ εὐρύχορον Σάμον ὄψει
Θύννον ἁλισκόμενον σπουδῇ μέγαν· ὃν καλέουσιν
Ὄρκυνον, ἄλλοι δ' αὖ Κῆτος. Τούτου δὲ θεοῖς χρὴ
Ὀψωνεῖν ἃ πρέπει ταχέως, καὶ ΜΗΤΕΡΙ ΤΙΜΗΣ.
Ἔςι δὲ γενναῖος Βυζαντίῳ, ἔν τε Καρύςῳ·
Ἐν Σικελῶν τε (ἴσ. γρ. δὲ) κλυτῇ νήσῳ Κεφαλοιδῖς ἀμείνους
Πολλῷ τῶνδε τρέφει, καὶ Τυνδαρὶς ἀκτή.
Ἂν δέ ποτ' Ἰταλίας ἱερᾶς Ἱππώνιον ἔλθῃς,
——————— πολὺ δή, πολὺ πάντων
Ἐνταῦθ' εἰσὶν ἄριςοι, ἔχουσί τε τέρματα νίκης.

Οἱ δ' ἐπὶ τῶνδε τόπων, πεπλανημένοι εἰσὶν ἐκεῖθεν,
Πολλὰ περάσαντες πελάγη βρυχίου διὰ πόντου·
Ὡς' αὐτοὺς ἡμεῖς θηρεύομεν ὄντας ἀώρους.

Καὶ ταῦτα μὲν περὶ τοῦ Θύννου· ὧν τὸν τέταρτον στίχον οὕτω διορθοῦν ἐπεχείρησα πάλαι (ἴδ. τὰς εἰς τὴν τελευταίαν Ἀθην. ἔκδ. σημειώσ. Τόμ. Δ, σελ. 234), ΜΗ ΠΕΡΙ ΤΙΜΗΣ, τουτέστι μὴ ἀκριβολογοῦ, μηδὲ φιλονείκει, περὶ τῆς τιμῆς, ἀλλ' ἀγόραζε ὁπόσου βούλοιτο πωλεῖν ὁ πωλῶν σοι. Περὶ δὲ τῆς θύννης ἢ θυννίδος φησὶν ὁ αὐτὸς Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 303)·

Καὶ θύννης οὐραῖον ἔχειν, ἣν θυννίδα φωνῶ
Τὴν μεγάλην, ἧς μητρόπολις Βυζάντιόν ἐστιν.
Εἶτα τεμὼν αὐτὴν, ὀρθῶς ὄπτησον ἅπασαν,
Ἁλσὶ μόνον λεπτοῖσι πάσας, καὶ ἐλαίῳ ἀλείψας.
Θερμά τ' ἔχειν τεμάχη, βάπτων δριμεῖαν ἐς ἅλμην.
Κἂν ξηρὰν ἐθέλῃς ἔσθειν, γενναῖαι πέλονται,
Ἀθανάτοισι θεοῖσι φυὴν καὶ εἶδος ὁμοῖαι.
Ἂν δ' ὄξει ῥάνας παραθῇς, ἀπόλωλεν ἐκείνη.

Κολίας... σκόμβρος.] Κολιὸν καλοῦμεν νῦν τὸν Κολίαν (ἴδ. ἀνωτέρ. σελ. 62)· Σκομβρίον δὲ (χυδ. Σκουμπρὶ) τὸν σκόμβρον (Γαλλ. Maquereau). Ἐμφερεῖς δ' εἰσὶν οὕτως ἀλλήλοις οἱ ἰχθύες, ὥσε μεγέθει μόνον διαφέρειν αὐτούς. ὡήθησαν οἱ ἰχθυολόγοι. Καὶ Πλίνιος μὲν ἐλάχιστον τῶν σαύρων καλεῖ τὸν κολίαν, Colias sive Parianus, sive Sexitanus a patria Bætica lacertorum minimi (*Plin. lib. XXXII, cap. II*), εἶδος δηλονότι σαύρου (ἴδ. ἀνωτέρ. σελ. 60) ὑποτιθέμενος τὸν κολίαν· ᾧ συνηγορεῖ ἐκ τῶν νεωτέρων καὶ ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 202), φάσκων οὐδενὶ ἄλλῳ ἢ τῷ μικρότερον εἶναι τοῦ σκόμβρου τὸν κολίαν διαφέρειν. Τοὐναντίον δ' ὁ Ρονδελέτος μείζω λέγει τὸν κολίαν τοῦ σκόμβρου (ἴδ. τὰς εἰς τὴν Γαλλ. μετάφρ. τοῦ Περὶ ζώων ἱστορ. Ἀριστοτέλ. σημειώσ. σελ. 238)· ᾧ συνάδειν ἔοικέ πως ἐκ τῶν ἀρχαίων ὁ Ἰκέσιος (παρ' Ἀθην. σελ. 321), φάσκων «τοὺς σκόμβρους ἐλαχίστους μὲν εἶναι κατὰ τὸ μέγεθος, τρο» φίμους δὲ τῶν κολιῶν μᾶλλον καὶ εὐχυλωτέρους, οὐ μὴν εὐεκκρι» τωτέρους». Οἱ νῦν Μασσαλιῶται Cogniol καλοῦσι τὸν Κολίαν, παραφθείραντες ἐπιδήλως τὸ παρὰ τοῖς αὐτῶν προγόνοις, τοῖς Φωκαεῦσιν, ὄνομα τοῦ Κολίου.

Ὄρκυνος,

Ορκυνος, πηλαμύς.] Ἔσωσεν ἡ συνήθεια τὸ ὄνομα, τὸν μὲν, Ὄρκυνον, καὶ μεταθέσει στοιχείων, Ὄκρυνον (Σομαυέρ. Λεξικ. λέξ. Ὄκρινος), τὴν δὲ, Παλαμύδαν καλοῦσα, ἀπ' εὐθείας, Ἡ παλαμύδα. Καὶ κατὰ μὲν τοὺς παλαιοὺς, Θύννος καὶ ὄρκυνος καὶ πηλαμὺς, οὐ διαφόρου εἴδους ἀλλὰ διαφόρου ἡλικίας ἐσὶν ὀνόματα, ὥσε τὸν αὐτὸν ἰχθὺν ἐξ ὠοῦ μὲν ἐξερχόμενον καλεῖσθαι σκορδύλην (τὴν καὶ κορδύλην), ἢ αὐξίδα, ἐπὶ ποσὸν δὲ μεγέθους προελθόντα, πηλαμύδα, ἢ Θυννίδα, μείζω δὲ γενόμενον, Θύννον, ἔτι δὲ μείζω, ὄρκυνον. Καὶ Ἀριστοτέλης μὲν (Περὶ ζώων ἱστορ. ς', 16, § 5) φησὶν, « Ὅταν γὰρ τέκωσιν οἱ ἰχθύες ἐν τῷ Πόντῳ, γίγνονται » ἐκ τοῦ ὠοῦ ἃς καλοῦσιν οἱ μὲν σκορδύλας, Βυζάντιοι δὲ αὐ- » ξίδας, διὰ τὸ ἐν ὀλίγαις ἡμέραις αὐξάνεσθαι· καὶ ἐξέρχονται μὲν » τοῦ φθινοπώρου ἅμα τοῖς Θύννοις, εἰσπλέουσι δὲ τοῦ ἔαρος ἤδη » οὖσαι πηλαμύδες ». Προσιθέσθω δὲ τούτοις καὶ τὰ τοῦ Σωσράτου (παρὰ τῷ Ἀθην. σελ. 303) « Τὴν πηλαμύδα Θυννίδα καλεῖ- » σθαι, μείζω δὲ γινομένην, Θύννον, ἔτι δὲ μείζονα, ὄρκυνον, » ὑπερβαλλόντως δὲ αὐξανόμενον, γίνεσθαι κῆτος ». Ταῦτα Πλίνιος οὕτως παρέφρασε, Thynni... intrant e magno mari Pontum verno tempore gregatim, nec alibi fetificant. Cordylæ adpellantur partus, qui fetas redeuntes in mare autumno comitantur : Limosæ vere, aut e luto pelamides, incipiunt vocari; et quum annuum excessere tempus, thynni (*Plin. lib. IX, cap.* 15). Οἱ δὲ νεώτεροι ἰχθυολόγοι, εἰ καὶ τἆλλα συγχωροῦσι, τὴν γοῦν πηλαμύδα ἑτέραν εἶναι τοῦ Θύννου διατείνονται. Αἴτιον δὲ τῆς συγχύσεως τῶν ὀνομάτων φασὶ τὸ παραπλησίαν εἶναι τὴν πηλαμύδα τῷ Θύννῳ. Καὶ περὶ μὲν τῶν ἐν διαφόροις τόποις ἁλισκομένων ὀρκύνων ἢ Θύννων παρεθέμεθα ἀνωτέρω (σελ. 63-64) τὰ εἰρημένα τῷ Ἀρχεσράτῳ· οἷς προσπαρατιθέσθω ἃ φησι Δωρίων (παρ' Ἀθην. σελ. 315)· « Τοὺς ὀρκύνους ἐκ τῆς περὶ Ἡρακλέους σήλας » θαλάσσης περαιουμένους εἰς τὴν καθ' ἡμᾶς ἔρχεσθαι θάλασσαν· » διὸ καὶ πλείσους ἁλίσκεσθαι ἐν τῷ Ἰβηρικῷ καὶ Τυρρηνικῷ πελάγει· » κἀντεῦθεν κατὰ τὴν ἄλλην θάλασσαν διασκίδνασθαι ». Λέγει δὲ καὶ ὁ Ἰκέσιος (παρὰ τῷ αὐτ.), « Τοὺς μὲν ἐν Γαδείροις ἁλισκομέ- » νους, πιμελεσέρους εἶναι, μετὰ δὲ τούτους, τοὺς ἐν Σικελίᾳ· τοὺς » δὲ πόρρω Ἡρακλείων σηλῶν, ἁλιπεῖς, διὰ τὸ πλείονα τόπον ἐκνε- » νῆχθαι ». Περὶ δὲ τῆς τοῦ ὄψου δυνάμεως φησὶ Δίφιλος (παρὰ τῷ αὐτ. σελ. 356-357), ὅτι, « Θυννὶς καὶ Θύννος βαρεῖς καὶ πολύ-

» τροφοι... Ἡ δὲ πηλαμὺς πολύτροφος μέν ἐςι καὶ βαρεῖα, οὐρη-
» τικὴ δὲ καὶ δύσπεπτος... ἡ δὲ μείζων, συνοδοντὶς καλεῖται »·
» Καὶ σημειοῦ ὅτι Δίφιλος καὶ ἄλλο συνώνυμον τῆς πηλαμύδος οἶδε
τὴν καλουμένην συνοδοντίδα. Ἃ δὲ περὶ τῶν τοῦ ὀρκύνου δυνάμεων
λέγει προσφάτου τε καὶ ταριχηροῦ, παραθησόμεθα ἐν τῷ περὶ ταρί-
χων λόγῳ. Ὁ δὲ Βελλώνιος (σελ. 109), καὶ ἑτέρου θύννου μνημ-
μονεύει, ὃν τοὺς μὲν Κρῆτάς φησι καλεῖν Λίσσαν ἢ Γλίσσαν, τοὺς
λοιποὺς δὲ τῶν Ἑλλήνων, Κόπανον· οἴεταί τε τὸν αὐτὸν μὲν εἶναι
καὶ τὸν παρὰ τῷ Ἀθηναίῳ (σελ. 322) Σκεπινὸν καλούμενον, διά-
φορον δὲ τοῦ παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτ. Α, 106) Σκεπάνου.
Καὶ τοῦτον γὰρ τὸν παρὰ τῷ Ὀππιανῷ Σκέπανον, ὁ σχολιαστὴς Κό-
πανον ἡρμήνευσε.

Κακόχυμοι.] Ἡ κατὰ Μόσχαν ἔκδοσις φέρει, Κακόχυλοι.

ιϑ'. Σειῶνες, βραχυκέφαλοι.] Πλὴν ἐν τούτῳ τῷ χωρίῳ, παρ' οὐ-
δενὶ ἑτέρῳ εὕρηται οὔτε τῶν σειώνων, οὔτε τῶν βραχυκεφάλων ὄνομα,
καϑὰ καὶ ἕτεροι πρὸ ἡμῶν ἐσημειώσαντο· διὸ εἰκαζον πάλαι γραπτέον
εἶναι Σύες, βάτραχοι, κέφαλοι, γνωσὰ τρία τοῖς δυσὶν ἀγνώ-
στοις ἀνϑυποβάλλων ὀνόματα. Καὶ περὶ μὲν τοῦ συὸς οὐκ ἀπίϑανος ἡ
διόρϑωσις, ἐπεὶ καὶ παρ' Ἀθηναίῳ (σελ. 356-357) συγκαταλέγεται ὁ
σῦς τῷ οὐρανοσκόπῳ, ὥσπερ ἐνϑάδε, καὶ παραπλησίας αἷς φησὶ Ξε-
νοκράτης ἔχειν λέγονται δυνάμεις ἀμφότεροι. « Καπρίσκος καλεῖται
» μὲν καὶ Σῦς· βρομώδης δ' ἐςὶ καὶ σκληρός. Κιϑάρου τ' ἐςὶ δυσπεπ-
» τότερος· δέρμα δὲ ἔχει εὔσομον... οὐρανοσκόπος δὲ καὶ ὁ ἄγνος
» καλούμενος, ἢ καὶ καλλιώνυμος, βαρεῖς (γρ. οὐρανοσκόπος δὲ, ὁ
» καὶ ἄγνος... βαρὺς)». Περὶ δὲ τῶν λοιπῶν ἐπέχειν μοι δέδοκται.
Περὶ τοῦ Συὸς, ἢ Ὑὸς, ταῦτα ὁ Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 326)
παραινεῖ βωμολόχως τοῖς κατ' αὐτὸν ὀψοφάγοις·

Ἐν δ' Αἴνῳ καὶ τῷ Πόντῳ τὴν ὗν ἀγόραζε,
Ἣν καλοῦσί τινες θνητῶν ψαμμῖτιν ὀρυκτήν.
Τούτου τὴν κεφαλὴν ἕψει, μηδὲν προσενεγκὼν
Ἥδυσμ', ἀλλ' ἐς μοῦνον ὕδωρ ἐνϑεὶς, ϑαμὰ κινῶν,
Ὕσσωπον παράϑες τρίψας· κἂν ἄλλο τι χρήιζῃς,
Δριμὺ δεὶς ὄξος· κᾆτ' ἐμβάπτευε, κ' ἐπείγου
Οὕτως, ὡς πνίγεσϑαι ὑπὸ σπουδῆς καταπίνων.
Τὴν λοφιὰν δ' ὀπτᾶν αὐτῆς, καὶ τἄλλα τὰ πλεῖσα.

Ἡλακατῆνες.] Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασι τοῖς πρὸ ἐμοῦ

Κτένες. Ἄτοπος γὰρ ἂν ἦν Ξενοκράτης τοὺς κτένας, τῶν ὀστρακοδέρμων ὄντας, συγκαταλέγων ἰχθύσι, πρὸς οὓς οὐδὲν ἔχουσι κοινὸν, ἄλλως τε καὶ μακροὺς περὶ τῶν κτενῶν ποιησόμενος λόγους ἐν τῷ οἰκείῳ τόπῳ (τμ. μδ'-μέ). Θαυμαστὸν δὲ καὶ τὸ τοὺς πρὸ ἐμοῦ, μὴ μόνον ἐᾶσαι κατὰ χώραν τὴν ἀνόητον γραφὴν, Κτένες, ἀλλὰ μηδὲ ὅλως σημειώσασθαί τι ἀπορήσαντας περὶ αὐτῆς. Ὥρα δὲ νῦν καὶ τὰς ἀφορμὰς ἐκθέσθαι, ὅθεν τούτου, καὶ οὐκ ἄλλου ἰχθύος, ὄνομα προειλόμην ἀνθυποβαλεῖν τῷ τῶν κτενῶν ὀνόματι. Πρῶτον μέν ἐστιν αὐτὴ ἡ γραφὴ Κτένες, ἣν ὑποσυνάψας τοῖς τελευταίοις στοιχείοις ἄλοι τοῦ προηγησαμένου ὀνόματος, εὑρήσεις τοὺς ἠλακατῆνας κακῶς ὑπὸ κακοῦ ἀντιγραφέως καταχωσθέντας. Ἔπειτα τοῖς γαλεοῖς καὶ τοῖς κυσὶ, τουτέστιν ἰχθύσι κητώδεσι, συνωνόμασεν αὐτοὺς Ξενοκράτης. « Ἠλακατῆνες, θαλαττίων ἰχθύων οἱ κητώδεις », φησὶν Ἡσύχιος, κακῶς μὲν (ὤφειλε γὰρ εἰπεῖν, θαλάσσιοι ἰχθύες κητώδεις), ἱκανῶς δὲ πρὸς τὴν ἡμετέραν πρόθεσιν. Λέγει δὲ καὶ ὁ Ἀθήναιος (σελ. 301) « Ἠλακατῆνες... εἰσὶ δὲ κητώδεις, ἐπιτήδειοι εἰς ταρι» χείαν », καὶ παρατίθεται Μενάνδρου μαρτύριον τόδε,

Κωβιὸς, ἠλακατῆνες καὶ κυνὸς οὐραῖον·

ἔνθα σημείωσαι, ὅτι καὶ Μένανδρος, ὥσπερ Ξενοκράτης, τὸν κύνα μετὰ τοὺς ἠλακατῆνας ὠνόμασε. Καὶ διώρθου ἐκ τούτων τὸν Εὐσάθιον (Ὀδυσσ. Α, σελ. 1423), « Οἱ δὲ ἠλακατῆνες, ὅθεν γίνονται » ζητητέον· ἰχθύες δὲ οὗτοι θαλάσσιοι ΚΩΒΙΩΔΕΙΣ, ταριχευόμενοι, » ὡς φησι Παυσανίας », γράφων ΚΗΤΩΔΕΙΣ· εἰκὸς γὰρ τὸν Εὐσάθιον, ἢ καὶ αὐτὸν τὸν Παυσανίαν, ἠπατῆσθαι ἐκ τῆς παρὰ τῷ Μενάνδρῳ, ἢ ἄλλῳ τινὶ ποιητῇ (ἴδ. Ἀθήν. σελ. 403) τοῦ κωβιοῦ μνήμης, ὃν τινες εἰς τὸν Κολίαν τρέπειν παρήνουν. Τὸν Ἠλακατῆνα δέ τινες τοῦ τῶν θύννων γένους εἶναι ᾠήθησαν τῶν μεγίστων, ἐξ ὧν καὶ τὰ ἐν τοῖς ἑξῆς (τμ. ογ') μνημονευθησόμενα μελάνδρυα ἐσκευάζετο, οὐ πάνυ πιστὰ λέγοντες ἔμοιγε. Ἔπιθι τὸν Γεσνῆρον (Περὶ ἐνύδρ. σελ. 427).

Χελιδόνες.] Εἰ ὀρθῶς εἶχεν, ἥνπερ ἀνωτέρω εἴκασα τοῦ Βραχυκέφαλοι τροπὴν εἰς τὸ, Βάτραχοι, κέφαλοι, ἐξῆν ἂν καὶ ἐνθάδε εἰς τὴν χώραν τοῦ Χελιδόνες, καταξῆσαι τὸ Χέλωνες, ἢ, ὡς ἕτεροι, Χελλῶνες, ὄνομα ἰχθύος ὁμοειδοῦς τῷ κεφάλῳ, ὡς φησιν Ἱκέσιος (παρὰ τῷ Ἀθην. σελ. 306), « Τῶν δὲ καλουμένων λευκίσκων » πλεονά ἐστιν εἴδη. Λέγονται γὰρ οἱ μὲν κέφαλοι, οἱ δὲ κεστρεῖς,

» ἄλλοι δὲ χελλῶνες, οἱ δὲ μυξῖνοι... καταδεέστεροι δὲ πάντων οἱ » χελλῶνες, οἱ λεγόμενοι βάκχοι ». Ἔστι καὶ ἑτέρως διορθοῦν τρέποντας εἰς τὸ Χελιδονίαι, ὄνομα ἰχθύος διαφόρου τῆς Χελιδόνος, ἢ διαφόρους δυνάμεις προσίθησι Δίφιλος τῶν παρὰ τῷ Ξενοκράτει. Νῦν δὲ ἀγαπητέον τῇ ἐκδεδομένῃ γραφῇ, Χελιδόνες, αἵπερ εἰσὶν αἱ αὐταὶ καὶ ἃ ἡ παρ' ἡμῖν συνήθεια καλεῖ Χελιδόνια, καὶ Χελιδονόψαρα. Εἰσὶ δὲ ἐμφερεῖς τοῖς καλουμένοις ἱέραξι, τοῖς θαλασσίοις, καὶ τῷ σχήματι καὶ τῇ πτήσει· πέτανται γὰρ καὶ αἱ χελιδόνες, τουτέστιν ἐπὶ τοσοῦτον ἐξάλλονται τῆς θαλάσσης, ὥστε δοκεῖν ἵπτασθαι, ὥσπερ καὶ οἱ ἱέρακες καὶ αἱ τευθίδες. Διὸ καὶ ὁ Ὀππιανὸς (Ἁλιευτ. Α, 427) φησίν·

Ἠέρα δ' αὖ τέμνουσι, καὶ εἰνάλιοί περ ἐόντες,
Τευθίδες, ἰρήκων τε γένος, βυθίη τε χελιδών.
Οἵδ', ὅτε ταρβήσουσιν ὑπέρτερον ἐγγύθεν ἰχθύν,
Ἐξ ἁλὸς ἀνθρώσκουσι, καὶ ἠέριοι ποτέονται.

Ἔστι καὶ τῆς χελιδόνος ἕτερος ἰχθὺς, ὡς προλέλεκται, ὁ ἀρσενικῶς καλούμενος, Χελιδονίας· καὶ οὗτος μὲν σκληρὸς, τὸ δ' ἀπὸ τῆς χελιδόνος ὑγρὸν εὔχροιαν ποιεῖ, καὶ κινεῖ αἷμα, ὥς φησι Δίφιλος (παρὰ τῷ Ἀθην. σελ. 357).

Οὐρανοσκόποι.] Πολλοῖς καὶ ἄλλοις ὀνόμασι προσαγορεύεται ὁ οὐρανοσκόπος· καλεῖται γὰρ, Ἄγνος, Καλλιώνυμος (ἀνωτέρ. σελ. 66), Ἡμεροκοίτης, Ψαμμοδύτης, καὶ Νυκτερίς. Καὶ τῶν τελευταίων ὀνομάτων ἔτυχε, διὰ τὸ ἡμέρας κεῖσθαι ἐν τῇ ἄμμῳ, νυκτὸς δ' ἐπὶ θήραν ἐξιέναι. « Ἀμεροκοίτης, ὁ καλλιώνυμος ἰχθὺς » φησὶν Ἡσύχιος· καὶ πάλιν, « Καλλιώνυμος, εἶδος ἰχθύος· μεταφέροντες δέ » τινες τὴν λέξιν, καὶ ἐπὶ τοῦ αἰδοίου ἔτασσον ἀνδρός τε καὶ γυναι- » κὸς », καὶ αὖθις· « Ψαμμοδύτης, ἰχθὺς, ὃν καὶ Καλλιώνυμον ονο- » μάζουσιν ». Ὅθεν ἴσως ἐστὶν ἀποδοῦναι καὶ τὸν λόγον τῆς προσηγορίας τοῦ καλλιωνύμου ἰχθύος, κατ' εὐφημισμὸν δηλονότι προσαγορευθέντος οὕτως, ὥσπερ καὶ τοῦ αἰδοίου. Ἔστι γὰρ λῃστρικὸς καὶ βορώτατος ἰχθὺς, ὅπερ ἐμφαίνει καὶ ὁ Ἡμεροκοίτης· Ἡμερόκοιτος γὰρ ὁ κλέπτης καλεῖται (Ἡσύχ. λέξ. Ἡμερόκοιτος). Ἴσως δὲ καὶ ὁ Ἄγνος (παρὰ τὸν ἀγνὸν) κατὰ τοιοῦτόν τινα εὐφημισμὸν ἢ ἀντίφρασιν εἴρηται. Οὐρανοσκόπος δ' ἐκλήθη διὰ τὴν ἐπὶ τῆς κεφαλῆς θέσιν τῶν ὀμμάτων· διὸ καὶ Ἀνωδόρκαν τὸν αὐτὸν συνωνύμως κεκλῆσθαί τινες ὑπειλήφασιν, ἀπὸ ταύτης ὡρμημένοι τῆς λέξεως Ἡσυχίου, « Ἀνωδόρκας, βρίκχος

» ὁ ἰχθὺς ὑπὸ Θηβαίων ». Καὶ εἰκὸς τὸν αὐτὸν ἰχθὺν εἶναι, εἰ τρέποιτο τὸ Βρίκχος εἰς τὸ Βάτραχος, ἢ γοῦν εἰς τὸ ταυτόσημον Βάρακος· καὶ γὰρ ὁ αὐτὸς Ἡσύχιος ἐν ἄλλοις, « Βάρακος, ἰχθὺς » ποιὸς — Βάρακος, βάτραχος » φησί. Μᾶλλον δ' ἂν τοῦτο πιθανὸν γένοιτο, εἰ ἀληθὲς τὸ ὑπὸ τῶν νεωτέρων μαρτυρούμενον (ἴδ. *Forskæl, Descript. animal, etc. pag. XIV*), ὅτι τὸν Οὐρανοσκόπον, τῶν νῦν Ἑλλήνων οἱ μὲν Βυζάντιοι, Βάτραχον, οἱ δὲ Σμυρναῖοι, Βοῦφον, ἢ Λύχνον καλοῦσι. Παρὰ γὰρ τοῖς ἀρχαίοις τὸν Βάτραχον ἰχθὺν ἕτερον ὄντα τοῦ Οὐρανοσκόπου, προὔργου ἐστὶ τὸ ζητῆσαι, εἰ καὶ οἱ νῦν Ἕλληνες διαφόρῳ ἑκάτερον, ἢ κοινῷ τῷ βατράχου, ἢ βούφου, ὀνόματι ἀμφοτέρους καλοῦσι, διὰ τὴν ἐπὶ ποσὸν ἐμφέρειαν τῶν ἰχθύων· τὸ γὰρ Βοῦφος (χυδ. Μποῦφος) τῆς Λατίνων ἐστὶ φωνῆς **Bufo**, ᾧ σημαίνουσι ζῶον παραπλήσιον βατράχῳ τὸν παρὰ τοῖς ἀρχαίοις καλούμενον Φρύνον (Γαλλ. **Crapaud**), παρ' ἡμῖν δὲ νῦν μεταθέσει στοιχείων Φυρνὸν, καὶ Φουρνὸν, (Σομαυερ. Λεξικ. Ἰταλογραικ. λέξ. **Buffo**). Καὶ εἰκὸς τὸν Οὐρανοσκόπον Βοῦφον, τουτέστι Βάτραχον, οὐ μόνον κυριολεξεὶ ἀλλὰ καὶ μεταφορικῶς λέγεσθαι· Βοῦφον γὰρ (ἢ Μποῦφον) φαμὲν καὶ τὸν ἠλίθιον, καθὰ καὶ παρ' Ἡσυχίῳ οὐ μόνον « Βάρακος, βάτραχος » ὅπερ ἀνωτέρω παρεθέμεθα, ἀλλὰ καὶ « Βάρακον, τὸν ἄνουν καὶ βάρβαρον », καὶ, « Φρύ- » νος, βάτραχος, ἢ ΠΑΧΥΣ », ὃ τρεπτέον εἰς τὸ ΠΑΧΥΝΟΥΣ, ἢ ἐπὶ τούτου ἐκληπτέον. « Παχύνοι, παχὺν νοῦν ἔχοντες, ἀνόητοι » φησὶν ὁ αὐτὸς Λεξικογράφος. Νωθρὸς γὰρ καὶ ἀνόητος ὁ Οὐρανοσκόπος παραδέδοται, ἢ δῆλον ἐκ τοῦ Ὀππιανοῦ, οὗ καὶ τὴν ῥῆσιν παραθήσομαι, ἐρευνήσας πρῶτον καὶ τὸ λειπόμενον τρίτον ὄνομα νεώτερον τοῦ Οὐρανοσκόπου, τὸν Λύχνον, ὅπερ ἀπὸ τοῦ συνήθους Λύχνου ἐπὶ τὸν ἰχθὺν μετενηνέχθαι πεπίστευται, ἐγὼ δὲ Λίχνον ἂν μᾶλλον, ὃ ἐστι λαίμαργον, εἰρῆσθαι τὸν Οὐρανοσκόπον, διὰ τὸ πολυφάγον, ὑπέλαβον, εἰ μή μ' ἐκώλυεν Ἡσύχιος, φάσκων, « Λύχνος ἡ λαμπάς, » ἡ δᾷς, παρ' Ὁμήρῳ· καὶ ἰχθὺς κάλλιστος ». Ἐνδέχεται μέντοι καὶ συγκεχύσθαι παρ' Ἡσυχίῳ (οἷα πολλὰ τοιαῦτα συγκέχυνται παρ' αὐτῷ) τὴν γραφὴν τοῦ Λύχνου καὶ Λίχνου· ἢ καὶ τὸ νεώτερον ὄνομα, Λύχνος, ἀλλοίωσιν εἶναι βάρβαρον τοῦ Λύκος· Ὁ γὰρ Ἰκέσιος καὶ Λύκον ὑπό τινων ὠνομάσθαι τὸν Καλλιώνυμον φησὶ (παρὰ τῷ Ἀθην. σελ. 282)· καίπερ οὐ δῆλον ὂν, περὶ τίνος Καλλιωνύμου ὁ λόγος τῷ Ἰκεσίῳ· καὶ γὰρ καὶ τὸν ἀνθίαν ἰχθὺν, ἕτερον ὄντα τοῦ Οὐρανοσκόπου, καλλιώνυμον ἕτεροι ἐκάλουν. Συγκεχυμένα γὰρ παρὰ τοῖς ἀρχαίοις

καὶ σκοτεινὰ τὰ πλεῖστα τῶν εἰρημένων περὶ ἰχθύων, διὰ τὴν συχνὴν ὁμωνυμίαν. Ὥρα δὲ καὶ τὸ μωρὸν καὶ τὸ λαίμαργον τοῦ ζώου ἐκ τῆς ποιητικῆς τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Β, 199-212) εἰκόνος δηλῶσαι·

Φράζεο δ' ἀφραδίῃ προφερέστατον Ἡμεροκοίτην
Ἰχθὺν, ὃν περὶ πάντας ἀεργότατον τέκεν ἅλμη.
Τοῦ δ' ἤτοι κεφαλῆς μὲν ἄνω τέτραπται ὕπερθεν
Ὄμματα, καὶ στόμα λάβρον ἐν ὀφθαλμοῖσι μέσοισιν.
Αἰεὶ δ' ἐν ψαμάθοισι πανημέριος τετάνυσται
Εὕδων· νυκτὶ δὲ μοῦνον ἀνέγρεται, ἠδ' ἀλάληται·
Τοὔνεκα κέκληται καὶ Νυκτερίς. Ἀλλά μιν ἄτη
Γαστρὸς ἀτεκμάρτοιο κακὴ λάχεν· οὐ γὰρ ἐδωδῆς
Ἢ κόρον, ἠέ τι μέτρον ἐπίσταται, ἀλλ' ἀτέλεστον
Λύσσαν ἀεὶ βούβρωσιν ἀναιδέϊ γαστρὶ φυλάσσει·
Οὐ δέ ποτ' ἂν λήξειεν ἐδητύος ἐγγὺς ἐούσης,
Εἰσόκεν οἱ νηδὺς τε μέση διὰ πᾶσα ῥαγείη,
Αὐτός τε προταθεὶς πέσῃ ὕπτιος, ἠέ τις ἄλλος
Πέφνῃ μιν νεπόδων πυμάτης ἔμφορτον ἐδωδῆς κ. τ. λ.

Καὶ ταῦτα μὲν περὶ τῆς λυκώδους τοῦ ζώου λιχνείας. Ἀριστοτέλης δ' ἐτήρησεν ὅτι καὶ χολὴν ἔχει μεγίστην τῶν ἰχθύων ὁ Καλλιώνυμος, ὡς κατὰ μέγεθος, πιεσωσαμένων τοῦτο καὶ τῶν νεωτέρων διὰ τῆς ἀνατομῆς. Διὸ καὶ ὁ κωμικὸς Ἀνάξιππος (παρὰ τῷ Αἰλιαν. Περὶ ζώων ἰδιότητ. ιγ', 4) φησίν·

Ἐάν με κινῇς, καὶ ποιήσῃς τὴν χολὴν
Ἅπασαν, ὥσπερ Καλλιωνύμου, ζέσαι,
Ὄψει διαφέρων τοῦ ἐγξιφίου κυνός·

οὗ τὸν τελευταῖον στίχον Ἑλληνικὸν ἐκ βαρβάρου ποιήσεις, γράφων,

Ὄψει διαφέροντ' οὐδὲ ἓν ξιφίου κυνός.

Γαλεοὶ κύνες.] Οὐ μικρὰ καὶ ἐν τούτοις τοῖς ὀνόμασι σύγχυσις παρὰ τοῖς παλαιοῖς· περὶ ὧν ὁ βουλόμενος εἰδέναι τὸ ἀκριβές, ἢ τό γε πιθανὸν, ἐπίτω τὸν ἀκριβῶς τὰ τοῖς ἀρχαίοις περὶ τῶν ἰχθύων εἰρημένα συνειλοχότα Σνεϊδέρον (Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 130-137). Ἡμῖν δ' ἄλις ἐχέτω λέγειν, ὅτι Γαλεοὺς, ἢ Γαλεώδεις ἰχθύας, ἐκάλουν κοινῶς τῶν σελαχωδῶν ἢ χονδρωδῶν ἰχθύων τοὺς μὴ πλατεῖς ἀλλὰ μακρούς· ὧν εἴδη ἦσαν, ὁ Ἀκανθίας, ὁ Λεῖος, ὁ Ποικί-

λος, ὁ Σκύμνος, ὁ Ἀλωπεκίας (ὁ καὶ Ἀλώπηξ), ὁ Κεντρίνης, ὁ Νωτιδανὸς, ἢ Ἐπινωτιδεὺς, ὡς φησιν Ἀθήναιος (σελ. 294), τὰ μὲν ἐξ Ἀριστοτέλους, τὰ δ' ἐξ ἑτέρων παρειληφώς. Καὶ τὴν Ῥίνην δὲ (ἣν οὔτε τοῖς πλατέσιν, οὔτε τοῖς μακροῖς σελάχεσιν ἄν τις ἐγκαταλέξειε, τῶν μὲν πλατυτέραν, τῶν δὲ μακροτέραν, καὶ οἷον ἐν μεταιχμίῳ οὖσαν ἀμφοτέρων), τοῖς Γαλεοῖς ἐγκαταριθμοῦσιν ἔνιοι. Ἦν δὲ παρὰ τοῖς ἀρχαίοις καὶ Κύων, ἢ Γαλεὸς, ξιφίας ἐπιθετικῶς καλούμενος, ἕτερος τοῦ ἀνωτέρω (σελ. 62) μνημονευθέντος Ξιφίου, ὡς ἐσι συλλογίσασθαι ἔκτε τῆς προτεθείσης (σελ. 70) Ἀναξίππου τοῦ Κωμικοῦ ῥήσεως, καὶ ἐκ τοῦ Στράβωνος (σελ. 24)· Ξιφίας γὰρ οὗτος καὶ Γαλεώτας συνωνύμως καλεῖ τοὺς παρ' ἄλλοις Γαλεούς· « Ἐκ δὲ τῆς Θήρας αὐτῶν [τῶν Θύννων] πικίνεσθαι τοὺς γα-» λεώτας, οὓς καὶ ξιφίας λέγεσθαι, καὶ κύνας... συμβαίνειν δέ » ποτε καὶ τιτρώσκεσθαι διὰ τοῦ σκαφιδίου τὸν κωπηλάτην, διὰ τὸ » μέγεθος τοῦ ξίφους τῶν γαλεωτῶν, καὶ τὸ τὴν ἀκμὴν (ἴσ. ὁρμὴν) » τοῦ ζώου συαγρώδη εἶναι, καὶ τὴν Θήραν »· πλὴν εἰ μή τις ὑπολάβοι τοὺς ξιφίας μᾶλλον τοὺς ἀληθεῖς κακῶς τινας τῶν ἀρχαίων τοῖς γαλεοῖς ἐγκατατάξαι. Ἀριστοτέλης δὲ (Περὶ ζώων ἱστορ. ς', 10) ὡς Γαλεῶν εἶδος καὶ τοὺς Κύνας ὀνομάζει, καὶ τὰ Σκύλια, ἃ ὑπ' ἐνίων καὶ Νεβρίας γαλεοὺς καλεῖσθαί φησι. Καὶ ἐοίκασιν εἶναι τὰ Σκύλια τὰ αὐτὰ τοῖς παρὰ τῷ Ἀθηναίῳ Σκύμνοις, καθὰ ἐσημειώσατο καὶ ὁ Σνειδέρος· εἶεν δ' ἂν ἴσως ἐκεῖνο τοῦ Γαλεοῦ τὸ εἶδος, ὃ νῦν ἡμεῖς καλοῦμεν Σκυλόψαρον (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 197). Ἔσι δὲ παρὰ τῷ Αἰλιανῷ (Περὶ ζ. ἰδιότ. ιέ, 11 μετὰ τῶν σημ. τοῦ Σνειδέρ.) καὶ Γαλῆ (ἑτέρα τῶν ἀρσενικῶς λεγομένων Γαλεῶν), ἡ παρ' ἡμῖν νῦν Γαλία (παρὰ τὸ διαλελυμένον Γαλέη, ὥσπερ Συκία παρὰ τὸ Συκέη) καλουμένη, παρὰ δὲ τοῖς πρὸ ἡμῶν Γαλέη, ἢ Γαλέα, καθὰ δηλοῖ καὶ ὁ κατὰ τὴν δωδεκάτην ἑκατονταετηρίδα βιώσας Πτωχοπρόδρομος ἐν τῷ Κατὰ Ἡγουμένων ποιήματι (στίχ. 574),

Φιλομηλίτζας τρυφερὰς, κωβίδια, γαλέας,

Γαλέας μὲν καλῶν τὰς παρ' ἡμῖν Γαλίας, Φιλομηλίτζας δὲ ὑποκοριστικῶς, τοὺς κόκκυγας, οὓς ἀλλαχοῦ Φιλομήλας ὠνόμασεν, ὥσπερ ὀνομάζει αὐτὰς καὶ ὁ συνακμάσας ἴσως τῷ Πτωχοπροδρόμῳ σχολιαστὴς τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Α, 97), ἀποδιδοὺς ἅμα καὶ τὸ γελοῖον ἔτυμον τοῦ ὀνόματος τόδε· « Κόκκυγες αἱ φιλομῆλαι, διὰ τὸ » εἶναι αὐτὰς κοκκίνας· ἃς καὶ λέγουσιν εἶναι προσφιλεῖς τῶν κοκ-

» κίνων μήλων τῶν ὀπωρῶν ». Ἕτεροι δὲ διὰ τοῦ υ Φιλομύλας καὶ Φιλομύλους αὐτὰς ὠνόμασαν. Καὶ ταῦτα μὲν οἱ τὸν Γαλεὸν ὡς γενικὸν ὄνομα τῶν μακρῶν σελαχωδῶν ὑποθέμενοι. Ὀππιανὸς δε τοὐναντίον τοῦτον μὲν καὶ ἕνα τῶν ὑπὸ τούτῳ, τὸν Κεντρίνην, ὡς διαφόρους ἰχθῦς ἀνομάζει· ἑκάτερον δὲ ὑπὸ τὸν κύνα, ὡς ὑπὸ γενος, τάττει, οὑτωσὶ λέγων (Ἁλιευτ. Α, 373-382)·

——————— Εν δὲ κύνεσσι
Τριχθαδίη γενεή. Τὸ μέν ἄγριον ἐν πελάγεσσι,
Κήτεσι λευγαλέοις ἐναριθμιον· ἄλλα δὲ φύλα
Διπλόα καρτίζοισι μετ' ἰχθύσι δινεύονται
Πηλοῖς ἐν βαθέεσσι· τὸ μὲν κέντροισι κελαινοῖς
Κεντρίναι αὐδώωνται ἐπώνυμον, ἄλλο δ' ὁμαρτῇ
Κλείονται γαλεοί. Γαλεῶν δ' ἑτερότροπα φύλα·
Σκύμνοι, καὶ λεῖοι, καὶ ἀκανθίαι· ἐν δ' ἄρα τοῖσι
Ῥίναι, ἀλωπεκίαι, καὶ ποικίλοι. Εἴκελα δ' ἔργα
Πᾶσιν ὁμοῦ μορφή τε· σὺν ἀλλήλοις δὲ νέμονται.

Ἀλλαχοῦ δὲ πάλιν (Ἁλιευτ. Δ, 243) λέγοντα,

Ὄλλυνται γαλεοί τε κύνες, καὶ φύλα κελαινῶν
Κεντροφόρων, ———————

ὑπολητέον, ἵνα γοῦν μὴ ἀντιφάσκῃ ἑαυτῷ, οὕτως φάναι, ὥσπερ ἂν εἰ ἔλεγε, Τῶν κυνῶν οἵ τε καλούμενοι Γαλεοὶ καὶ οἱ καλούμενοι κεντροφόροι· δῆλον γὰρ ὅτι κεντροφόρους ὠνόμασεν ἐνθάδε, οὓς κεντρίνας εἴρηκεν ἀνωτέρω. Ἡγητέον οὖν καὶ τὸν Ξενοκράτη, εἰ μὲν ἀδιαζόλως Γαλεοὶ κύνες, γράφοις, περὶ ἐκείνου μόνου τῶν κυνῶν τοῦ εἴδους τὸν λόγον ποιεῖσθαι, οἳ καλοῦνται Γαλεοί· εἰ δὲ μετὰ διαζολῆς, Γαλεοὶ, κύνες, Γαλεοὺς μὲν καλεῖν τὸ τρίτον εἶδος τῶν παρὰ τῷ Ὀππιανῷ κυνῶν, ὧν εἰσὶ καὶ αἱ ἀνωτέρω (σελ. 55) Ἀλώπεκες, Κύνας δὲ, ὃ πρῶτον ἔταξεν Ὀππιανὸς, ἄγριον ἐπονομάσας. Καὶ εἶεν ἂν οὗτοι οἱ καὶ Καρχαρίαι καλούμενοι (Γαλλ. requins) πάντων ὠμοβορώτατοι τῶν κυνῶν, οὓς καὶ Σκύλλας, πρὸς δὲ καὶ Λαμίας (καθὰ καὶ νῦν ἔτι καλοῦμεν αὐτὰς ἐν τῇ συνηθείᾳ) ἐκάλουν ἕτεροι, ὥς φησι Νίκανδρος (παρὰ τῷ Ἀθην. σελ. 306), τὰς αὐτὰς οὔσας ταῖς ὑπὸ τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Α, 370, Ε, 36 καὶ 358) καλουμέναις Λάμναις. Ὅθεν ἐστὶν ἐξηγήσασθαι καὶ διορθῶσαι

τὰ τοῦ Ἡσυχίου, « Καρκὼ, λάμια », καὶ ἐν τῷ δ̄ στοιχείῳ, « ΔΡΑ-
» ΛΑΙΝΑ, λάμνα· Κῷοι ». Τὸ μὲν γὰρ Καρκὼ, καθ' ὑποκορισμὸν
εὔφημον κεκολοβῶσθαι δοκεῖ ἀπὸ τοῦ Καρχαρίας ἢ Καρκαρίας·
τὸ δ' ἑπόμενον οὐδεὶς ἄν με πείσειε μὴ οὐ γεγράφθαι πάλαι ΔΡΑ-
ΚΑΙΝΑ, θηλυκὸν ὄνομα τοῦ Δράκων, ᾧ εἰκὸς τοὺς Κῴους ὀνομάσαι
τὴν Λαμίαν, ἢ Λάμναν, διὰ τὸ ἄγριον καὶ ὠμοβόρον τοῦ ζώου. Ἔστι
καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ ἰχθὺς καλούμενος Δράκαινα (*Sonnin. Voyag. en Grec., Tom. I, pag.* 274)· ἀλλ' οὗτος σημαίνει τὸν
παρὰ τοῖς ἀρχαίοις δράκοντα, τὸν αὐτὸν ἴσως τῇ Δρακαινίδι (ἴδ.
Ἀθην. σελ. 287 καὶ 322), ὃν οἱ Γάλλοι vive, οἱ δ' Ἰταλοὶ dragone marino, καὶ ragana καλοῦσι, τοῦ τελευταίου τούτου ὀνόματος
ἐκ τοῦ Δράκαινα ἐξημβλωμένου, ὡς μαρτυρεῖ καὶ ἡ τῶν Γενουησίων διάλεκτος tragina τὸν αὐτὸν ἰχθὺν καλοῦσα. Ἐπανίωμεν δὲ νῦν
ἐπὶ τὴν λαμίαν ἢ τὸν καρχαρίαν, οὗ τοὺς ἀποσρεφομένους τὴν ἐδωδὴν
διὰ τὸ ἀνθρωποφάγον τοῦ θηρίου ἐπισκώπτων ὁ μηδενὸς τῶν ὄψων
ἀπεχόμενος Ἀρχέστρατος τάδε λέγει (παρ' Ἀθην. σελ. 310)·

Ἐν δὲ Τορωναίων ἄζει τοῦ καρχαρίου χρὴ
Τοῦ κυνὸς ὀψωνεῖν ὑπογάστρια κοῖλα κάτωθεν.
Εἶτα κυμίνῳ αὐτὰ πάσας ἁλὶ μὴ συχνῷ ὄπτα·
Ἄλλο δ' ἐκεῖσε, φίλη κεφαλὴ, μηδὲν προσενέγκῃς,
Εἰ μὴ γλαυκὸν ἔλαιον. Ἐπειδὰν δ' ὀπτὰ γένηται
Ἤδη, τριμμάτιον δὲ (γρ. τριμμάτιόν τε) φέρειν καὶ ἐκεῖνα μετ' αὐτοῦ.
Ὅσσα δ' ἂν ἐν λοπάδος κοίλης πληρώμασιν ἕψῃς,
Μήθ' ὕδατος πηγὴν αὐτοῖς, μήτ' οἶνινον ὄξος
Συμμίξῃς· ἀλλ' αὐτὸ μόνον κατάχευον ἔλαιον,
Αὐχμηρόν τε κύμινον, ὁμοῦ δ' εὐώδεα φύλλα.
Ἕψε δ' ἐπ' ἀνθρακιῆς, φλόγα τούτοις μὴ προσενεγκών·
Καὶ κίνει πυκνῶς, μὴ προσκαυθέντα λάθῃ σε.
Ἀλλ' οὐ πολλοὶ ἴσασι βροτῶν τόδε θεῖον ἔδεσμα·
Οὐδ' ἔσθειν ἐθέλουσιν ὅσοι κεπφαττελεβώδη
Ψυχὴν κέκτηνται θνητῶν, εἰσίν τ' ἀπόπληκτοι,
Ὡς ἀνθρωποφάγου τοῦ θηρίου ὄντος. Ἅπας δὲ
Ἰχθὺς σάρκα φιλεῖ βροτέην, ἄν που περικύρσῃ.

Περὶ δὲ τῆς δυνάμεως τῶν ἰχθύων ταῦτα οἱ ἀρχαῖοι· « Τῶν γαλεῶν
» βελτίονας εἶναι καὶ ἀπαλωτέρους τοὺς ἀσερίας καλουμένους... χεί-
» ρονα δ' εἶναι τὸν κεντρίνην καὶ δυσώδη· ὁ δὲ ἀλωπεκίας ὁμοιός ἐστι

» τῇ γεύσει τῷ χερσάιῳ ζώῳ, δι' ὃ καὶ τοῦ ὀνόματος ἔτυχε » (παρ' Ἀθην. σελ. 294 καὶ 356).

Κακόχυμοι.] Ἡ κατὰ Μόσχαν ἔκδοσις φέρει Κακόχυλοι.

Βρομώδεις.] Ἴσον τῷ δυσώδης, οἷον ἀνωτέρω ἐκ τοῦ Ἀθηναίου ἔφαμεν εἶναι τὸν Κεντρίνην γαλεόν. Καὶ ταῦτα μὲν περὶ τῆς σημασίας τοῦ ὀνόματος, ἣν ἔσωσε καὶ ἡ συνήθεια ἐν τῷ Βρομερός· περὶ δὲ τῆς γραφῆς, εἰσὶν οἳ διὰ τοῦ ω̄ ἐκφέρουσι τὴν πρώτην, Βρωμώδεις, ὥσπερ καὶ τὸ ἀφ' οὗ παρῆκται βρῶμος. Καὶ δοκεῖ τοῦτο καταλληλότερον εἶναι, πρός γε ἀντιδιαστολὴν τοῦ σιτηροῦ καρποῦ, τοῦ καλουμένου καὶ τοῖς ἀρχαίοις καὶ ἡμῖν βρόμου (Γαλλ. avoine)· Ἡσύχιος μέντοι ἀμφότερα διὰ τοῦ ο̄.

Ἀργῆς καὶ ὁλκίμου ὕλης γόνιμοι.] ΑΤ, Ἀργῆς ὅλκιμοι ὕλης γόνιμοι. ΔΓ, Ἀργῆς καὶ ὁλκίμης ὕλης γόνιμοι· ἧς μόνον τὸ Ὁλκίμης μετεποίησα εἰς τὸ Ἑλληνικικώτερον Ὁλκίμου. Ὅλκιμον δὲ λέγει τὴν κολλώδη, οἷά εἰσι τὸ μέλι, καὶ ἁπλῶς τὰ ἐπὶ τοσοῦτον συνεχῶτα τῶν ὑγρῶν, ὥστε ἐπαρθέντα τῷ δακτύλῳ καταῤῥεῖν χαμάζε δίκην κλωσήρων, συνεχῆ ἑαυτοῖς διαμένοντα.

κ'. Εὐτράπεζοι δὲ σαργοὶ κ. τ. λ.] Οὐκ ἐῤῥῶσθαί μοι δοκεῖ ἡ σίξις. Ἴσως ἄμεινον τελείᾳ σίζειν μετὰ τὸν σύνδεσμον, Εὐτράπεζοι δέ. Σάργοι κ. τ. λ. ἵνα τὸ μὲν Εὐτράπεζοι δὲ, ἀναφέρηται ἐναντιωματικῶς πρὸς τὰ προηγούμενα, κακόχυμοι, βρομώδεις, ἀργῆς καὶ ὁλκίμου ὕλης γόνιμοι, τὸ δὲ, Σαργοὶ κ. τ. λ. ἀπ' ἄλλης ἀρχῆς ἀναγινώσκηται. Εἰ δέ τις φαίη, ὡς οὐκ εἰκὸς τοὺς κακοχύμους, βρομώδεις, καὶ ὅλκιμον ἀπογεννῶντας ὕλην ἰχθύας, εὐτραπέζους καλέσαι τὸν Ξενοκράτην, ἴσωσαν οὗτοι ἕτερα εἶναι τὰ τῆς ἰατρικῆς καὶ ἕτερα τὰ τῆς τρυφῆς παραγγέλματα· ἰατρὸς μὲν γὰρ ἂν παραινέσειεν ἀπέχεσθαι τοῦ καρχαρίου κυνὸς, ὡς κακοχύμου καὶ πολὺ τὸ ὅλκιμον ἔχοντος· οἱ δὲ κατ' Ἀρχέστρατον ὀψοφάγοι, ὥσπερ ἀδικούμενοι, μετὰ κραυγῆς ἀναφωνήσαιεν ὅπερ ἐκεῖνος ἔλεγεν,

Ἀλλ' οὐ πολλοὶ ἴσασι βροτῶν τόδε θεῖον ἔδεσμα.

Καὶ Ξενοκράτης οὖν εὐτραπέζους καλῶν τοὺς τοιούτους ἰχθύας, ὡς νομιζομένους καλῶς κοσμεῖν τὰς τραπέζας παρίσησιν, οὐδ' αὐτὸς αὐτοῖς ἴσως, καίπερ ὢν ἰατρὸς, ἀπαρεσκόμενος.

Σαργοί.] Ἡ Σάργοι. Ἔσωσεν ἡ συνήθεια τὸ ὄνομα τοῦ Σάργου· ὃ μὴ νοήσας ὁ Δουκάγγιος, ἐξεδέξατο ὡς ἐπίθετον δηλοῦν τὸν ἀργὸν (πλεονασμῷ δηλονότι τοῦ ο̄), καίπερ ὂν κατάδηλον περὶ τοῦ ἰχθύος σάργου

τὸν λόγον εἶναι ἐν ᾧ παρατίθεται μαρτυρίῳ (Δουκάγγ. σελ. 1335) ἐξ Ἀγαπίου τοῦ Κρητὸς, « Καὶ δόλωνε ἀπὸ τὸ σῆθος τῆς κουρούνας, » ἢ ὀρνιθας, καὶ πιάνεις σαργοὺς ὅσους θέλεις ». Μόνος τῶν ἀρχαίων Ἀριστοτέλης τὸν σάργον ὑπὸ τοῖς κεφρεῦσιν ὡς εἶδος ἔταξεν, καθὰ ἐσημειώσατο ὁ Σνεϊδέρος (Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 69 καὶ 90). Ἀλλὰ τὸν παρ' Ἀριστοτέλει ἐν τοῖς κεφρεῦσιν ἐγκατειλεγμένον σάργον ἕτερον εἶναι τοῦ κυρίως καλουμένου σάργου, τοῦ παραπλησίου τῷ μελανούρῳ, δειχθήσεται ἐν τοῖς ἑξῆς. Ἔχει δέ τινα καὶ πρὸς τὸν σπάρον, καὶ πρὸς τὸν κάνθαρον, ἔτι δὲ καὶ πρὸς τὴν σάλπην ἐμφέρειαν· δι' ἣν καὶ οἱ νεώτεροι ὑπὸ τὸν σπάρον ὡς ὑπὸ γένος ἔταξαν ταύτην τε καὶ τὸν μελάνουρον καὶ τὸν σάργον, καὶ τὸν κάνθαρον. Περὶ τοῦ σάργου ταῦτα λέγει ὁ ὀψοφαγίσατος Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 321)·

Ἡνίκα δ' ἂν, δύνοντος ἐν οὐρανῷ Ὠρίωνος,
Μήτηρ οἰνοφόρου βότρυος χαίτην ἀποβάλλῃ,
Τῆμος ἔχειν ὀπτὸν σαργὸν τυρῷ κατάπασον,
Εὐμεγέθη, θερμὸν, δριμεῖ δεδαϊγμένον ὄξει·
Σκληρὸς γὰρ φύσει ἐστίν. Ἅπαντα δέ μοι θεράπευε
Τὸν σερεὸν τοιῷδε τρόπῳ μεμνημένος ἰχθύν.
Τὸν δ' ἀγαθὸν μαλακόν τε φύσει, καὶ πίονα σάρκα,
Ἁλσὶ μόνον λεπτοῖσι πάσας καὶ ἐλαίῳ ἀλείψας·
Τὴν ἀρετὴν γὰρ ἔχει τῆς τέρψιος αὐτὸς ἐν αὐτῷ.

Περὶ δὲ τῆς δυνάμεως, Ἱκέσιος (παρὰ τῷ Ἀθην. σελ. 313 καὶ 321) σύφειν μᾶλλον, εὐχυλοτέρους τε καὶ εὐσομωτέρους καὶ τροφιμωτέρους τῶν μελανούρων τοὺς σάργους εἶναί φησι.

Μελάνουροι.] Μελανούρια καλεῖ τούτους οὐδετέρως ἡ συνήθεια. Ἱκέσιος (παρὰ τῷ Ἀθην. σελ. 313) τὸν μελάνουρον, « Σάργῳ φησὶ » παραπλήσιον εἶναι, καταδεέστερον δὲ τῇ εὐχυλίᾳ καὶ τῇ εὐσομίᾳ· » μικρῶς δὲ παρασύφειν, καὶ εἶναι τρόφιμον ». Ἐμφερὴς δὲ καὶ τῷ κορακίνῳ, κατὰ τὸν Σπεύσιππον (παρὰ τῷ αὐτ. σελ. 308).

Κάνθαροι.] Οἱ αὐτοὶ ἴσως καὶ οὓς ὁ Νουμήνιος (παρὰ τῷ Ἀθην. σελ. 326) Καν θαρίδας, θηλυκῶς ὀνομάζει. « Κανθαρὶς (φησὶν Ἡσύ- » χιος), χρυσοειδὴς ἰχθύς », καὶ « Κάνθαρος... ἰχθὺς ποιός ». Ὁ μὲν Γίλλιος (παρὰ τῷ Σνεϊδέρ. Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 91) Σκάταρον φησὶ καλεῖσθαι ὑπὸ τῶν νεωτέρων Ἑλλήνων τὸν κάνθαρον, ὁ δὲ Σοννίνιος (*Voyag. en Grec. Tom. I, pag.* 278) Σκατάρι. Καὶ ταῦτα μέν ἐστι πιθανῶς Σκάθαρος, καὶ Σκαθάρι, ἢ Σκαθάριον,

καθ' ὁμοιότητα τοῦ χερσαίου Κανθάρου, ὃν ἡ συνήθεια Σκάθαρον, καὶ πλεονασμῷ τοῦ α, Ἀσκάθαρον καλεῖ. Ὁ δὲ Φορσκώλιος (*Description. animal., pag. XV*) Ἀσκάθαρον μέν φησι καλεῖν τοὺς νῦν Ἕλληνας τὸν Σάργον (τὸν τοῦ Λιννaίου Sparum Sargum), Βοῦπαν δὲ, ἢ Γοῦπαν τὸν Κάνθαρον (τὸν τοῦ Λιννaίου Sparum Cantharum), Σπάρον δ' ἁπλῶς, τὸν σπάρον (τὸν τοῦ Λιννaίου Sparum annularem). Ἀλλ' ἐπεὶ σώζεται παρ' ἡμῖν τοῦ Ἀσκαθάρου, τῆς Βούπας καὶ τῶν λοιπῶν τὰ ὀνόματα, σκοπητέον, εἰ ἄλλοις ἀλλαχοῦ τῆς Ἑλλάδος ὀνόμασιν, ὥσπερ πάλαι, οὕτως καὶ νῦν, οἱ αὐτοὶ ἰχθύες καλοῦνται. Τούτοις δὲ προσσημειωτέον, ὅτι καὶ τὸν παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτ. Γ, 340) Κάνθαρον ὁ σχολιαστὴς ἐξηγούμενος φησὶ, « Δύο » δὲ εἴδη κανθάρων· τὸ μὲν ἓν ὃ καλοῦσιν οἱ πολλοὶ, Τριχαῖος· τὸ δὲ ἕτερον Γομφαρίοις ὅμοιον ». Καὶ τὸν μὲν Τριχαῖον σεσημείωται ἤδη (ἀνωτέρ. σελ. 56) ἐκ τοῦ αὐτοῦ σχολιαστοῦ τῆς Θρίσσης ὄνομα εἶναι. Γομφάρια δὲ (ἃ οἱ παρ' ἡμῖν ἁλιεῖς Γοφάρια, καὶ Γουφάρια, καλοῦσι), τὰς παρὰ τοῖς ἀρχαίοις Ἀμίας λέγεσθαι φησὶν ὁ αὐτὸς σχολιαστὴς (Ὀππιαν. Ἁλιευτ. Α, 112) « Ἀμίαι, γόμφοι, τὰ » γομφάρια »· ὧν ἐμνημόνευσε καὶ ὁ Πτωχοπρόδρομος ἐν τῷ Κατὰ Ἡγουμένων ποιήματι (στίχ. 426),

Ἐκεῖνοι τὰ γοφάρια, τὰς ἴσχας, τὰ ψησία.

Εἰκὸς δὲ τὰς ἀμίας, Γόμφους (ὥσπερ καὶ οἱ παρὰ τοῦτο καλούμενοι Γόμφιοι ὀδόντες), ὠνομάσθαι, διὰ τὸ διάφορον τῶν ὀδόντων τοῦ ζώου· τοιούτους γὰρ φέρει τοὺς ὀδόντας ἡ Ἀμία (Γαλλ. Boniton) ὥςε καὶ τῶν ἰσχυροτέρων ἰχθύων περιγίνεσθαι, καθά φησιν Ἀριστοτέλης (Περὶ ζώων ἱστορ. Θ', 37), « Ἔχουσι δὲ ὀδόντας ἰσχυρούς· καὶ » ἤδη ὤπται καὶ ἄλλα καὶ Λάμια ἐμπεσοῦσα καὶ καθελκωθεῖσα ». Καταφρονοῦσι δὲ καὶ τῶν δελφίνων αὐτῶν, ὡς φησιν Ὀππιανὸς (Ἁλιευτ. Β, 554)·

——————— Οὐδ' ἀλέγουσι
Δελφίνων· μοῦναι δὲ καταντία δηριόωνται.

Διὸ καὶ, Τρώκτης, συνωνύμως ἐκαλεῖτο ἡ Ἀμία· ταύτην γὰρ ὑπὸ τῷ ὀνόματι τοῦ Τρώκτου ἱστόρησεν Αἰλιανὸς (Περὶ ζώων ἰδιότητ. Α, 5). « Τρώκτης, φάγος » φησὶν Ἡσύχιος, καὶ, « Τρῶκται, κακοῦργοι ». Ἀριστοτέλης (Περὶ ζώων ἱστορ. ἡ, 13) τὰς ἀμίας περὶ Ἀλωπεκόννησον

καὶ ἐν τῇ Βιζωνίδι λίμνῃ γίνεσθαι λέγει μάλιςα. Ὁ δὲ Ἀρχέςρατος τὰς Βυζαντίας προῃρεῖτο, λέγων (παρὰ τῷ Ἀθην. σελ. 278),

Τὴν δ' ἀμίαν φθινοπώρου, ὅταν πλειὰς καταδύνῃ,
Πάντα τρόπον σκεύαζε. Τί σοι τάδε μυθολογεύω;
Οὐ γὰρ μὴ σὺ διαφθείρῃς γ', οὐδ' ἂν ἐπιθυμῇς.
Εἰ δ' ἐθέλεις καὶ τοῦτο δαήμεναι, ὦ φίλε Μόσχε,
Ὅν τινα χρή σε τρόπον κείνην διαθεῖναι ἄριςα·
Ἐν συκῆς φύλλοις, καὶ ὀριγάνῳ οὐ μάλα πολλῇ·
Μὴ τυρὸν, μὴ λῆρον· ἁπλῶς δ' οὕτως θεραπεύσας
Ἐν συκῆς φύλλοις, σχοίνῳ κατάδησον ἄνωθεν.
Εἶθ' ὑπὸ θερμὴν ὧσον ἔσω σποδὸν, ἐν φρεσὶ καιρὸν
Γιγνώσκων, ὁπότ' ἐς' ὀπτὴ, καὶ μὴ κατακαύσῃς·
Ἔξω δ' αὐτή σοι Βυζαντίου ἐξ ἐρατεινοῦ,
Εἴπερ ἔχειν ἀγαθὴν ἐθέλεις. Κἂν ἐγγὺς ἁλῶ που
Τοῦδε τόπου, κεδνὴν λήψει. Τηλοῦ δὲ θαλάσσης
Ἑλλησποντιάδος χείρων· κἂν κεῖνον ἀμείψῃς
Αἰγαίου πελάγους ἕναλον πόρον, οὐκέθ' ὁμοία
Γίγνεται, ἀλλὰ καταισχύνει τὸν πρόσθεν ἔπαινον.

Καὶ ταῦτα μὲν ὁ Ἀρχέςρατος. Περὶ δὲ τῆς δυνάμεως Ἰκέσιος (παρὰ τῷ αὐτ.) « Εὐχύλους μὲν αὐτὰς εἶναι καὶ ἁπαλὰς, πρὸς δὲ τὰς ἐκ-
» κρίσεις μέσας, ἧσσον δὲ (γρ. ἧσσόν τε) τροφίμους » λέγει.

κά. Σάλπαι.] Αἱ τῷ αὐτῷ καὶ νῦν ὀνόματι καὶ γένει καλούμεναι Σάλπαι, καὶ παρ' ἑνίοις Σάρπαι· καὶ σημειωτέον, ὅτι ἡ αὐτὴ διάφορος γραφὴ ἡ διὰ τοῦ ρ̄ εὕρηται καὶ ἔν τισι τῶν ἀρχαίων ἀντιγράφων τοῦ Ἀριςοτέλους (ἴδ. Σνειδέρ. Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 94). Ἀρχέςρατος οὐ πάνυ τι δοκιμάζει τὴν σάλπην· φησὶ γὰρ (παρὰ τῷ Ἀθην. σελ. 321)·

——— Σάλπην δὲ κακὸν μὲν ἔγωγε
Ἰχθῦν εἰς αἰεὶ κρίνω· βρωτὴ δὲ μάλιςα
Ἐςὶ θεριζομένου σίτου. Λαβὲ δ' ἐν Μιτυλήνῃ
Αὐτήν. ——— ———

Ἐκάλουν δὲ τὰς σάλπας καὶ βόας, (παρὰ τῷ αὐτ. Ἀθην.), ἑτέρους παρὰ τοὺς ὄντας τοῦ τῶν σελαχωδῶν γένους βύας (παρὰ τῷ αὐτ. σελ. 330) « Σάλπη (φησὶν Ἡσύχιος) ἰχθὺς ποιὸς, ὃν καὶ Βοῦν
» καλοῦσιν ». Περὶ δὲ τῆς δυνάμεως ταῦτα παρὰ τῷ Ἀθηναίῳ (σελ.

356) λέγει Δίφιλος· « Σάλπη, σκληρά, ἄσομος. Κρείσσων δ' ἡ ἐν » Ἀλεξανδρείᾳ, καὶ ἡ ἐν τῷ φθινοπώρῳ γινομένη· ὑγρόν τι γὰρ καὶ » λευκὸν (γρ. ἐξ ΕΔ, γλυκὺ), ἔτι δὲ καὶ ἄβρομον ἀνίησιν ».

Εὔχυλοι, δυσδιαφόρητοι.] Τὸ μὲν Εὔχυλοι προσέθηκα ἐξ ἀντιγράφων, πιστούμενον ἄλλως καὶ ἐκ τοῦ ἑξῆς ἀντικειμένου Κακόχυλοι· ἀντὶ δὲ τοῦ Δυσδιαχώρητοι, ἔγραψα ἐξ ἑτέρων διορθώσεως Δυσδιαφόρητοι. Τὸ γὰρ δυσχερῶς διαχωρεῖν ἐναντίον ἐστὶ τῷ ἐχομένῳ Εὐέκκριτοι.

Κακόχυλοι.] Ἡ κατὰ Μόσχαν ἔκδοσις μετὰ τοῦ συνδέσμου, Καὶ κακόχυλοι.

κδ'. Βούγλωσσοι, Ψῆτται, κ. τ. λ.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 37) εἰρημένα περὶ Βουγλώσσου καὶ Ψήττης· οἷς νῦν προσθετέον τὰ περὶ τῆς δυνάμεως αὐτῶν. Διοκλῆς μὲν οὖν (παρὰ τῷ Ἀθην. σελ. 329) ἐν τοῖς ξηροτέροις καταριθμεῖ τὴν ψῆτταν. Δίφιλος δὲ (παρὰ τῷ αὐτ. σελ. 356) φησὶ, « Ψῆττα, βούγλωσσος, εὔτροφοι καὶ ἡδεῖαι ». Μνησίθεος δὲ (παρὰ τῷ αὐτ. σελ. 358) τὴν ψῆτταν ἐγκαταλέγει τοῖς ξηρὰν δίδοῦσι τροφὴν ἰχθύσι, εὐόγκοις δὲ, τροφίμοις, πεττομένοις ταχέως, μὴ περιττώματα ἐγκαταλείπουσι πολλὰ, μηδὲ πνευμάτων οὖσι περιποιητικοῖς. Ἐν τοῖς ἀπερίττοις αὐτὴν ἀριθμεῖ καὶ ὁ Τραλλιανὸς Ἀλέξανδρος (Βιβλ. Α, κεφ. 15), ὥσπερ καὶ τὴν κίχλην καὶ τὸν κόσσυφον καὶ τὸν σκορπίον καὶ τὸν σκάρον.

κγ'. Γλαῦκος.] Ἐκ τῆς Λατινικῆς μεταφράσεως (Glaucus) ὁρμηθεὶς οὕτως ἔγραψα, δοκιμάσαντος πάλαι καὶ τοῦ Σνεϊδέρου (Συνωνυμ. ἰχθ. Ἀρτέδ. σελ. 68 καὶ 169) τὴν γραφὴν, ἀντὶ τοῦ Γλάνος, ὅπερ ὤφειλε γοῦν εἶναι Γλάνις. Ὁ μὲν γὰρ Γλάνος χερσαῖόν ἐστι ζῶον, ἡ ἄλλως καλουμένη Ὕαινα, κατὰ τὸν Ἀριστοτέλην (Περὶ ζώων ἱστορ. ἡ, 7, § 2)· ὁ δὲ ὑπ' αὐτοῦ πολλαχοῦ μνημονευόμενος Γλάνις, ποτάμιος ἢ λιμναῖός ἐστιν ἰχθὺς, οὗ καὶ Παυσανίας μέμνηται (δ' 34), θηλυκῶς, Τὴν Γλάνιν, ὀνομάζων. Αἰλιανὸς δὲ (Περὶ ζώων ἰδιότητ. ιϐ', 14, ιδ', 25) τὸν τοῦ Στρυμόνος ποταμοῦ Γλάνιν ὅμοιον εἶναί φησι τῷ κατὰ τὸν Ἴστρον ποταμὸν ἁλισκομένῳ Σιλούρῳ· διὸ καὶ τὸν αὐτὸν οὐκ ὀρθῶς ᾠήθησαν εἶναί τινες ἰχθὺν δυσὶν ὀνόμασι προσαγορευόμενον, καθὰ καὶ Θεόδωρος ὁ Γαζῆς τὸν παρ' Ἀριστοτέλει Γλάνιν, Silurum, μεθερμηνεύσας, καὶ παρὰ τοῖς νεωτέροις ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 105 καὶ Παρατηρήσ. Βιβλ. Α, σελ. 125), Σίλουρον αὐτὸς ὀνομάζων τὸν Στρυμόνιον γλάνιν, τοὺς δὲ νῦν Ἕλληνας Γλάνιον, ἢ Γλάνον, καλεῖν λέγων. Ἔστι δὲ καὶ ὄνομα κύριον ἀνθρώπου ὁ Γλάνις παρὰ Ἀριστοφάνει (Ἱππ. 1004),

καὶ ἐπίθετον παρ' Ἡσυχίῳ· « Γλάνις, ἀργός· καὶ εἶδος ἰχθύος. Οἱ δὲ, » Γλανεός ». Ἀλλ' ἐπανίωμεν ἐπὶ τὴν δοκιμασθεῖσαν γραφὴν τοῦ Γλαύκου. Τούτου τὴν κεφαλὴν ἐπαινεῖ Ἀρχέστρατος (Παρ' Ἀθην. σελ. 295),

Ἀλλά μοι ὀψώνει γλαύκου κεφαλὴν ἐν Ὀλύνθῳ,
Καὶ Μεγάροις. Σεμνὸς γὰρ ἁλίσκεται ἐν τενάγεσσι.

Ὁ αὐτὸς δὲ καὶ ὑποκοριστικῶς ὠνομάζετο τοῖς κωμικοῖς καθὰ καὶ ἕτερα πλεῖστα γένη ἰχθύων,

Α. Οὐκοῦν τὸ μὲν γλαυκίδιον; Β. Ὥσπερ ἄλλοτε
Ἔψειν ἐν ἅλμῃ φημί. Α. Τὸ δέ γε λαβράκιον;
Β. Ὀπτᾶν ὅλον, ———————————

φησὶν Ἀντιφάνης (παρ' Ἀθην. αὐτ.). Ὅτι δὲ περιμάχητος ἦν ἡ κεφαλὴ τοῦ γλαύκου, ἐδήλωσαν καὶ οἱ μηδὲν ἧττον Ἀρχεστράτου λίχνοι, Κίνδων τε καὶ Δημύλος, ὧν, ὡς φησιν Ἀθήναιος (σελ. 345), « Γλαύκου » παρατεθέντος, ἄλλου δ' οὐδενὸς, ὁ μὲν τὸν ὀφθαλμὸν κατελάβετο, » καὶ ὁ Δημύλος ἐπὶ τὸν ἐκείνου ὀφθαλμὸν ἐπιβαλὼν ἐβιάζετο, φω- » νῶν· Ἄφες καὶ ἀφήσω ». Διὸ καὶ τοὺς προσποιουμένους φιλοσοφεῖν, καὶ τοῖς ἄλλοις τὴν πρὸς τὰ ἡδέα παρεγγυωμένους ἐγκράτειαν, αὐτοὺς δὲ μηδὲν ἧττον ἐπτοημένους περὶ τὴν τῶν ἡδέων ἀπόλαυσιν, σκώπτων ὁ κωμικὸς Πλάτων (παρ' Ἀθην. σελ. 279) ἔλεγεν·

— Ἐπὰν γλαυκίσκος αὐτοῖς παρατεθῇ,
Ἴσασιν οὗ δεῖ πρῶτον ἅψασθαι τόπου,
Καὶ τὴν κεφαλὴν ζητοῦσιν, ὡς περὶ πράγματος·

τουτέστιν, ὡς περί τινος θεωρήματος ἢ προβλήματος φιλοσοφικοῦ, περὶ τῆς τοῦ γλαύκου κεφαλῆς φιλονεικοῦσι. Περὶ δὲ τῆς δυνάμεως τοῦ ἰχθύος Μνησίθεος καταλέγει τὸν γλαῦκον ἐν τοῖς δυσκατεργάστοις. Τοὺς παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτ. Α, 170) γλαύκους ὁ σχολιαστὴς διὰ τοῦ Κουκουβαῖαι ἑρμηνεύει, ὁμωνύμῳ δηλονότι ἰδιωτικῷ ὀνόματι, ἐπειδὴ ἡ Γλαὺξ, τὸ πετεινὸν ζῶον (παρ' ἣν ὠνομάσθη ὁ θαλάσσιος Γλαῦκος) ἔτι καὶ νῦν, Κουκουβάϊα παρ' ἡμῖν καλεῖται, τοῦ ὀνόματος παρεφθαρμένου ἴσως ἐκ τοῦ Κοκκοβάγη, ἢ μᾶλλον Κοκκοβόη, ὀνοματοπεποιημένου παρὰ τὴν φωνὴν τοῦ ὀρνέου κο κο· « Κοκ- » κοβάρη, γλαὺξ » φησὶν Ἡσύχιος· ὅπερ ἄλλων ἄλλως ἐπιβαλομένων διορθοῦσθαι, ἡμῖν δοκεῖ εἰς τὸ Κοκκοβόη τρεπτέον εἶναι. Ὁ δὲ τὸν Ἀριστοφάνην (Ὄρν. 262) σχολιάσας καὶ Κικκάβας φησὶ τὰς γλαῦκας

καλεῖσθαι, ἁμαρτηθείσης τυχὸν καὶ παρ' ἐκείνῳ τῆς γραφῆς ἀντὶ τοῦ Κικκοβόας. Εὐσάθιος δὲ (Ὀδυσσ. δ', σελ. 1479) καὶ τὸν ἀλεκτρυόνα Κοκκοβόαν ὄρνιν εἰρῆσθαι τῷ Σοφοκλεῖ ὑπολαμβάνει. Περὶ δὲ τοῦ θαλασσίου Γλαύκου, κἀκεῖνο προσσημειωτέον, ὡς εἰκὸς ἔτι σώζεσθαι παρά τισι τῶν νῦν Ἑλλήνων αὐτοῦ τοὔνομα· ἐπεὶ μνημονεύει τοῦ Γλαύκου ὁ κατὰ τὴν δωδεκάτην ἀκμάσας ἑκατονταετηρίδα Πτωχοπρόδρομος (Κατὰ Ἡγουμέν. 197),

Γλάυκους χλωρούς κἂν εἴκοσι, ἀπάκιν βερζητίκιν·

χλωρούς λέγων τοὺς προσφάτους, πρὸς ἀντιδιαστολὴν τοῦ Βερζιτικίου. Ἦν γὰρ τοῦτο ταρίχου ὄνομα, κομιζομένου εἰς Βυζάντιον ἐκ τῶν Σκυθικῶν ποταμῶν, καὶ μάλιστα τοῦ Ὄξου, τοῦ νῦν καλουμένου Γιὼν (Gihon), ὥς ἐστι μαθεῖν ἐκ τοῦ συνακμάσαντος τῷ Πτωχοπροδρόμῳ Τσέτσου, λέγοντος (Χιλιαδ. ί, στίχ. 93),

Ὠξιανοὺς ἰχθύας μοι ταρίχους εἶναι νόει,
Οἵπερ βαρβάρως καὶ κοινῶς Βερζίτικα καλοῦνται.

Ἀπάκια δ' ὠνόμαζον, ὥσπερ καὶ νῦν πολλοὶ τῶν ἡμετέρων ὀνομάζουσι, τοὺς ῥαχίτας μύας· ὅπερ ὄνομα, εἰ ἀπὸ τῶν ταριχηρῶν τούτων ἰχθύων πρώτων μετηνέχθη καὶ εἰς τῶν λοιπῶν, πρὸς δὲ καὶ τῶν τετραπόδων τὰς ψόας, ἴσως ἐπλάσθη παρὰ τὸ ἐθνικὸν τῶν Ἀπασιακῶν, Νομάδων οἰκούντων ἀνὰ μέσον Ὄξου καὶ Τανάϊδος τῶν ποταμῶν, ὥς φησι Πολύβιος (Τόμ. III, σελ. 203 τῆς νέας ἐκδ.).

Μετὰ λάβρακος.] Πιστοῦται ὁ Λάβραξ ὧδε τὴν (σελ. 78) τροπὴν τοῦ Γλάνος εἰς τὸ Γλαῦκος· καὶ γὰρ παρὰ τοῖς ἀρχαίοις συνεχῶς ἐστιν ἰδεῖν τὸν Λάβρακα μετὰ τοῦ Γλαύκου μνημονευόμενον, καὶ τὴν κεφαλὴν ἑκατέρου τοῖς ὁμοίοις ὑπὸ τῶν ὀψοφάγων ὑμνουμένην ἐπαίνοις, « ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου καθάπερ καὶ τοῦ » τῶν γλαύκων », ἧ φησὶν Ἀθήναιος (σελ. 312), ἐξ οὗ καὶ τὸ Ἀντιφάνους παρεθέμεθα ἀνωτέρω (σελ. 79) μαρτύριον. Διάφοροι δὲ ἦσαν οἱ περὶ Μίλητον λάβρακες, καθὰ δηλοῖ Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 311) διὰ τούτων·

Λάμβανε δ' ἐκ Γαίσωνος, ὅταν Μίλητον ἵκηαι,
Κεφρέα τὸν κέφαλον, καὶ τὸν θεόπαιδα λάβρακα.
Εἰσὶ γὰρ ἐνθάδ' ἄριστοι· ὁ γὰρ τόπος ἐστὶ τοιοῦτος.
Πιότεροι δ' ἕτεροι πολλοί, Καλυδῶνί τε κλεινῇ,

Ἀμβρακίᾳ

Ἀμβρακίᾳ τ' ἐνὶ πλουτοφόρῳ, Βολβῇ τ' ἐνὶ λίμνῃ·
Ἀλλ' οὐκ εὐώδη γαστρὸς κέκτηνται ἀλοιφήν,
Οὐδ' οὕτω δριμεῖαν. Ἐκεῖνοι δ' εἰσίν, ἑταῖρε,
Τὴν ἀρετὴν θαυμαστοί. Ὅλους δ' αὐτοὺς ἀλεπίστους
Ὀπτήσας ΜΑΛΑΚΟΥΣ ΧΡΗΣΤΩΣ προσένεγκε δι' ἅλμης.
Μηδὲ προσέλθῃ ΣΟΙ ΠΡΟΣ τοῦψον τοῦτο ποιοῦντι,
Μήτε Συρακόσιος μηθείς, μήτ' Ἰταλιώτης.
Οὐ γάρ ἐπίστανται χρηστοὺς σκευαζέμεν ἰχθῦς·
Ἀλλὰ διαφθείρουτι κακῶς τυροῦντες ἅπαντα,
ΟΞΕΙ ΤΕ ΡΑΙΝΟΝΤΕΣ ὑγρῷ καὶ σιλφίου ἅλμῃ.
Τῶν δὲ πετραίων ἰχθυδίων τῶν τρισκαταράτων,
Πάντων εἰσὶν ἄριστοι ἐπισταμένως διαθεῖναι,
Καὶ πολλὰς ἰδέας κομψῶς παρὰ δαιτὶ δύνανται
Ὀψαρίων τεύχειν γλίσχρων ἡδυσματολήρων.

Τῶν ἐπῶν τούτων τὸν ἔνατον καὶ δέκατον στίχον, οὕτως πάλαι (ἴδ. Ἀθήν. Τόμ. Δ τῶν σημ. σελ. 320 τῆς τελευτ. ἐκδόσ.) διώρθουν, οὐκ οἶδ' εἰ πιθανῶς·

Ὀπτήσας ΜΑΛΑΚΩΣ, ΩΣ ΧΡΗ, προσένεγκε δι' ἅλμης.
Μηδὲ προσέλθῃ ΣΟΙ ΠΟΤΕ τοῦψον τοῦτο ποιοῦντι.

Ἡ δὲ γραφὴ τοῦ τεσσαρεσκαιδεκάτου ἴσως οὕτως εἶχε τὸ πάλαι ἐν ἀντιγράφοις ἑτέροις.

ΟΞΕΙ Τ' ΕΝΡΑΙΝΟΝΤΕΣ ὑγρῷ καὶ σιλφίου ἅλμῃ.

Γαίσωνα δ' Ἀρχέστρατος ὀνομάζει τὴν παρ' ἄλλοις καλουμένην Γαισωνίδα λίμνην, μεταξὺ Πριήνης καὶ Μιλήτου ἐνουμένην τῇ θαλάττῃ ὡς φησιν αὐτὸς Ἀθήναιος (σελ. 312). Βολβὴ δὲ, ἡ Βόλβη, ἧς καὶ Θουκυδίδης (Α, 58, καὶ Δ, 103) μέμνηται, λίμνη τῆς Μακεδονίας ἐστὶν, οὐ μακρὰν ἀπέχουσα τοῦ ποταμοῦ Στρυμόνος. Καὶ περὶ μὲν τῶν Κεστρέων ἐροῦμεν πλατύτερον ἐν τοῖς ἑξῆς. Περὶ δὲ Λαβράκων Ἱκέσιος (παρ' Ἀθην. σελ. 310) φησὶν ὅτι, «Εὔχυλοί εἰσι καὶ οὐ » πολύτροφοι· πρὸς δὲ τὴν ἔκκρισιν ἧσσονες, εὐστομίᾳ δὲ πρῶτοι κρί» νονται»· οἷς προσίθει καὶ ἐκ τοῦ Γαληνοῦ (περὶ τροφ. δυνάμ. σελ. 345) ὅτι οὔτε τρέφουσι δαψιλῶς, καὶ διαφοροῦνται θᾶττον. Τὸν δὲ Γλαῦκον Ἱπποκράτης (Περὶ Διαίτ. Β, § 18, σελ. 221) ἐν τοῖς ξηροτάτοις τῶν ἰχθύων καταλέγει, ὥσπερ καὶ ὁ Φιλότιμος (παρὰ τῷ Γαλην. Περὶ τροφ. δυνάμ. Γ, σελ. 347) ἐν τοῖς σκληροτάρκοις. Λέγει δὲ

καὶ ὁ Μνησίθεος (παρὰ τῷ Ἀθην. σελ. 357) τοὺς γλαύκους δυσκατεργάσους μὲν εἶναι, κατεργασθέντας δὲ, τροφιμωτάτους. Σκληροσάρκους αὐτοὺς, ὥσπερ καὶ τὸν λάβρακα, καὶ τὸν ὀρφὼν, καὶ τὸν κόκκυγα, καὶ τὴν κηρίδα, λέγει καὶ ὁ Τραλλιανὸς Ἀλέξανδρος (Βιβλ. Η, 3 καὶ Θ, 3). Καὶ ὁ μὲν ὀρφὼς ἔσωσε καὶ παρ' ἡμῖν τὸ ἴδιον ὄνομα, ὅ τινες τῶν χυδαϊζόντων μεταθέσει τῶν στοιχείων ῥοφὸν προφέρουσι· καὶ ἑτέροις δὲ ὀνόμασιν εἰσὶν οἱ τῶν ἡμετέρων καλοῦσιν αὐτὸν, οἷον Ἀχελούδαν, ἢ Χελούδαν, καὶ Πετρόψαρον, ὡς φησιν ὁ Βελλώνιος (Περὶ τῶν ἐνύδρ. σελ. 199, καὶ Παρατήρήσ. Βιβλ. Α, κεφ. 30). Καὶ τοῦτο μὲν, ὡς ἄριστον τῶν πετραίων ἰχθύων νομιζόμενον, κατ' ἐξοχὴν Πετρόψαρον χρῆναι καλεῖν ἴσως ᾠήθησαν, καὶ οὐ παρὰ τὸν ἅγιον Πέτρον, ὡς εἴκασεν ὁ Γεσνῆρος (Περὶ Ἐνύδρ. σελ. 753)· ἐκεῖνο δὲ, ἴσως διὰ τὴν παχύτητα τῶν χειλέων· ἔχει γὰρ αὐτὰ ἐπιεικῶς σαρκώδη. Τοῦ δὲ Κόκκυγος τὸ νεώτερον ὄνομα σεσημείωται ἐν τοῖς πρόσθεν (σελ. 71). Λείπεται ἡ Κηρὶς, οὔπω ἐγνωσμένος ἰχθὺς, ὁ αὐτὸς ἴσως τῇ παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτ. Α, 129 καὶ Γ, 187) μηδὲν μᾶλλον γνωστῇ καὶ διαφόρως γραφομένῃ Κιρίδι, Κιρρίδι, ἢ Σκιρρίδι. Λέγει δὲ καὶ Ἡσύχιος· « Κιρρὰ, ἰχθὺς ποιός ». Μῶν ὁ παρ' ἡμῖν Τσίρος ἢ Τσῆρος;

Ἔοικε γὰρ πάντα αὐτῷ.] Οὐ δῆλον εἰ τῇ γεύσει, ἢ τῷ σχήματι λέγει ἐοικέναι τὸν Γλαῦκον τῷ Λάβρακι. Ὁ μὲν Λάβραξ ἔγνωσαι πᾶσιν, ὥς', εἰ ἦν ὡσαύτως εἰδέναι καὶ τὸν Γλαῦκον ὁποῖός τίς ἐστιν ἰχθὺς, ἦν ἂν παραβαλεῖν αὐτὸν, ἐρευνήσαντα καὶ τὸ σχῆμα καὶ τὴν γεῦσιν, πρὸς τὸν Λάβρακα· δι' ὃ σκοπητέον, εἴ που τῆς Ἑλλάδος σέσωσαι, ἢ αὐτὸ τοὔνομα τοῦ Γλαύκου, ἢ, ᾧ καλεῖ αὐτὸν ὁ τοῦ Ὀππιανοῦ σχολιαστὴς, ἡ Κουκουβάϊα (ἴδ. ἀνωτέρ. σελ. 79), ἵνα κατάδηλος γένηται ὁ τέως ἀγνοούμενος ἰχθύς. Οὐ γὰρ εὐχερῶς πειστέον τοῖς οἰομένοις τὸν παρὰ τοῖς ἀρχαίοις Γλαῦκον τὸν αὐτὸν εἶναι καὶ ὃν οἱ νεώτεροι ὑπὸ τῷ τῶν κυνῶν γένει τάττουσι, Squalum Glaucum (Γαλλ. Cagnot blanc) καλοῦντες. Οὗτος μὲν γὰρ κητώδης ἐστὶν ἐπὶ πεντεκαίδεκα ποδῶν μέγεθος ὡς ἐπὶ τὸ πολὺ προήκων, ὡς φησιν ὁ Λακεπέδης (*Histoir. natur. des Poissons, Tom. II, pag.* 145, *édit.* 1799)· τὸν δὲ παρὰ τοῖς ἀρχαίοις γλαῦκον μὴ τηλικοῦτον ἰχθὺν εἶναι, δηλοῖ καὶ τὸ παρατεθὲν ἐν τοῖς πρόσθεν (σελ. 80) τοῦ Πτωχοπροδρόμου μαρτύριον,

Γλαύκους χλωροὺς κἂν εἴκοσι. ———————

Εἰ γὰρ καὶ ὀψοφαγίσατοι καὶ τῆς γαστρὸς ἥττονες ἦσαν οἱ κατ' ἐκεῖνον

ὁσιώτατοι τῶν κοινοβίων Ἡγούμενοι, οὐδὲ ἕνα μέντοι γλαῦκον τηλικοῦτον τὸ μέγεθος, μήτι γε εἴκοσιν, εἶχον ἂν παρατίθεσθαι.

Ἧττον.] Οὐδὲ τοῦτο πάνυ σαφῶς ἀναφέρεται πρὸς τὰ προηγούμενα· ἔοικε μέντοι λέγειν, ὅτι Λάβραξ καὶ Γλαῦκος ἧττόν εἰσι σκληρόσαρκοι καὶ δύσφθαρτοι τῶν Βουγλώσσων καὶ τῶν Ψηττῶν· ὅπερ ἴσως οὐκ ἠκρίβωται. Εἰ δὲ γράφοις, Ἧττων, ὁ νοῦς ἔσται, ὅτι τοσοῦτον λείπεται ὁ Λάβραξ καὶ ὁ Γλαῦκος εὐσομίᾳ τῶν Βουγλώσσων καὶ τῶν Ψηττῶν, ὅσον προέχει τοῦ Σκάρου.

Προφέρει δὲ σκάρου.] Τουτέστιν ὁ Γλαῦκος καὶ ὁ Λάβραξ κρείττονές εἰσι τοῦ Σκάρου. Οὕτως ἔσιξα, δοκιμάσαντος τὴν σίξιν καὶ τοῦ Γεσνήρου, ἀντὶ τοῦ, Προφέρει δὲ σκάρου ἕλλοψ. Καὶ ταῦτα μὲν περὶ τῆς σίξεως· περὶ δὲ τῆς γραφῆς ἐπέχω, εἴτε σκάρου χρὴ γράφειν, ὡς φέρουσιν αἱ ἐκδόσεις καὶ ὁ Λατῖνος μεταφραστὴς, καὶ προκρίνει ὁ Γεσνῆρος, εἴτε σπάρου, ὃ φέρεται ἔν τισι τῶν ἀντιγράφων καὶ ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει τοῦ Ματθαίου. Καὶ δοκεῖ μὲν πιθανωτέρα εἶναι ἡ πρώτη γραφή· ἀλλ' ἐπειδὴ ἐν τοῖς ἑξῆς (τμ. λδ') πλατύτερον πραγματεύεται περὶ τοῦ σκάρου, θεωρήσωμεν ἐνταῦθα περὶ τοῦ ὀνόματος, καὶ τῆς δυνάμεως τοῦ σπάρου, περὶ οὗ οὐδὲν οὐδαμοῦ ἀλλαχοῦ λέγει ὁ Ξενοκράτης. Τὸ μὲν οὖν ὄνομα, Σπάρος, ἔσωσε καὶ ἡ συνήθεια. Περὶ δὲ τῆς δυνάμεως, κατὰ μὲν τὸν Δίφιλον (παρ' Ἀθην. σελ. 356), «Σπάρος, θριμὺς, ἀπαλόσαρκος, ἄβρομος, » εὐσόμαχος, οὐρητικός· ταγηνιζὸς δὲ, δύσπεπτος»· Ἱκέσιος δέ φησι (παρὰ τῷ αὐτ. σελ. 320) «Εὐχυλότερον εἶναι μαινίδος, καὶ ἄλλων δὲ » πλειόνων τροφιμώτερον», μαινίδα (Γαλλ. Mendole) λέγων ἰχθύδιον παραπλήσιον μέν, ἀλλ' οὐχ, ὡς ὑπείληφεν ὁ τὸν Ὀππιανὸν (Ἁλιευτ. Α, 108) σχολιάσας, πλανηθεὶς ὑπὸ τῆς ὁμοιότητος, τὸ αὐτὸ τῇ σμαρίδι. Σέρουλαν ὀνομάζει τὴν μαινίδα ἡ παρ' ἡμῖν συνήθεια, ὥς φησιν ὁ Φορσκώλιος (*Description. animal. pag. XV*). Καὶ τὸ μὲν Σέρουλα ἔοικε παρὰ τὸ τῶν Ἰταλῶν Girolo (Γαλλ. Girelle), συγχυθείσης καὶ ὧδε (ὡς καὶ παρὰ τῷ σχολιαστῇ τοῦ Ὀππιανοῦ) τῇ σμαρίδι (Γαλλ. Picarel) τῆς μαινίδος. Καὶ γὰρ τὴν μαινίδα Girolo καλεῖν τοὺς Ἐνετοὺς φησὶν ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 226-228), προσιθεὶς, ὅτι καὶ Γραικῶν, ἐν Ἀγκῶνι τῆς Ἰταλίας τεταριχευμένας σμαρίδας ὠνουμένων, ἠκηκόει Giroli (γίρολι, ἢ σίρολι) οὐκ ὀρθῶς καλούντων αὐτάς. Οὐ μὴν ἀλλὰ καὶ παρὰ τοῖς ἀρχαίοις εὑρεῖν ἐστι τὴν τοιαύτην σύγχυσιν, οἷον παρ' Ἡσυχίῳ, «Σμαρίδες... ἰχθύδια μικρὰ » ἅρισα· οἱ δὲ, τὰς μαινίδας. Ἴσως δὲ καὶ παρὰ τοῖς νεωτέροις ὁ

Σοννίνιος (*Voyag. en Grec., Tom. II, pag.* 211) συνέχεε ταῖς μαινίσι τὰς σμαρίδας. Ταύτας γὰρ οὐ Σμιναρίδας (Smiranida) καλοῦμεν, ὥς φησιν, ἀλλ' ἀπαραλλάκτως, καθὰ καὶ οἱ ἀρχαῖοι, Σμαρίδας· καὶ ὥσπερ ταύτας καὶ δίχα τοῦ σ ἔλεγον ἐκεῖνοι, Μαρίδας, εἰκότως ἂν αἱ μαινίδες καὶ σμαινίδες ἂν λέγοιντο, παρ' ὃ ἴσως ἂν εἶεν αἱ σμαιναρίδες ἢ σμιναρίδες· Τὸ δὲ ἀληθὲς ὄνομα τὸ παρ' ἡμῖν τῆς μαινίδος εἴη ἂν τὸ Μανόλι, (παραφθαρὲν παρὰ τὸ Μαινύλιον ὑποκοριστικὸν τοῦ Μαίνη, παρ' ὃ καὶ ἡ Μαινὶς), εἰ πιστεύειν ἐξῆν τῷ τριγλώσσῳ Λεξικογράφῳ, γράφοντι, « Mendole, » οὐσ. Ἠηλ. εἶδος ἰχθύος, μαινὶς, κοινῶς μανόλι»· ἀλλ' ὅπερ οὗτος Μανόλι λέγει ταὐτὸν εἶναι τῇ Μαινίδι, ὁ Σομαυέρας ἐν τῷ Λεξικῷ παραπλήσιον εἶναί φησι τῷ Θύννῳ, « Μανόλι, specie di pesce, » simile al tonno ». Ὀρθώτερον ὁ Γίλλιος (παρὰ τῷ Γεσνήρ. Περὶ τῶν ἐνύδρ. σελ. 614) ἤκουσε Μαινούλας καλούντων τῶν Γραικῶν τὰς Μαινίδας· ὃ προδήλως παρὰ τὴν Μαινύλην παρῆκται, ὑποκοριστικὸν οὖσαν τῆς Μαίνης ὥσπερ καὶ τὴν Μαινίδα. Καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος. Περὶ δὲ τῆς δυνάμεως Ἰκέσιός φησι (παρ' Ἀθην. σελ. 313) τὰς μαινίδας, « εὐχυλοτέρας εἶναι τῶν κωβιῶν, λείπεσθαι δ' » εὐσομίᾳ καὶ τῷ πρὸς τὴν ἔκκρισιν τῆς κοιλίας συνεργεῖν ». Ἐπηνοῦντο παρὰ τὰς ἄλλας αἱ ἐκ Λιπάρας καὶ αἱ ἐκ Καρύστου μαινίδες (παρὰ τῷ αὐτ. σελ. 4 καὶ 295).

κδ'. Ἔλλοψ.] Οὕτως ἔγραψα, ἀντὶ τοῦ Ἔλωψ, ἢ, ὡς φέρεται ἐν τῇ τοῦ Ματθαίου ἐκδόσει, Ἔλλωψ· Ἔλλοψ γὰρ καὶ παρὰ τῷ Ἀριστοτέλει, καὶ παρ' ἑτέροις. Ἦν δὲ τοῦτο πάλαι κοινὸν ἁπαξαπάντων ἰχθύων ἐπίθετον, διὰ τὸ σέρεσθαι ὀπὸς, τουτέστι φωνῆς· « Τοὺς ἰχθῦς καλεῖν » Ἔλλοπας, οἷον ἰλλομένην τὴν ὄπα καὶ καθειργομένην ἔχοντας » ἤ φασι Πλούταρχος (Συμποσιακ. ἡ, 8 § 1), καὶ Ἀθήναιος (σελ. 308). Ὕστερον δὲ προσηγορικῶς ἰχθὺν ὠνόμασαν Ἔλλοπα, ὃς κατά μέν τινας ὁ αὐτός ἐστι καὶ ὁ παρὰ τοῖς Ῥωμαίοις καλούμενος Acipenser, Ἀκιπήσιος (Ἀθην. σελ. 294), εἶδος ὢν τοῦ καλουμένου τοῖς Γάλλοις Éturgeon, καθ' ἑτέρους δὲ τῷ ἀνωτέρω (σελ. 56) ὑμνηθέντι ὑπ' Ἀρχεστράτου Ῥοδιακῷ γαλεῷ. Ὁ μὲν γὰρ Ἀθήναιος τὸν Ἀρχέστρατον ἐν τοῖς τὸν αὐτὸν ὑπειληφόσι τὸν ἔλλοπα τῷ γαλεῷ καταλέγει· αὐτὸς μέντοι Ἀρχέστρατος διαφόρους ἰχθῦς ὀνομάζων δῆλός ἐστι τῷ ἐκεῖ μὲν μὴ μνημονεῦσαι τοῦ Ἀκιπησίου· τὸν δὲ ἔλλοπα, ὡς ἕτερον καὶ τοῦ γαλεοῦ καὶ τοῦ Ἀκιπησίου, ἐν τοῖσδε δηλοῦν τοῖς ἔπεσι (παρ' Ἀθην. σελ. 300)·

Τὸν δ' ἔλοπ' ἔσθε μάλιστα Συρακούσαις ἐνὶ κλειναῖς,
Τάν γε κρατιστεύονθ'. Οὗτος γὰρ αὖ ἐστιν ἐκεῖθεν
Τὴν ἀρχὴν γεγονώς... κἂν ἢ περὶ νήσους,
Ἢ περὶ τὴν ἄλλην που ἁλῶ γῆν, ἢ περὶ Κρήτην,
Λεπτὸς καὶ στερεὸς καὶ κυματοπλὴξ ἀφικνεῖται·

ᾧν τὸν τρίτον στίχον ἄλλοι ἄλλως παρήνεσαν ἀναπληροῦν, παριδόντες τὸν δεύτερον, οὐδὲν ἧττον ὄνθ' ἡμαρτημένον. Γράφε τοίνυν, εἰ ἀποδέχῃ τὴν ἡμετέραν διόρθωσιν·

Τόν γε κρατιστεύονθ'. Οὗτος γὰρ ἄπεισιν ἐκεῖθεν
Τὴν ἀρχὴν γεγονώς· ὡς ἂν ληφθῇ περὶ νήσους.

Οὗτος μὲν οὖν ὁ παρ' Ἀρχεστράτῳ Ἔλλοψ οὐδὲν ἔοικεν ἔχειν κοινὸν πρὸς τὸν τοῖς Γάλλοις καλούμενον Éturgeon, ἡμῖν δὲ, Μερσίνι, καὶ Ξυρύχι καὶ Σιρίφι· ὧν τὸ μὲν Μερσίνι ἴσως παρὰ τὸ τῆς Μουρούνας ἐστὶν ὄνομα, ᾧ καλοῦσιν ἔνιοι τῶν ἡμετέρων τὸν Ὀξύῤῥυγχον, καίπερ τῇ Μυραίνῃ (ἴδ. ἀνωτέρ. σελ. 50) μᾶλλον προσήκοντι· τὸ δὲ Ξυρύχι (τὸ χειρόνως προφερόμενον Σιρίφι), ὅτι παρ' αὐτό ἐστι τὸ Ὀξύῤῥυγχος, περιττὸν καὶ λέγειν. Τὰ δὲ ὑπὸ τῶν νεωτέρων ἐρευνηθέντα περὶ τοῦ παρὰ τοῖς ἀρχαίοις ἔλλοπος, καὶ μακρότερα ὄντα ἢ κατὰ τὴν ἡμετέραν πρόθεσιν, καὶ τὰ πολλὰ ἔτι ἀμφισβητήσιμα, ὁ βουλόμενος εἰδέναι, ἐπίτω τὸν Βελλώνιον (Περὶ ἐνύδρ. σελ. 99), τὸν γαλλιστὶ μεταφράσαντα τὸ Περὶ ζώων ἱστορίας τοῦ Ἀριστοτέλους (*Tom. II, pag.* 303), τὸν Σνεϊδέρον (Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 124 καὶ 329, καὶ σημειώσ. εἰς τὸν Αἰλιαν. Περὶ ζ. ἰδιότ. σελ. 553) καὶ ἑτέρους. Τοῦ ὀξυῤῥύγχου τούτου τὰ ὠὰ ταριχευθέντα ἀποτελεῖ τὸ παρ' ἡμῖν ἐν πλείστῃ χρήσει Χαβιάριον.

κέ. Ἧπατος ἢ Μαζέας.] Ἠπόρηται καὶ περὶ τοῦ Ἥπάτου πρῶτον μὲν, ὁποίου τινὸς ἰχθύος τῶν παρ' ἡμῖν ἐστιν ὄνομα, εἶτα καὶ περὶ τοῦ Συνωνύμου ὀνόματος, ὃ παρὰ μὲν τῷ Ξενοκράτει ἐστὶ Μαζέας, παρὰ δὲ τῷ Ἀθηναίῳ (σελ. 301), πολλῷ διάφορον, Λεβίας, καθάφησι καὶ Ἀρχέστρατος·

Καὶ λεβίαν δὲ λαβεῖν, τὸν χ' ἧπατον, ἐν περικλύστῳ
Δήλῳ καὶ Τήνῳ.

Ἐξ ὧν δῆλον ὅτι οἱ ἧπατοι, ἢ λεβίαι, θαλάσσιοί εἰσιν ἰχθύες, καὶ ἑπομένως διάφοροι τῶν παρ' Ἡσυχίῳ λεβίων, οὓς ἐκεῖνος λιμναίους ἰχθῦς εἶναι

λέγει. Διό τινες τὸ Μαζέας εἰς τὸ Μάζεινος, ἢ Μάζινος, τρέπειν δεῖν ᾠήθησαν, ἵν' ᾖ τοῦ τῶν Γαλεῶν (ἴδ. ἀνωτέρ. σελ. 48, καὶ 70) γένους καὶ ὁ Ἥπατος. Καὶ ἐοίκασι μὲν εἰκότα λέγειν, εἴ τις συλλογίσαιτο, τοῦτο μέν, ὅτι καὶ ὁ Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. ιέ, 11) τὴν θαλασσίαν Γαλῆν (ἴδ. ἀνωτέρ. σελ. 71) τὴν αὐτὴν εἰκάζει εἶναι τῷ Ἥπάτῳ· τοῦτο δὲ, ὅτι τὸ καλούμενον παρ' ἡμῖν Μαζὸς, ἢ Μαζίον (ἴδ. Βελλών. Περὶ ἐνύδρ. σελ. 124, καὶ Σομαυέρ. Λεξικ. λέξ. Ψᾶρι, Κατάσιχ. Ψαρ.), τοῦ τῶν Γαλεῶν καὶ αὐτὸ γένους ἐστί. Ἀντίκειται δὲ τούτοις πρῶτον μέν, ὅτι ὁ Ἥπατος, ἢ Μαζέας, ἐν τοῖς ὑγιεινοῖς τῶν ἰχθύων τάττεται ὑπὸ τοῦ Ξενοκράτους, τὸ τῶν Γαλεῶν γένος ἀνωτέρω (τμ. ιθ') ἐν τοῖς κακοχύλοις καὶ βρομώδεσι, καὶ ὕλης ὀλκίμου γονίμοις τάξαντος· ἔπειθ', ὅτι καὶ ὁ παρὰ τῷ Αἰλιανῷ Ἥπατος ἕτερός ἐστι τοῦ παρὰ τοῖς ἄλλοις Ἥπάτου, (Σνεϊδέρ. σημειώσ. εἰς τὸν Αἰλιαν. σελ. 483), καὶ ἡ παρ' ἐκείνῳ Γαλῆ ἑτέρα ἐστὶ τῶν Γαλεῶν. Ἐνδέχεται τοίνυν, ὥσπερ ἐκεῖνος Ἥπατον ὠνόμασε τὴν θαλασσίαν Γαλῆν, οὕτως καὶ παρ' ἡμῖν Μαζὸν, ἢ Μαζίον, ὁμωνύμως καλεῖσθαι τῶν γαλεωδῶν ἰχθύων τινα, ἕτερον τοῦ Ἥπάτου. Μνημονεύει τοῦ Μαζοῦ ἐκ τῶν ἀρχαίων καὶ ὁ Ἐπίχαρμος (παρ' Ἀθην. σελ. 322), ἄδηλον ὃν τίνα λέγει Μαζόν. Αἰλιανὸς δὲ (Περὶ ζ. ἰδιοτ. θ', 38) καὶ Πρόβατα, καὶ Πρέποντας, ὀνόματα καὶ ταῦτα ἰχθύων ἑτέρων οὐδὲν μᾶλλον γνωσῶν, ἐκ τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Α, 146) παρειλημμένως, συγκαταλέγει τοῖς Ἥπάτοις, οὓς ὁ Σουΐδας κακῶς ἔτρεψεν εἰς τοὺς Ὑπάτους, καὶ κακιόνως συνέχεε τοῖς προβάτοις τε καὶ τοῖς πρέπουσιν· « Ὕπατοι, εἶδος ἰχθύος κη-» τώδους, οἱ καλοῦνται πρόβατα καὶ πρέποντες. Ἀριθμοῖτο » δὲ (γρ. ἐκ τοῦ Αἰλιαν. Ἀριθμοῖτο δ' ἂν ἐν) τούτοις καὶ ὁ » ὄνος ». Ὁ δὲ Ρονδελέτος Ἥπατον (διάφορον τοῦ παρὰ τῷ Βελλωνίῳ Ἥπάτου) ἰχθὺν καλῶν, τὸν αὐτὸν εἶναί φησι, καὶ τὸν παρὰ τοῖς νεωτέροις Ἕλλησι Σείπουρον ὀνομαζόμενον (ἴδ. Γεσνῆρ. περὶ ἐνύδρ. σελ. 488), συγχέας ἴσως τῷ Τσιππούρα, ὃ ἑτέρου ἰχθύος, τοῦ Χρυσόφρυος, ὄνομα εἶναι παρ' ἡμῖν, ἐν τοῖς ἑξῆς (τμ. λη) εἰρήσεται· Τούτοις προσίθει καὶ τὴν σύγχυσιν τῶν ἀρχαίων ὀνομάτων· τὸν γὰρ Μαξεινὸν, ἢ Μαζινὸν, ἢ Μαζέαν, Λαζίνην Ἡσύχιος ὀνομάζει· « Λαζίνης, χαραδρίας, καλαρίας ἰχθύς »· ἐν οἷς τὸ γοῦν δεύτερον ὄνομα τρεπτέον εἰς τὸ, Γελαρίας, ἢ Χελλαρίας, ἵνα συνᾴδῃ (εἴ γε συνῳδίαν ὅλως ἐστὶν εὑρεῖν ἐν τοῖς οὕτω συγκεχυμένοις καὶ σκοτεινοῖς) οἷς φησὶ Δωρίων (παρ' Ἀθην. σελ. 118) « Ἕνα ὄντα ἰχθὺν, πολλῶν » ὀνομασιῶν τετυχηκέναι· καλεῖσθαι γὰρ καὶ Βάκχον, καὶ ὀνίσκον,

» καὶ Χελλάρην »· ἢ οἷς λέγει Εὐθύδημος (παρὰ τῷ αὐτ. σελ. 315), « Οἱ μὲν Βάκχον καλοῦσιν, οἱ δὲ, Γελαρίην, οἱ δὲ, Ὀνίσκον ». Καὶ ταῦτα μὲν τὰ σπουδαῖα τοῦ πράγματος, περὶ ὧν ἐπέχειν ἄμεινον· εἰ δέ τι τῶν τῆς εὐτραπελωτέρας Μούσης ἐγκαταμίξαι τοῖς εἰρημένοις ἐφεῖται, λεγέσθω καὶ, ὅτι κεκλημένου προδήλως τοῦ Ἥπατου παρὰ τὸ Ἧπαρ, ἢ διὰ τὴν πρὸς τὸ σπλάγχνον ἐμφέρειαν τοῦ χρώματος, ὡς ἔδοξε τῷ Βελλωνίῳ, ἢ δι' ἑτέραν τινὰ νομισθεῖσαν πρὸς ἐκεῖνο ὁμοιότητα, καὶ θάτερον τῶν παρ' Ἀθηναίῳ ὀνομάτων, ὁ Λεβίας, εἴη ἂν Ἡπατίας τῇ Γερμανῶν φωνῇ· Leber γὰρ παρ' ἐκείνοις ὀνομάζεται τὸ ἧπαρ.

Τρυφερὸς μέσως.] Συνάδει τούτοις ὁ Γαληνὸς (Περὶ τροφ. δυνάμ. σελ. 346), « Καὶ τοὺς ἡπάτους καλουμένους... ἐν τῷ μέσῳ καθ- » εστηκέναι γίνωσκε τῶν θ' ἁπαλοσάρκων καὶ τῶν σκληροσάρκων· οὕπω » μὲν γάρ εἰσι σκληρόσαρκοι, τῶν ἀκριβῶς δὲ ἁπαλοσάρκων ἀπο- » λείπονται ».

Λελυμένος.] Συνωνύμως τῷ Τρυφερῷ καὶ Εὐθρύπτῳ, καὶ ὑπεναντίως τοῖς σκληροῖς καὶ στερεοῖς τὴν σάρκα, ἃ μόλις διαλύεσθαι τῇ μασήσει ἐν τοῖς ἑξῆς (τμ. μζ) φήσει.

Καὶ τρόφιμος.] Προσέθηκα τὰς λέξεις ἐκ τῆς κατὰ Μόσχαν ἐκδόσεως· ἔχει δ' αὐτὰς καὶ ὁ Λατῖνος μεταφραστής.

κς'. Κεφρεύς.] Ὑπὸ τὸ τῶν Κεφρέων (ὧν ἡ παρ' ἡμῖν συνήθεια τοὺς μὲν μείζους Κεφάλους, τοὺς δ' ἥττονας Κεφαλόπωλα καλεῖ), ὡς ὑπὸ γενικὸν ὄνομα, Ἀριστοτέλης εἴδη ἰχθύων ὑποτάττει διαφόροις ὀνόμασι καλούμενα, οἷον, Κεφάλους, Χελῶνας (ἢ Χέλωνας), Σάργους (ἢ Σαργῶνας) καὶ Μύξωνας (Περὶ ζ. ἱστορ. ε', 9)· καίπερ ἀλλαχοῦ (θ', 4), οὔτε τὸν Κέφαλον (ὃν καὶ Χελῶνά φησιν ὑπ' ἐνίων καλεῖσθαι) τάττων ἐπιδήλως ὑπὸ τὸν κεφρέα, οὔτε τὸν Περαίαν καλούμενον, τὸν αὐτὸν ὄντα τῷ Μύξωνι, καθάπερ ἐξ συλλογίσασθαι ἐξ ὧν λέγει, « Οὐ βόσκεται δὲ ὁ Περαίας ἀλλ' ἢ μύξαν τὴν ἀφ' αὑτοῦ ». Καθ' ἑτέρους δὲ (παρ' Ἀθην. σελ. 306), γένος μέν εἰσιν οἱ καλούμενοι Λευκίσκοι (ἴδ. ἀνωτέρ. σελ. 26), ὑπὸ δὲ τούτους τάττουσι κεφάλους, κεφρέας, χέλωνας, καὶ μύξωνας, οὓς αὐτοὶ μυξίνους καλοῦσιν. Ὀνομάζουσι δὲ καὶ Κεφαλῖνόν τινα, τοῦ κεφάλου διάφορον (ἴσως τῷ μεγέθει μόνῳ, κατὰ τὴν παρ' ἡμῖν διαφορὰν τῶν κεφαλοπώλων πρὸς τοὺς κεφάλους). Καὶ κεφρέων δὲ εἴδη καταλέγουσιν ἕτεροι ἕτερα, οἱ μὲν τὸν Κέφαλον καὶ τὸν Νῆσιν· οἱ δὲ τὸν Σφηνέα καὶ τὸν Δακτυλέα· τὸν μέν, διὰ τὸ ἔλασσον δυεῖν δακτύλων ἔχειν τὸ

πλάτος, τὸν δὲ, ὅτι τετράγωνος καὶ λαγαρὸς (τουτέσιν εἰς ὀξὺ ἀπολήγων) ἐστί. Καὶ κεφάλους μὲν εἰρῆσθαί φασι, διὰ τὸ βαρυτέραν τὴν κεφαλὴν ἔχειν, χέλωνας δὲ, διὰ τὸ τῶν χειλῶν πάχος, μύξωνας δὲ ἢ μύξωνας, παρ' ἣν βόσκονται μύξαν, κεσρέας διὰ τὸ ὀξὺ καὶ σφυροειδὲς τοῦ ῥύγχους. Κέστρα γὰρ ἡ σφύρα· διὸ καὶ ὁ καλούμενος ἰχθὺς Σφύραινα, συνωνύμως καὶ Κέσρα ὠνόμασαι (Ἰδ. Σνεϊδερ. Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 69, καὶ 172). Ἠπόρηται δὲ περὶ τοῦ Σάργου, διὰ τί αὐτὸν Ἀριστοτέλης, ὡς προείρηται (σελ. 87), ἐν τοῖς κεσρεῦσι καταλέγει. Καὶ οἱ μὲν τὴν διάφορον γραφὴν Σαργῶνας, ἀντὶ τοῦ Σάργους προείλοντο· ἕτεροι δὲ εἰς τὸ Σαργίνους τρέπειν δεῖν ᾠήθησαν. Ὅπως ποτε δ' ἂν ἔχῃ τὸ ἀληθὲς, ὁ ἐν τοῖς κεσρεῦσιν οὗτος σάργος, ἰχθύς ἐστι ποτάμιος (Γαλλ. Gardon), ἕτερος τοῦ ἀνωτέρω μνημονευθέντος σάργου, ὁμωνύμως κληθεὶς διά τινα πρὸς τὸν κυρίως ὀνομαζόμενον σάργον ἐμφέρειαν, ὡς φησιν ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 316). Οὕτως γὰρ καὶ Ὀξύρυγχον κεσρέα ἐν τοῖς ἑξῆς εὑρήσομεν ὀνομαζόμενον. Περὶ τῆς ἐκλογῆς τοῦ Κεσρέως παρεθέμεθα ἀνωτέρω (σελ. 80) τὰ δοκοῦντα Ἀρχεστράτῳ· δοκιμάζει δ' ὁ αὐτὸς καὶ τὸν ἐξ Αἰγίνης (παρ' Ἀθην. σελ. 307),

> Κεσρέα δ' Αἰγίνης ἐξ ἀμφιρύτης ἀγόραζε·
> Ἀνδράσι τ' ἀστείοις ὁμιλήσεις·

Περὶ δὲ τῆς δυνάμεως, ὁ μὲν Δίφιλος (παρὰ τῷ Ἀθην. σελ. 356) φησὶ, « Κεσρεὺς γίνεται μὲν καὶ θαλάσσιος, καὶ λιμναῖος καὶ ποτάμιος. Οὗτος » δὲ καλεῖται καὶ ὀξύρυγχος· κορακῖνος δὲ ὁ ἐκ τοῦ Νείλου. Ἥττων » (γρ. ἐξ ΕΔ, Κρείττων) δὲ ὁ μέλας τοῦ λευκοῦ, καὶ ὁ ἐφθὸς τοῦ ὀπτοῦ· » οὗτος γὰρ καὶ εὐστόμαχος καὶ εὐκοίλιος... Λευκίσκοι, κέφαλοι, κε» σρεῖς, μυξῖνοι, χελῶνες, ὅμοιοί εἰσι κατὰ τὴν προσφοράν· τοῦ δὲ » κεφάλου καταδεέστερός ἐστιν ὁ κεσρεὺς, ἥσσων δὲ ὁ μυξῖνος, τελευ» ταῖος ὁ χελών ». Γαληνὸς δὲ (Περὶ τροφ. δυνάμ. σελ. 344), τοὺς μὲν πελαγίους, ἢ τοὺς ἐν μεγάλοις ποταμοῖς κεφάλους, ὥσπερ καὶ τοὺς λευκίσκους, ἐπαινεῖ· τοὺς ἐν λίμναις δὲ, καὶ μάλιστα ταῖς μικραῖς, μηδ' ἀπορρύην ἐχούσαις δαψιλῆ, σάρκα φησὶν ἔχειν βλεννώδη, περιττωματικὴν, κακόχυμον καὶ ὀλιγότροφον. Ἐρευνήσωμεν δ' ἤδη καὶ περὶ τῶν παρ' ἡμῖν ὀνομάτων, ἐάν πως συμβιβάσωμεν αὐτὰ τοῖς ἀρχαίοις. Τοὺς μὲν οὖν παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτ. ἀ, 111) Κεσρέας ὁ σχολιαστὴς ἑρμηνεύει διὰ τοῦ Γυλάρια· ᾧ συνᾴδει ὁ Βελλώνιος, ἐν μὲν ταῖς Παρατηρήσεσι (Βιβλ. Α, κεφ. 53) Γυλάρια καλῶν, καὶ διαβεβαιού-

μενος τοὺς αὐτοὺς ἰχθῦς εἶναι, καὶ τοὺς παρ' ἑτέροις τῶν Γραικῶν Κεφαλόπωλα καλουμένους· ἐν δὲ τῷ Περὶ τῶν ἐνύδρων (σελ. 210), αὐτὰ μέν, Γυλλάρους, ἀρσενικῶς, τοὺς δὲ μείζους τῶν κεφάλων, ὧν τὰ ὠὰ ταριχευθέντα, ἐςὶ τὸ παρ' ἡμῖν, Ὠοτάραχον (Ὠοτάριχον), Κοκλάνους ὀνομάζων. Ἀκήκοα δὲ καὶ αὐτὸς Βυζαντινοῦ ὀψοφάγου Μυξινάρια καλοῦντος κεφάλων εἶδος μικρῶν. Καὶ τὸ μὲν Μυξινάριον προδήλως, παρὰ τὸν Μύξωνα ἢ Μυξῖνον ἐσχημάτισαι τὸν, ὥς φησι Γίλλιος (παρὰ τῷ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 665), τοῖς νεωτέροις Ἕλλησι, τῷ αὐτῷ ὀνόματι, Μύξωνα, καλούμενον· παρ' ὃ ἐςὶ καὶ τὸ τῶν Ῥωμαίων **Mugil**, καὶ τὸ τῶν νῦν Ἰταλῶν **Muggile**, καὶ τὸ τῶν Γάλλων **Muge**. Τὸ δὲ Κοκλάνος οὐκ ἔχω φάναι πόθεν παρῆκται· πλὴν εἰ μή τις τὸν κορακῖνον (οὕτω γὰρ καλεῖσθαι τὸν Νειλῶον κεφρέα μάρτυρα παρεσχόμεθα τὸν Δίφιλον), εἰς τὸν Κοκλάνον βαρβάρως ἠλλοιῶσθαι νομίσειε. Οἱ δὲ Γύλαροι ὑπονοεῖν παρέχουσι μήποτε οἱ Χέλωνες (ἢ Χειλῶνες) μετέπεσον εἰς τοὺς Χειλάρους καὶ Γυλάρους. Οἱ δὲ Λευκίσκοι, ὧν καὶ Γαληνὸς (Περὶ τροφ. δυνάμ. σελ. 345) μέμνηται, οὐδενὶ τῶν κεφάλων διαφέροντες ἢ τῷ μεγέθει καὶ τῇ χρόᾳ (μικρότεροι γὰρ καὶ ὑπολευκίζοντές εἰσι, τὰ περὶ τὴν κεφαλὴν μάλιςα), Λυκουρίνια παρ' ἡμῖν καλοῦνται, ὡς ἄν τις φαίη Λευκορρίνια· ταριχευθέντα δὲ, Βοῦροι, παρὰ τοὺς ἑξῆς (τμ. ος') μνημονευθησομένους Βωρεῖς, ἢ ἀπὸ τῆς Βιςωνίδος ἴσως λίμνης, τῆς νῦν καλουμένης κατὰ μέν τὸν Βελλώνιον (Παρατηρήσ. βιβλ. Α, κφ. 60, σελ. 136), **Bouron**, Βοῦρον, κατὰ δὲ τὸν ἡμέτερον Μελέτιον, Μπορού. Ταῦτά φησι Βελλώνιος, πλεῖςα κατὰ τὴν λίμνην ἁλισκόμενα καὶ ταριχευόμενα, ὑπὸ μὲν τῶν περιοίκων ὀνομάζεσθαι Λιλίγγια, ἐν Βυζαντίῳ δὲ Λυκορίνια.

Πρὸς τῷ τρυφερῷ.] Οὕτω διώρθουν πάλαι ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσι τὸ βάρβαρον, Πρὸς τὸ τρυφερόν. Νῦν δ' ὑποτοπάζω μήποτε δεῖ γράφειν, Πρὸς τῷ τροφίμῳ.

Νηξάμενος.] Ἐννηξάμενος γραπτέον εἶναι οὐκ ἀπιθάνως εἴκασεν ὁ Ματθαῖος. Ἴσως δὲ καὶ Ἀνανηξάμενος. Ἐκάλουν δὲ τοὺς τοιούτους, διὰ τὴν ἐκ θαλάττης εἰς ποταμὸν ἀνάβασιν, ἰδίῳ ὀνόματι, Ἀναδρόμους, ὥς φησιν ὁ Τραλλιανὸς Ἀλέξανδρος (Α, 15 καὶ ΙΒ, 3)· καὶ ἔςι τοὔνομα τῶν μήπω καταχωρισθέντων ἐν τοῖς Λεξικοῖς.

Πρὸς γὰρ τῆς ἰλύος πιαινόμενος, πάνυ ἀργὴν ἔχει τὴν σάρκα.] Ἐγράφετο, Πρὸς τῆς ἰλύος πιαινόμενος· πάνυ γὰρ ἀρχὴν ἔχων τὴν σάρκα. Καὶ τὴν μὲν τελευταίαν μετοχὴν ἔτρεψα εἰς τὸ Ἔχει, συμφώνως

τῷ Λατίνῳ μεταφραστῇ· τὸν δὲ σύνδεσμον (λείποντα ὧδε ἔν τινι τῶν ἀντιγράφων, ὡς καὶ παρὰ τῷ μεταφραστῇ) μεταθεῖναι δεῖν ἔγνων ἀνωτέρω ἐξῆς τῆς προθέσεως. Ἀργὴν δὲ σάρκα λέγει τὴν μὴ γεγυμνασμένην τῇ κινήσει. Διὸ καὶ ἐν τοῖς πρόσθεν (τμ. ς΄) ἐπῄνει τὰ οὐραῖα τῶν ἰχθύων, ὡς ἐκείνων μάλιστα τῶν μερῶν κινουμένων καὶ γυμναζομένων κατὰ τὴν νῆξιν. Λέγει δὲ καὶ Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. θ΄, 4) περὶ τῶν ἐκ τῆς ἰλύος πιαινομένων· « Οἱ δὲ κέφαλοι νέμονται τὴν » ἰλύν· διὸ καὶ βαρεῖς καὶ βλεννώδεις εἰσίν. Ἰχθὺν δὲ ὅλως οὐκ ἐσθίουσι· » διά τε τὸ ἐν τῇ ἰλύϊ διατρίβειν, ἐξανακολυμβῶσι πολλάκις, ἵνα περι- » πλύνωνται τὸ βλέννος ». Ἐνδέχεται μέντοι καὶ ἀντὶ τοῦ ἀργὴν τὸν Ξενοκράτην εἰρηκέναι ἀραιήν· τοιαῦται γὰρ ὡς ἐπίπαν αἱ σάρκες τῶν ἐν ἰλύϊ τρεφομένων.

Μεγεθούμενος δὲ σκληροῦται.] Τῶν σπανίων ὁ σχηματισμὸς ἀμφοτέρων τῶν ῥημάτων· διὸ ὁ Ματθαῖος ἔτρεψε τὸ πρῶτον εἰς τὸ Μεγεθυνόμενος. Ἀλλ' ὤφειλεν ἢ κατὰ χώραν ἐᾶν τὴν γραφήν, ἢ τρέπειν καὶ τὸ δεύτερον εἰς τὸ σκληρύνεται. Καὶ τὸ μὲν Σκληρόω ἐσημειώθη· τὸ δὲ Μεγεθόω οὔπω κατεχωρίσθη ἐν τοῖς λεξικοῖς.

Πλῶτα.] Ἐμνημόνευσε τοῦ ὀνόματος τούτου καὶ Ἀθήναιος (σελ. 307).

κζ΄. Κίθαρος καὶ ῥόμβος πλατεῖς εἰσιν.] Τὸν κίθαρον μετὰ τοῦ ῥόμβου τάττει καὶ ὁ Γαληνὸς (Περὶ τροφ. δυνάμ. σελ. 316). Ὁ δὲ Πλίνιος (XXXII, 11) καὶ ῥόμβου εἶδος αὐτὸν εἶναι λέγει. Παρωνόμασαι, δὲ Κίθαρος, ἢ κατὰ τὸν Ὀππιανὸν (Ἁλιευτ. Α, 98) Κιθάρα, παρὰ τὸ μουσικὸν ὄργανον· διὸ καὶ ἱερὸς νενόμισαι τοῦ Ἀπόλλωνος, ὥς φησιν Ἀπολλόδωρος (παρὰ τῷ Ἀθην. σελ. 306). Καὶ περὶ μὲν τοῦ ῥόμβου, ὅτι τῶν μεταγενεστέρων ἐστὶ τοὔνομα, δεδήλωκεν ὁ Ἀθήναιος (σελ. 330), « Ῥωμαῖοι δὲ καλοῦσι τὴν Ψῆτταν » Ῥόμβον· καὶ ἔστι τὸ ὄνομα Ἑλληνικόν ». Τὴν γὰρ παρ' Ἀριστοτέλει Ψῆτταν, Rhombum ὁ Πλίνιος μεθηρμήνευσε· Παραπλήσια γὰρ τὰ ζῶα καὶ δυσδιάκριτα, ῥομβοειδῆ ἀμφότερα ὄντα. Ἀλλ' ἔστιν ἡ μὲν Ψῆττα, ἢ Ψῆσσα, τὸ παρ' ἡμῖν Ψησσίον, ὁ δὲ Ῥόμβος (Γαλλ. Turbot) τὸ Συάκιον, ὃ Σύαξ ἀρσενικῶς ἐκαλεῖτο ὑπὸ τῶν Βυζαντιῶν συγγραφέων (ἴδ. Σνειδέρ. Συνωνυμ. ἰχθ. Ἀρτέδ. σελ. 29-32). Εἰ δ' ἀληθές, ὅτι καὶ Σαλάκι ὁ Ῥόμβος καλεῖται παρ' ἡμῖν, ὡς φησιν ὁ Σομαυέρας ἐν τῷ Γραικιταλικῷ Λεξικῷ (λέξ. Σαλάκι), τοὔνομα τοῦτο, προδήλως παρὰ τὸ ἀρχαῖον Σελάχιον παρασχηματισθέν, ὑπαγορεύει τὸν Ῥόμβον, ἄριστον ὄντα τῶν σελαχωδῶν, κατ' ἐξοχὴν οὕτως προσηγορεῦσθαι· καθὰ καὶ Ἄλογον καλοῦμεν τὸν Ἵππον, καὶ

Πετεινὸν τὸν Ἀλέκτορα, καὶ Ὄρνιθα τὴν Ἀλεκτορίδα, ὡς ἄριστα, ἢ γοῦν ἡμῖν χρησιμώτατα, τῶν ὁμογενῶν. Ὁ μέντοι Σοννίνιος (*Voyag. en Grèce, Tom. II, pag.* 202) Σαλάκι φησὶ καλεῖν τοὺς νῦν Ἕλληνας, ἣν οἱ Γάλλοι ἁλιεῖς Pastenaque ὀνομάζουσιν. Ἔστι δ' αὕτη ἡ παρὰ τοῖς ἀρχαίοις καλουμένη τρυγών, τῶν σελαχωδῶν οὖσα καὶ αὐτή. Ὁ δὲ Κίθαρός ἐστιν ἡ νῦν καλουμένη παρὰ τοῖς Γάλλοις Limande, ὥς φησιν ὁ Λακεπέδης (*Histoir. natur. des Poissons, Tom. XIV, pag.* 155, *édit.* 1799). Λείπεται τοίνυν ἐρευνῆσαι εἴπου τῆς Ἑλλάδος σώζεται ἔτι τοὔνομα, Κιθάριος, ᾧ ἑρμηνεύει τὴν παρὰ τῷ Ὀππιανῷ Κιθάρην, ὁ σχολιαστὴς, ἢ Κιθαργὸς, ᾧ ἐχρῶντο κατὰ τὴν δωδεκάτην ἑκατονταετηρίδα οἱ Βυζαντινοὶ συγγραφεῖς, ᾗ δῆλον ἐκ τῶν βαρβάρων τούτων τοῦ Πτωχοπροδρόμου ἐπῶν (Κατὰ Ἡγουμέν. σίχ. 177)·

Καὶ κιθαργὸς ὀπτούτζικος, ἀκέραιος μὲ τὸ γάρος,
Τὸ καρναβάδιν ἄνωθεν ὡς κάτω πεπασμένος.

Καὶ οἱ μὲν κατὰ τὸν Πτωχοπρόδρομον ὁσιώτατοι Ἡγούμενοι ὀπτὸν προηροῦντο τὸν κίθαρον, ὥσπερ καὶ ὁ κωμικὸς Καλλίας παρὰ τῷ Ἀθηναίῳ (386),

Κίθαρος ὀπτὸς, καὶ βατὶς, θύννου τε κεφάλαιον τοδί.

Ἀρχέστρατος δὲ διαιρεῖ, πρὸς τὸ χρῶμα σκευάζειν παραινῶν (παρὰ τῷ αὐτ. σελ. 306)·

——————— Κίθαρον δὲ κελεύω
Εὐθὺς, ἐὰν μὲν λευκὸς ἔῃ, σερεός τε πεφύκῃ,
Ἔψειν εἰς ἅλμην καθαράν, βαιὰ φύλλα καθέντα·
Ἂν δ' ᾖ πυρρὸς ἰδεῖν, καὶ μὴ λίαν μέγας, ὀπτᾶν
Ὀρθὴ κεντήσαντα δέμας νεοθῆγι μαχαίρᾳ.
Καὶ πολλῷ τυρῷ καὶ ἐλαίῳ τοῦτον ἄλειφε·
Χαίρει γὰρ δαπανῶντας ὁρῶν, ἔσιν δ' (γρ. ἔσιν τ') ἀκίλαστος.

Περὶ δὲ τῆς δυνάμεως τῶν ἰχθύων, Δίφιλος (παρὰ τῷ Ἀθην. σελ. 356) ἀναλογεῖν φησι τὸν Ῥόμβον ταῖς ψήτταις καὶ ταῖς βουγλώσσοις εὐτρόφοις τε οὔσαις καὶ ἡδείαις· Γαληνὸς δὲ (Περὶ τροφ. δυνάμ. σελ. 346) μαλακωτέραν ἔχειν τὴν σάρκα τοῦ κιθάρου τὸν ῥόμβον· ἀπολείπεσθαι δὲ τῶν ὀνίσκων οὐκ ὀλίγῳ.

Εὐέκκριτος.] Ἴσως γραπτέον μετὰ τῆς ἀρνήσεως, Οὐκ εὐέκκριτος· ὥσπερ καὶ ἐν τοῖς ἑξῆς (τμ. λζ΄) περὶ τοῦ Φάγρου ἐρεῖ.

κή. Κίχλαι, κόττυφοι, φυκίδες.] Ὡσαύτως καὶ ἀνωτέρω (τμ. ϛ΄) συνῆψε τὰ τρία ταῦτα τῶν ἰχθύων γένη, ἐν τοῖς ἀπαλοσάρκοις κατατάξας, ὥσπερ καὶ ὁ Γαληνὸς καὶ ἕτεροι. Καὶ ἡ μὲν Κίχλη, ὥσπερ καὶ ὁ Κόττυφος, ἀπὸ τῶν ἐχόντων τὴν αὐτὴν προσηγορίαν ἐν τοῖς πτηνοῖς ὁμωνύμως κέκληνται, καθὰ καὶ ἀπὸ πτηνῶν ἑτέρων ἕτερα γένη ἰχθύων· οὐκ οἶδα δὲ εἰ καὶ ἡ καθ' ἡμᾶς φωνὴ σώσασα τὴν ὁμωνυμίαν, ὥσπερ πτηνά, οὕτως καὶ τῶν ἐνύδρων ἕνια Κίχλας καὶ Κοσσύφους ὀνομάζει· ἅπερ οἱ νεώτεροι ὑπὸ τῷ κοινῷ γένει τοῦ Ῥωμαϊστὶ Labrus (ὅπερ ἂν εἴη Χείλων) καλουμένου κατέταξαν, τὸν μὲν Κόττυφον Labrum merulam, τὴν Κίχλην δὲ Labrum turdum, καλέσαντες. Τὰς δὲ, διὰ τὸ φυκίοις χαίρειν, ὀνομασθείσας Φυκίδας, ὁ μὲν Γίλλιος (παρὰ τῷ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 847) τῷ αὐτῷ φησὶν ὀνόματι καλεῖσθαι καὶ ὑπὸ τῶν νεωτέρων Ἑλλήνων· κατὰ δὲ τὸν Βελλώνιον, Λαμπίνας αὐτὰς ὀνομάζουσιν. Ὁ δὲ τὸν Ὀππιανὸν (Ἁλιευτ. Α, 126) σχολιάσας, Ληπίνας αὐτὰς καὶ Ῥούδια ἰδιωτικῶς ἑρμηνεύει· ὧν τὸ μέν, εἰ μὴ ἡμάρτηται ἡ γραφὴ ἀντὶ τοῦ Λεπρίνας (Λελεπρὶς γὰρ παρ' Ἡσυχίῳ, ἡ Φυκὶς), τῆς τῶν Ἰταλῶν ἂν εἴη φωνῆς, τῶν Ἐνετίῃσι κατοικούντων, Lambena τὴν φυκίδα καλούντων, ὡς φησιν ὁ Βελλώνιος· τὸ δὲ Ῥούδια, ἴσως ἀπὸ τοῦ ἐρυθροῦ χρώματος, δι' ὃ καὶ Μάρκελλος ὁ Σιδήτης ἐρευθήεσσαν ἐπωνόμασε τὴν Φυκίδα. Ῥουδὶ γὰρ παρ' ἡμῖν οἱ ἰδιῶται, εἴτε παρὰ τὸ ῥόδον, εἴτε παρὰ τὴν ῥοιὰν, καλοῦσι τὸ ἐρυθρόν. Ἴσως δὲ καὶ γραφικόν ἐστιν ἁμάρτημα τὸ Ῥούδια ἀντὶ τοῦ Ῥούσια, ὁμωνύμως οὕτως τοῖς ἐρυθρίνοις καὶ τὰς φυκίδας τοῦ σχολιαστοῦ προσαγορεύσαντος. Καὶ ταῦτα μὲν περὶ τῶν ὀνομάτων. Περὶ δὲ τῆς δυνάμεως, Ἱπποκράτης μὲν (Περὶ διαιτ. Β, σελ. 221) φησὶ, « Κοῦφοι δὲ οἱ » πετραῖοι σχεδὸν πάντες, οἷον κίχλη, φυκὶς, ἐλεφῖτις, κωβιός. Οἱ » τοιοῦτοι δὲ καὶ οἱ προῤῥηθέντες κουφότεροι τῶν πλανητῶν· ἅτε γὰρ » ἀτρεμίζοντες οὗτοι ἀραιὴν τὴν σάρκα καὶ κούφην ἔχουσιν· Οἱ δὲ » πλανῆται καὶ κυματοπλῆγες, τεθρυμμένοι (γρ. τετρυμένοι) τῷ » πάνῳ, στερεωτέρην τὴν σάρκα ἔχουσι ». Ἔνθα σημειωτέον, ὅτι ὁ παρ' οὐδενὶ ἑτέρῳ κείμενος, οὐδ' ἐν τοῖς Λεξικοῖς πω καταχωρισθεὶς, Ἐλεφῖτις, ἢ Ἐλεφίτης, ἴσως ὁ αὐτός ἐστι τῷ Ἀλφηστῇ, τῷ καὶ Κιναίδῳ προσαγορευομένῳ· καὶ τοῦτον γὰρ ταῖς φυκίσι συγκατέλεξεν

οὐ μόνον ὁ Ὀππιανὸς, (Ἁλιευτ. Α, 126), ἀλλὰ καὶ ὁ Νουμήνιος (παρ' Ἀθην. σελ. 282),

Φυκίδας ἀλφηστήν τε καὶ ἐν χροιῇσιν ἐρυθρὸν
Σκορπίον ———————————.

Ὁ δὲ Γαληνὸς (Περὶ τροφ. δυνάμ. Γ, σελ. 345) εὔπεπτον, ὑγιεινὴν καὶ αἵματος μέσου τῇ συςάσει γόνιμον ὁριζόμενος τὴν ἀπὸ τῶν πετραίων καλουμένων ἰχθύων τροφὴν, οἷον σκάρων, κοττύφων, κιχλῶν, ἰουλίδων, φυκίδων καὶ περκῶν, ἄριςον εἶναί φησι τὸν σκάρον ἡδονῆς ἕνεκα, μετ' αὐτὸν δὲ κοττύφους τε καὶ κίχλας, καὶ μετὰ τούτους, ἰουλίδας καὶ φυκίδας καὶ πέρκας. Δίφιλος δὲ (παρ' Ἀθην. σελ. 355) καὶ φυκῆνα (παρὰ τὴν εὐθεῖαν φυκὴν) ἰχθὺν ὀνομάζει διάφορον τῆς φυκίδος, ἀπαλοσάρκους, ἀβρόμους καὶ εὐφθάρτους ἀμφοτέρους λέγων· ἔνθα, ἴσως ὥσπερ ὑπενόησε καὶ ὁ τελευταῖος ἐκδότης τοῦ Ἀθηναίου, ἀντὶ τοῦ Φυκὴν γραπτέον Φύκης. Οὕτως γὰρ ὀνομάζεται τῷ Ἀριςοτέλει (Περὶ ζ. ἱςορ. ζ', 12 § 4)· οὐχ ὡς ἑτεροειδὴς μέντοι ἰχθὺς, ἀλλ' ὡς ἄῤῥην, μόνῳ τῷ μελάντερος εἶναι καὶ μείζους ἔχειν τὰς λεπίδας διαφέρων τῆς φυκίδος. Τὸν δὲ κωμικὸν Ἄλεξιν, λέγοντα (παρ' Ἀθην. σελ. 107)·

Ἐπὶ τὸ τάγηνον φυκίδας, Ψήττας τινάς,
Καρίδα, φύκην, κωβιὸν, πέρκην, σπάρον,

οὐκ ἔςιν ἀποφήνασθαι εἰ τὸν ἄῤῥενα καὶ τὴν θήλειαν φυκίδα φησὶν, ἢ ὡς διάφορον γένει τῆς φυκίδος τὸν φύκην ὀνομάζει.

Πρὸς διαχώρησιν ἐπιτήδειοι.] Ὁ Μνησίθεος (παρ' Ἀθην. σελ. 358) κίχλας, κοσσύφους καὶ ἁπλῶς τὰ μαλακόσαρκα, κοιλίας καὶ οὐρήσεως ὑπακτικὰ εἶναί φησιν. Ἔπιθι καὶ τὰ ἀνωτέρω (σελ. 78) περὶ κιχλῶν καὶ κοσσύφων σημειωθέντα.

κθ'. Κόρακος.] Τῆς μὲν διαφόρου γραφῆς, Κόραξος (ὅπερ ἔθνους Κολχικοῦ ἐςιν ὄνομα, κατὰ τὸν Βυζάντιον Στέφανον), οὐ φροντιςέον· ἔςι γὰρ οὐδὲν μᾶλλον ὀρθὴ, ἢ ἡ ἀνωτέρω σημειωθεῖσα (τμ. κγ') Λάβραξος ἀντὶ τοῦ Λάβρακος, ἢ αἱ παρὰ τῷ Τραλλιανῷ Ἀλεξάνδρῳ (Α, 12 καὶ Ζ, 6) Κοριάξ καὶ Κοριαξὸς, ἀντὶ τοῦ Κόραξ καὶ Κόρακος. Τὸ δὲ Κόρακος, ἀπὸ γενικῆς ἴσως (τῆς παρὰ τὸ Κόραξ) εἰς εὐθεῖαν μετέπεσεν, ὥσπερ καὶ παρὰ τὸ Γλαὺξ γλαυκὸς, ὁ ἰχθὺς Γλαῦκος (τμ. κγ'), καὶ παρὰ τὸ Ἧπαρ ἥπατος, ὁ ἰχθὺς Ἧπατος (τμ. κέ). Ἔχει μέντοι καὶ τοῦτο οὐ μικρὰν ἀπορίαν· Κο-

ρακῖνος μὲν γὰρ ἰχθὺς καὶ παρὰ Ξενοκράτει (τμ. θ΄) καὶ παρ' ἑτέροις οὐκ ὀλίγοις μνείας ἔτυχε, ὥσπερ καὶ Κόραξ (Ῥωμ. Corvus) παρά τε Κέλσῳ καὶ Πλινίῳ· Κόρακος δὲ παρὰ μόνῳ τῷ Ξενοκράτει φέρεται. Ἐνδέχεται μὲν οὖν τὴν παρὰ τούτῳ ὀρθὴν γραφὴν πάλαι γεγονέναι, Κόραξ· προσγράψαντος δέ τινος νεωτέρου Γραικοῦ ὡς ἐξήγησιν τὸ Κόρακας (ὅπερ ἐςὶ παρ' ἡμῖν εὐθεῖα ἑνικὴ, ἢ καὶ τὸ Κόρακος (ὡς εὐθεῖαν καὶ ταύτην), ἐπιγενόμενος ἕτερος ἀντιγραφεὺς τοῦτο εἰς τὴν χώραν τοῦ Κόραξ εἰσήνεγκεν. Ἀλλὰ καὶ τούτου δοθέντος, οὐδὲν ἧττον ζητεῖται ὁποῖός τίς ἐςιν ἰχθὺς ὁ Κόραξ· οἱ μὲν γὰρ διάφορον, οἱ δὲ τὸν αὐτὸν εἶναι τῷ Κορακίνῳ ὑπειλήφασι, καὶ Κόρακον ὑπὸ τῶν νῦν Ἑλλήνων καλεῖσθαι παραφθόγγασι (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 350 καὶ 356). Σκληροσαρκώτερον εἶναι τὸν κόρακα τοῦ ἱέρακος (ἰχθύος καὶ τούτου οὐδὲν μᾶλλον ἐγνωσμένου) φησὶν ὁ Δίφιλος παρὰ τῷ Ἀθηναίῳ (σελ. 356).

Εὐζομίας ἀποδέων, φαύλης γόνιμος ὕλης.] Οὕτως διορθοῦν δεῖν ἔγνωκα τὸ ἀσύντακτον καὶ ἀδιανόητον, Εὔζομος, ἀποδέων φαύλης γονίμου ὕλης. Ὁ γὰρ βρομώδης οὔτ' εὔζομος εἶναι, οὐδὲ φαύλης ὕλης ἀποδεῖν δύναται. Ἔχομεν δὲ πιςοῦσθαι τὴν διόρθωσιν καὶ ἑτέρῳ Ξενοκράτους παραλλήλῳ χωρίῳ (τμ. ιϑ΄), « Βρομώδεις, » ἀργῆς καὶ ὀλκίμου ὕλης γόνιμοι ».

λ΄. Λάβραξ.] Ἴδε τὰ ἀνωτέρω (σελ. 80) σημειωθέντα περὶ τοῦ Λάβρακος.

Ἄριζος ὁ μείων, ἡδύς.] Οὕτως ἔδοξέ μοι γραπτέον εἶναι, ἀντὶ τοῦ, Ἄριζος ὁ μείων δυεῖν· ἀνθ' οὗ διάφορος (ἢ μᾶλλον ἐκ τῆς Λατινικῆς μεταφράσεως διασκευασθεῖσα) γραφὴ, Ἄριζος ὁ μηνῶν (ἄλλ. ὁμῖνων) δυεῖν. Οὐ γὰρ, ὥσπερ τὰ χερσαῖα καὶ τὰ πτηνὰ, οὕτως καὶ τοὺς ἰχθύας ἀφ' ὡρισμένου ἡλικίας χρόνου εἰώθασι διορίζεσθαι· ἀρκεῖ γὰρ ἐν τούτοις τὸ φαινόμενον μέγεθος εἰπεῖν, ὥσπερ καὶ μικρὸν ἀνωτέρω (τμ. κϑ΄) εἴρηκε περὶ τοῦ κοράκου, « Ὧν ὁ μείων ἡδύτερος ».

Τρυφερόσαρκος κ. τ. λ.] Ἐν ταῖς προτέραις τῆς ἡμετέρας ἐκδόσεσι οὕτως ἔςικται καὶ γέγραπται ταῦτα, « τρυφερός. Ἄρκος κ. τ. λ. » ὥςε εἰς μὲν τὸ, τρυφερὸς, τελευτᾷν τὸ ἐν ἐκείναις XII κεφάλαιον, ἀρχὴν δὲ τοῦ XIII κεφαλαίου εἶναι τὸ Ἄρκος· ὃ πολλὰ παρέσχε τοῖς πρὸ ἡμῶν πράγματα, εἰκότως. Ἥ τε γὰρ Ἄρκος, ἢ Ἄρκτος, τῶν μαλακοσράκων οὖσα ἰχθύων, ἀσακῷ παραπλησία, ὥς φησι Σπεύσιππος (παρ' Ἀθην. σελ. 105) οὐδένα τόπον εἶχεν ἐνθάδε, ὅπου περὶ τῶν λεπιδωτῶν ἐςιν ὁ λόγος, αἵ τε καταλεγόμεναι ποιότητες, ἢ δυνάμεις, τῷ

λάβρακι μᾶλλον ἢ τῇ ἄρκῳ προσήκουσι, καθὰ καὶ οἱ πρὸ ἡμῶν ἐσημειώσαντο· σὺν οἷς ἐστι καὶ τοῦτο προσσημειώσασθαι, ὅτι τὸ ἐν τοῖς ἑξῆς, «Ὁ δὲ ποτάμιος... ὑποδύνων», ἀκαταλλήλως ἂν συνάπτοιτο τῇ θηλυκοῦ γένους οὔσῃ Ἄρκῳ. Διὰ ταῦτα τοίνυν, ἡμαρτῆσθαι τὴν γραφὴν τοῦ χωρίου πεπεισμένος, πάλαι μὲν ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσι, τρεπτέον εἶναί μοι ἔδοξε τὸ Ἄρκος εἰς τὸ Γλαῦκος· καὶ ἦν ἡ τοιαύτη διόρθωσις οὐκ ἀπίθανος, δι' ἃς ἔλεγον ἐκεῖ αἰτίας. Νῦν δὲ (εἴ γε μὴ καὶ νῦν ἠπάτημαι) διττὰς ἐπενόησα διορθώσεις τοῦ χωρίου, τὸν αὐτὸν μὲν ἀμφοτέρας ἐχούσας νοῦν, τὴν ἑτέραν δὲ τῆς ἑτέρας πιστοτέραν διὰ τὸ ἁπλούστερον τῆς γραφῆς. Ἔστι μὲν γὰρ γράφειν, ΤΡΥΦΕΡΟΣ, ΑΠΑΛΟΣΑΡΚΟΣ, τῆς τῶν δύο τούτων συνωνύμων γειτνιάσεως ἱκανῶς δηλούσης τὴν ἀφορμὴν τῆς γραφικῆς πλάνης· κακῶς γὰρ ἅπαξ διασπάσαντός τινος τὰς λέξεις, εἰς τὸ, ΤΡΥΦΕΡΟΣ ΑΠΑΛΟΣ ΑΡΚΟΣ, ἐπελθὼν ἕτερος, καὶ τὸ ΑΠΑΛΟΣ ἢ παριδὼν, διὰ τὸ τάχος τῆς γραφῆς, ἢ καὶ ὡς διάφορον γραφὴν ἢ ἐπεξήγησιν τοῦ ΤΡΥΦΕΡΟΣ, ἀποδοκιμάσας, ἔγραψε, ΤΡΥΦΕΡΟΣ, ΑΡΚΟΣ. Καὶ αὕτη μὲν ἡ πρώτη διόρθωσις· ἣν δὲ προειλόμην, συνάψας τὰς διασπασθείσας δύο λέξεις εἰς ἓν τὸ ΤΡΥΦΕΡΟΣΑΡΚΟΣ, πλεονεκτεῖ τῆς ἑτέρας τῇ ἁπλότητι, καίπερ τοῦ συνθέτου τούτου (τρυφερόσαρκος) παρὰ μὲν Ξενοκράτει τῶν ἅπαξ ἂν λεγομένων ὄντος, παρ' ἑτέρῳ δὲ οὐδενὶ κειμένου, οὐδ' ἐν τοῖς Λεξικοῖς πω κατακεχωρισμένου.

Καὶ ψυχροῖς κ. τ. λ.] Οὕτως διορθοῦν παρήνει ὁ Γεσνῆρος ἀντὶ τοῦ βαρβάρου, κατὰ ψυχροῖς. Ἡμεῖς δὲ καὶ τὸ Ποτάμιος εἰς τὸ Ποταμίοις τρέπειν δεῖν ἔγνωμεν. Ἔστι δὲ πάλιν ὁ λόγος περὶ ὧν ἐμνημονεύσαμεν ἐν τοῖς πρόσθεν (σελ. 89) ἀναδρόμων ἰχθύων.

Ὁ δ' εἰς λίμνας μεθισάμενος ἰλυώδεις καὶ τεναγουμένας, πιαινόμενος.] Ἐγέγραπτο οὐδενὶ σὺν νῷ, Ὁ δ' εἰς λίμνας μεθισάμενος ἰλυώδης καὶ σεναγούμενος πιαινόμενος· ὅπερ ὁ Γεσνῆρος μεταβάλλειν παρήνει εἰς τὸ, Ὁ δ' εἰς λίμνας μεθισάμενος ἰλυώδης, καὶ ἐν τενάγεσι πιαινόμενος. Ἡμῖν δ' ἣν ἐγράψαμεν διόρθωσιν πιθανὴ μᾶλλον ἔδοξε, διά τε καὶ τὸ Τέναγος, παρ' ὃ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς Τεναγόω (ταὐτόσημον τῷ Τεναγίζω) συνώνυμον εἶναι, τῷ Ἰλὺς (ὅθεν τὸ Ἰλυώδης) καὶ τῷ Τέλμα. Κυρίως μὲν γὰρ Τενάγη λέγεται τὰ ἀβαθῆ τῶν ὑδάτων, ἃ ἡ παρ' ἡμῖν συνήθεια Ῥηχὰ καλεῖ (ἴδ. Ἡλιοδώρ. Β, σελ. 3)· Τέλματα δὲ τὰ ἰλυώδη καὶ πηλώδη, ἃ ἐστι τὰ παρ' ἡμῖν Βαλτώδη (ἴδ. Πλουτάρχ. Δ, σελ. 476). Ἡ δὲ χρῆσις ἐναλλάσσει πολλάκις τὰς λέξεις,

διὰ τὸ παραπλήσιον τῶν σημαινομένων πραγμάτων· οἷον καὶ ἐν τοῖς ἑξῆς (τμ. νδ'-νέ) Ξενοκράτης ἀδιαφόρως ποιήσει. « Τεναγώδεσι τόποις, » ἔνθα ὀλίγον ὕδωρ » φησὶν Ἡσύχιος. Ὁ δὲ Φώτιος, « Τενάγη, διά- » βροχοι, κάθυγροι τόποι, πηλώδη πελάγη, ἢ ἰλὺς ἐπιπολάζοντος » ὕδατος οὐ πολλοῦ, καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι ». Καὶ πάλιν ὁ αὐτὸς, « Τέλματα, τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος, ἢ ΒΆΤΡΑ. » Ἰσαῖος δὲ εἶπε τὰ γεωργήσιμα χωρία ». Τὰ αὐτὰ σχεδὸν φέρε- ται παρά τε τῷ Σουΐδᾳ καὶ τῷ Ἐτυμολόγῳ· ἔνθα σημείωσαι πρῶτον μὲν, τὴν παρ' Ἰσαίῳ σπάνιον τῶν τελμάτων ἐκδοχὴν ὁμοίαν οὖσαν τῇ χρήσει τοῦ Γαλλικοῦ Marais. Καὶ τοῦτο γὰρ, κοινῶς παρὰ τοῖς Γάλλοις τὰς τελματώδεις λίμνας σημαῖνον, οἱ Παρίσιοι ἰδίως καὶ ἐπὶ κοίλων τινῶν καὶ γεωργησίμων χωρίων τετάχασιν. Οὐ μόνον δ' Ἰσαῖος, ἀλλὰ καὶ Ἀριστοφάνης ἐπὶ τοῦ αὐτοῦ σημαινομένου ἔοικε τεταχέναι τὴν λέξιν· τῷ γὰρ (Ὄρν. 1593),

Ὄμβριον ὕδωρ ἂν εἶχετ' ἐν τοῖς τέλμασιν,

τὰ κηπεύσιμα μᾶλλον χωρία δηλῶσαι τὸν κωμικὸν εἰκὸς, ἢ, ὡς ἔδοξε τῷ σχολιαστῇ, τὰ φρέατα. Ἔπειτα, ὅτι καὶ τὸ Βάτρα, ἢ, ὡς γρά- φεται παρὰ τῷ Σουΐδᾳ καὶ τῷ Ἐτυμολόγῳ, Βάθρα, οὐδὲν σημαῖνον ἐνθάδε, τρεπτέον εἰς τὸ ΒΆΔΑ, ἢ τὸ ΒΑΤΆ· ἀμφοτέρων μὲν τῶν λέξεων ταυτὸ δηλουσῶν, τῆς δὲ πρώτης Ῥωμαϊζούσης, καὶ μᾶλλον οἰκείας τοῖς Βυζαντινοῖς συγγραφεῦσι (ἴδ. Δουκάγγ. λέξ. Βάδα). Τὸ γὰρ Vada Βάδα, ὁ Στράβων (σελ. 201) Οὔαδα γράφει, τενάγη σημαίνει παρὰ τοῖς Ῥωμαίοις, ἐκ τῆς τῶν Ἑλλήνων φωνῆς προδήλως λαβοῦσι τοὔνομα, ὡς ἐσημειώσατο ὁ Οὐόσσιος· σημαίνει γὰρ τὰ βατὰ καὶ πορεύσιμα μέρη τοῦ ὕδατος, παρὰ τὸν Ἑλληνικὸν Βάδον, ὥσπερ καὶ τὸ ῥῆμα Vado (τὸ πορεύομαι) παρὰ τὸ θεματικὸν ἄχρηστον Βάδω, ὅθεν τὸ Βαδίζω. Καὶ μάρτυς Ἀριστοφάνης (Ὄρν. 42) εἰπὼν,

Διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν.

λά. Ὀνίσκος *οὐ* ὁριμὺς, εὔχυλος.] Τοὺς ὀνίσκους ἀνωτέρω (τμ. ϛ') ἐν τοῖς μέσοις τῶν ἀπαλοσάρκων καὶ σκληροσάρκων ἰχθύων τάξας ὁ Ξενοκράτης, ἐνθάδε περὶ τῶν δυνάμεων αὐτῶν τὸν λόγον ποιεῖται· τὸ μέντοι χωρίον καὶ διορθώσεως καὶ ἐρεύνης ἀκριβεστέρας χρῄζει. Καὶ πρῶτον μὲν τὸ Εὔχυλος ἔκ τε τῆς κατὰ Μόσχαν ἐκδόσεως καὶ τοῦ Λατίνου μεταφραστοῦ (boni succi) εἰς τὴν χώραν τοῦ Ἄχυμος εἰσ- ήνεγκα, καίπερ πάλαι, ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσι, τοῦτο

προελόμενος

προελόμενος ἐκείνου, διὰ τὸν Ἀρχέστρατον. Ἀποδοκιμάζει δὲ καὶ ὁ Γεσνῆρος τὸ Ἄχυμος, πλὴν ὅτι ἐκεῖνος Εὔχυμος γράφειν παρήνει. Ἀλλ' εἰ καλῶς ἔχει τὸ ἔν τισι τῶν ἀντιγράφων φερόμενον, Εὔχυμος, ἢ τὸ τῆς κατὰ Μόσχαν ἐκδόσεως, Εὔχυλος, τηνικαῦτα καὶ τὴν ἄρνησιν περιαιρετέον τῶν προηγουμένων, γράφοντας, Ὀνίσκος δριμὺς, εὔχυλος. Τὸ γάρ, δριμὺς, ἐπὶ καλοῦ τεταγμένον ἐνθάδε, ἴσον δύναται τῷ εὔσομος, μεθ' οὗ καὶ συνέταξεν αὐτὸ (τμ. κά), « Σάλπαι... δριμεῖαι, εὔσομοι, δύσφθαρτοι, εὔχυλοι, δυσδιαφόρητοι, » τροφώδεις, ἐνέκκριτοι »· καὶ αὖθις (τμ. κς'), « Κεφρεὺς... εὔσομος, » δριμὺς κ.τ.λ. ». Περὶ δὲ Ἀρχεστράτου, οὗ τὴν ἀνωτέρω (σελ. 48) παρατεθεῖσαν ῥῆσιν ᾠμην ἐναντιοῦσθαι τῇ γραφῇ τοῦ Εὔχυλος, ῥητέον ὡς ἐκεῖνος περὶ τοῦ Ὄνου ἰχθύος τὸν λόγον ποιεῖται, Ξενοκράτης δὲ περὶ τοῦ Ὀνίσκου· οὓς οὐχ ὑφ' ἁπάντων ὁμολογεῖσθαι τοὺς αὐτοὺς ἰχθῦς εἶναι, ἱκανῶς δεδήλωται.

Δυσδιοίκητος.] Καὶ περὶ τούτου ἠπόρησεν ὁ Γεσνῆρος, ὅτι δυσδιοίκητον λέγει τὸν ὀνίσκον· εἰκότως. Καὶ γὰρ ὁ Γαληνὸς (Θεραπευτ. μεθόδ. ζ', σελ. 110 καὶ ή, σελ. 121) τοὺς ὀνίσκους, ὡς εὔπεπτον, καὶ τῶν πετραίων ἰχθύων οὐδὲν ἧττον ἀγαθὸν ἔδεσμα, ἐπαινεῖ. Ἴσως τοίνυν τὴν περιαιρεθεῖσαν ἐκ τῶν προτέρων ἄρνησιν προσαπτέον ὧδε τῷ Δυσδιοίκητος, ἢ τοῦτο τρεπτέον εἰς τὸ Εὐδιοίκητος.

λϐ'. Σκόρπαιναι, σκληρόσαρκοι.] Ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει φέρεται κακὴ γραφὴ αὕτη· Σκόρπαιναι, σκληρόσαρκοι διὰ χυμῶν, ἐξ ὀρθωτέρας ἴσως ἑτέρας ἀναφυεῖσα τῆς Σκόρπαιναι, σκληρόσαρκοι, δύσχυμοι. Τὴν Σκόρπαιναν δὲ, οἱ μὲν ὡς ταυτὸ δηλοῦσαν τῷ καὶ παρὰ τοῖς ἀρχαίοις καὶ παρ' ἡμῖν ἔτι καὶ νῦν καλουμένῳ Σκορπίῳ, οἱ δὲ τὴν θήλειαν τοῦ Σκορπίου ἐξεδέξαντο, ἣν Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Ε, 10) Σκορπίδα καλεῖ. Καὶ τοῦ μὲν σκορπίου ἰχθύος τοὔνομα γνωστὸν, ὡς ἔφην, καὶ σύνηθες παρ' ἡμῖν· ὁ δὲ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 248) ἀκοῦσαί φησι τῶν νῦν Ἑλλήνων τὸν μὲν παρὰ τοῖς ἀρχαίοις σκορπίον, καλούντων, Σκορπίδι, τὴν δὲ σκόρπαιναν, Σκορπίναν. Διαφέρειν δ' ἕτερον θατέρου καὶ χρώματι καὶ χυμῷ φησὶν ὁ Ἀθήναιος (σελ. 320), « Σκόρπαιναν » καὶ σκορπίους πολλάκις ἡμεῖς ἐφάγομεν, καὶ, ὅτι διάφοροι καὶ οἱ » χυμοὶ καὶ αἱ χρόαι εἰσὶν, οὐδεὶς ἀγνοεῖ ». Λέγει δὲ καὶ ὁ Ἰκέσιος παρὰ τῷ αὐτῷ Ἀθηναίῳ « Τῶν σκορπίων ὁ μέν ἐστι πελάγιος, ὁ δὲ » τεναγώδης· καὶ ὁ μὲν πελάγιος πυῤῥὸς, ὁ δὲ ἕτερος μελανίζων. » Διαφέρει δὲ τῇ γεύσει καὶ τῷ τροφίμῳ ὁ πελάγιος. Εἰσὶ δὲ οἱ σκορ-

» πίοι σμηκτικοὶ, εὐέκκριτοι, πολύχυλοι, πολύτροφοι· χονδρώδεις » γάρ εἰσι ». Ἐξ οὗ ἴσως διορθωτέον καὶ τὸν Δίφιλον (παρὰ τῷ αὐτ. Ἀθην. σελ. 355) λέγοντα, « Σκορπίοι δὲ οἱ πελάγιοι καὶ κιρρὸι τρο- » φιμώτεροι τῶν τεναγωδῶν τῶν ἐν τοῖς αἰγιαλοῖς τῶν ΜΕΓΑΛΩΝ », τρέποντας τὴν τελευταίαν λέξιν εἰς τὸ ΜΕΛΑΝΩΝ, πλὴν εἰ μή τις διατείνοιτο, τὸν Δίφιλον ἀποδοκιμάζειν τοὺς μεγάλους τῶν σκορπίων, ὥσπερ ὁ Ἀρχέστρατος, ὅς φησι (παρὰ τῷ αὐτ. Ἀθην. σελ. 321)·

——————— Ἐν δὲ Θάσῳ τὸν σκορπίον ὠνοῦ
Μὴ μείζω πυγόνος· μεγάλου δ' ἀπὸ χεῖρας ἴαλλε.

Κατὰ δὲ τὸν Μνησίθεον (παρὰ τῷ αὐτ. Ἀθην. σελ. 358), τῶν καλουμένων πετραίων ἐστὶν ὁ σκορπίος, ἃ « ξηράν τε δίδωσι τροφὴν, εὔογκά » τ' ἐστὶ καὶ τρόφιμα, καὶ πέττεται ταχέως, καὶ οὐκ ἐγκαταλείπει » περιττώματα πολλὰ, πνευμάτων τε οὐκ ἔστι περιποιητικά ». Ἕτεροι δὲ οὐκ ἐν τοῖς πετραίοις καταλέγουσι τοὺς σκορπίους, οἷον Ἱπποκράτης (Περὶ διαίτ. Β, § 18, σελ. 221), καὶ Φιλότιμος παρὰ τῷ Γαληνῷ (Περὶ τροφ. δυνάμ. Γ, σελ. 347)· οἳ καὶ σκληροσάρκους αὐτοὺς καὶ ξηροὺς καλοῦσι.

Διὸ χαίρουσι σκευαῖς.] Ταύτην προειλόμην τὴν γραφὴν, ἀπαραλλάκτως οὕτως φερομένην ἐν τῇ κατὰ τὴν Μόσχαν ἐκδόσει τοῦ Ματθαίου, ἀντὶ τοῦ Διαναιροῦσι σκευαῖς· ἀνθ' οὗ ὁ μὲν Λατῖνος μεταφραστὴς ἔγραψεν, ob eam causam apparatu indigent, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Διὸ χρῄζουσι σκευῆς· ὁ δὲ Γεσνῆρος γράφειν παρήνει, Διαφέρουσι δὲ σκευασίαις.

Εὔθετοι πρὸς ἐκκρίσεις.] Ἐκ τοῦ Λατίνου μεταφραστοῦ (ad excretiones aptæ) παρείληφα τὴν πρώτην λέξιν, λείπουσαν μὲν ἐν ταῖς προτέραις ἐκδόσεσιν, ἀναγκαίαν δὲ οὖσαν, πρὸς δὲ καὶ μαρτυρουμένην ὑπ' αὐτοῦ Ξενοκράτους (ἴδ. ἀνωτέρ. τμ. ς').

λγ'. Σκιαδεύς.] Τὸν αὐτὸν εἶναί φασι τὸν Σκιαδέα, καὶ τὴν παρὰ τῷ Ἀριστοτέλει (Περὶ ζ. ἱστορ. Η', 19) Σκίαιναν, παρὰ τὸ Σκιά· ὅθεν καὶ Umbra τοῖς Ῥωμαίοις, καὶ Ombre τοῖς Γάλλοις καλεῖται ὁ ἰχθὺς, μεθερμηνέυσασι τοὔνομα. Τὴν αὐτὴν δὲ καὶ Σκινίδα ὀνομάζεσθαί φησι Γαληνὸς (Περὶ τροφ. δυνάμ. σελ. 346), κατὰ συγκοπὴν, ὡς οἴεται Γεσνῆρος, τοῦ Σκιαινίδα. Παραπλησίαν εἶναί φασι τῷ κορακίνῳ, καλεῖσθαί τε ὑπὸ τῶν νεωτέρων Ἑλλήνων, κατὰ παραφθορὰν τῆς ἀρχαίας κλήσεως, Σκίον (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 1231-1232). Ἐν τοῖς ἁπαλοσάρκοις καὶ εὐκατεργάστοις τῶν ἰχθύων τάττει

τὴν σκίαιναν ὁ Φιλότιμος παρὰ τῷ Γαληνῷ (σελ. 346)· αὐτὸς δὲ Γαληνὸς ἐν τοῖς μεταξὺ τῶν ἀπαλοσάρκων καὶ σκληροσάρκων. Εἰρήσεταί τι καὶ ἐν τοῖς ἑξῆς περὶ τῆς σκιαίνης.

λδ'. Σκάρος.] Ἔσωσεν ἀπαράλλακτον ἡ συνήθεια τοὔνομα τοῦ Σκάρου· οὗ δύο γένη φησὶν εἶναι Νίκανδρος (παρ' Ἀθην. σελ. 320), καὶ καλεῖσθαι τὸν μὲν Ὀνίαν, τὸν δὲ, Αἴολον. Ὅθεν καὶ « Ὀνίας, » εἶδος σκάρου » φησὶν Ἡσύχιος. Ἐπιχωριάζει δὲ μάλιςα ὁ σκάρος, ὡς φησι Πλίνιος (IX, 17), ἐν τῷ Καρπαθίῳ πελάγει, τουτέςι τῇ μεταξὺ Ῥόδου καὶ Κρήτης θαλάσσῃ, οὐδὲ περαιτέρω τοῦ καλουμένου Λέκτου, ἀκρωτηρίου τῆς Τρωάδος, πρόεισιν. Ἀρχέςρατος δὲ (παρ' Ἀθην. σελ. 320) καὶ ἐν Βυζαντίῳ, καὶ ἐν Χαλκηδόνι αὐτὸν ἁλίσκεσθαι δηλοῖ·

Καὶ σκάρον ἐν παράλῳ Χαλκηδόνι τὸν μέγαν ὄπτα,
Πλύνας. Εὔχρηςον δὲ καὶ ἐν Βυζαντίῳ ὄψει,
Καὶ μέγεθος κυκλίχ ἴσον ἀσπίδι νῶτα φοροῦντα.
Τοῦτον ὅλον θεράπευε τρόπον τοιόνδε· λαβών νιν,
Ἡνίκ' ἂν εὖ τυρῷ τε κ' ἐλαίῳ πάντα πυκασθῇ (ἴσ. πυκάσῃς),
Κρίβανον ἐς θερμὸν κρέμασον, κἄπειτα κατόπτα.
Πάσσειν δ' ἁλσὶ κυμινοτρίβοις καὶ γλαυκῷ ἐλαίῳ,
Ἐκ χειρὸς κατακρουνίζων θεοδέγμονα πηγήν.

Ἐπαινεῖ δὲ καὶ τὸν ἐξ Ἐφέσου, ὡς δηλώσομεν ἐν τοῖς περὶ τρίγλης. Ὁ Βελλώνιος τοὺς Κρῆτάς φησι τὸν σκάρον θηρεύειν πίσοις καὶ φασηόλοις, οἷς ἥδεται μάλιςα· διὸ καὶ τὰ τῶν φασηόλων φύλλα, Σκαροβότανα καλεῖν αὐτούς· ἐσθίειν δ' αὐτὸν ὅλον σὺν τοῖς ἐγκάτοις καὶ τοῖς περιττώμασιν, ἥδιςον ὄντα, πολλοὺς ἀμφορέας οἴνου ἐπιπίνοντας. Οὐ μὴν ἀλλὰ καὶ οἱ ἀρχαῖοι ὡσαύτως τὸν σκάρον ἥσθιον, ἢ δῆλον ἐξ ὧν φησιν Ἐπίχαρμος (παρ' Ἀθην. σελ. 319)·

——— Ἁλιεύομεν σπάρους
καὶ σκάρους, τῶν οὐδὲ τὸ σκὼρ
θεμιτὸν ἐκβαλεῖν θεοῖς.

Οὕτω δ' ἦν καὶ Ῥωμαίοις περισπούδαςον ὁ σκάρος καὶ πολύτιμον ἔδεσμα, ὥςε μὴ γεννώμενον παρ' ἐκείνοις ἐκ τῆς Ἑλληνικῆς μετακομισαμένους θαλάσσης ἐπὶ Τιβερίου Καίσαρος, εἰς τὴν προσκλύζουσαν τὴν Ἰταλίαν θάλασσαν, ἀπὸ τῆς Καμπανικῆς μέχρι τῆς κατὰ τὴν Ὤσιαν παραλίας κατασπεῖραι, ὥς φησι Πλίνιος (IX, 17). Καὶ τοῖς

θεοῖς δὲ πάντων τῶν ἄλλων ἰχθύων θυομένων, μόνον ἀπείρητο θύειν τὸν σκάρον, ὃν ὁ Ἀπουλήϊος καὶ Cerebrum Jovis, τουτέστι Διὸς ἐγκέφαλον, ὠνόμασε. Περὶ δὲ τῆς δυνάμεως, κατὰ μὲν τὸν Δίφιλον (παρ' Ἀθην. σελ. 355), « Ὁ σκάρος ἀπαλόσαρκος, ψαθυρὸς, γλυκὺς, » κοῦφος, εὔπεπτος, εὐανάδοτος, εὐκοίλιος »· Γαληνὸς δὲ, (Περὶ τροφ. δυνάμ. Γ, σελ. 345 καὶ 347) ἐν τοῖς πετραίοις τὸν σκάρον καταλέγων, ἐπιτιμᾷ τῷ Φιλοτίμῳ, σκληρόσαρκον αὐτὸν ἀποφηναμένῳ.

Δυσδιαφόρητος.] Λέξις ὕποπτος, ἣν ἢ διαγράφειν, ἢ γοῦν τρέπειν εἰς τὸ ἀντικείμενον, Εὐδιαφόρητος, χρὴ, ὥσπερ καὶ τὴν ἔν τισι τῶν ἀντιγράφων ἐχομένως ταύτης φερομένην, Δυσδιοίκητος, ἢ ἀμελητέον ὅλως, καθὰ καὶ ἠμελήθη ὑπὸ τῶν ἐκδοτῶν, ἢ μεταβλητέον εἰς τὸ, Εὐδιοίκητος.

Ὁ δὲ ἀρτιάλωτος, καὶ μὴ ζωγρείοις ἐγκεκλεισμένος, ΠΟΛΛΟΪΣ ἐγκάτοις εὖσομος, ἐπιπολαζικὸς, ΕΥΦΘΑΡΤΟΣ.] Ὕποπτον ἔδοξεν, ὥσπερ καὶ ἔσιν ἀληθῶς, τὸ χωρίον τῷ Γεσνήρῳ. Ἴσως γραπτέον, ΠΑΧΥΣ, καὶ ΔΥΣΦΘΑΡΤΟΣ· σκοπὸς γὰρ ἔοικεν εἶναι Ξενοκράτει, τῷδε τῷ οὕτως ἔχοντι σκάρῳ δυνάμεις γέ τινας προσγράψαι ἐναντίας ταῖς μικρὸν ἀνωτέρω εἰρημέναις, « Σκάρος, εὔσομος... εὔφθαρτος, διαχω- » ρητικός ». Ἐξετάσωμεν δὲ νῦν καὶ τὰ ἐπὶ μέρους, παραθέμενοι πρῶτον ἐκ τοῦ Ἀθηναίου (σελ. 355) ἃ λέγει Δίφιλος περὶ τῶν ἀρτιαλώτων σκάρων· « Τούτων δὲ ὁ πρόσφατος ὕποπτος, ἐπειδὴ τοὺς » θαλαττίους λαγὼς θηρεύοντες, σιτοῦνται· διὸ καὶ τὰ ἐντὸς χολέρας » ποιητικὰ ἔχει ». Καὶ τὸ μὲν τὸν σκάρον τοὺς θαλαττίους λαγωοὺς σιτεῖσθαι ἔψευσαι, ἄλλως τε καὶ τοῦ Πλινίου οὐ τὸν σκάρον, ἀλλὰ τὴν τρίγλην ἥδεσθαι τῇ τοῦ θαλασσίου λαγωοῦ ἐδωδῇ λέγοντος (*Plin. lib. XXXII, cap.* 1). Ὧ συνάδει καὶ Πλούταρχος (Πότερ. τῶν ζ. φρονιμώτερ. κ. τ. λ. § 35) λέγων· « Τὸν γὰρ θαλάττιον λαγωὸν, ὃς » ἐσιν ἀνθρώποις θανάσιμος, κτείνουσιν αἱ τρίγλαι μάλιστα καὶ κατα- » αλίσκουσι ». Καὶ Ἡγήσανδρος δὲ (παρ' Ἀθην. σελ. 325) κυνηγέτιν τῶν θαλασσίων λαγωῶν εἶναι λέγει τὴν τρίγλην, δι' ὃ καὶ τῇ κυνηγετικῇ θεῷ, τῇ Ἀρτέμιδι, ἀνακεῖσθαι, ἔν τε τοῖς Ἀρτεμισίοις παραφέρεσθαι. Ἡ μὲν γὰρ τρίγλη, ὡς καὶ πολλοὶ ἕτεροι τῶν ἰχθύων, καὶ σαρκοφαγεῖ πρὸς τοῖς ἄλλοις· ὁ σκάρος δὲ φυκίοις μόνοις τρέφεται, ὥς φησιν Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Η, 4)· δι' ὃ καὶ μηρυκάζειν ὑπελήφθη μόνος τῶν ἰχθύων, καὶ Μήρυξ ὑπ' ἐνίων ἐκαλεῖτο. Τοῦτον γὰρ αἰνίττεται Ἡσύχιος λέγων, « Μήρικες (γρ. Μήρυκες) ἰχθύες », ἢ δῆλον ἐξ αὐτοῦ Ἀριστοτέλους (Περὶ ζ. ἱστορ. Β, 12 καὶ Θ, 37),

Μήρυκα καλοῦντος τὸν σκάρον. Τὸ δὲ χολέρας εἶναι ποιητικὸν, διὰ τὸ πολὺ καὶ λιπαρὸν τῶν ἐγκάτων, καὶ μάλιςα τοῖς πλεονάσασι τῇ βρώσει, ἰατρικῶς ὥρισαι. «Τὰ γὰρ λιπαρὰ καὶ τὰ πίονα... ὀξυρεγμίην » ὡς μάλιςα παρέχει καὶ χολέρην, καὶ ςρόφον, καὶ φύσαν, καὶ » πλησμονήν· ποιέει δὲ τοῦτο αὐτὸ, καὶ ὅταν πλείω τις φάγῃ ἢ πίῃ, » ἢ ὅσα οἷα τε πέψαι ἡ κοιλίη », καθά φησιν Ἱπποκράτης (Περὶ παθ. § 44, σελ. 188). Φυλάσσειν μὲν οὖν αὐτὸν εἰκὸς τὸ εὔςομον διὰ τὸ μὴ ἐγκεκλεῖσθαι ζωγρείοις· ἄςομοι γὰρ οἱ σύγκλειςοι τῶν ἰχθύων, ὡς αὐτὸς μικρὸν ἀνωτέρω (τμ. λ΄) εἴρηκε Ξενοκράτης· εἶναι δὲ ἐπιπολασικὸν μὲν διὰ τὸ πιμελῶδες, (τμ. ογ΄), δύσφθαρτον δὲ διὰ τὸ ἀρτιάλωτον. Ἀλλ' οὐδ" οὕτως γραφόμενον ἀρέσκει τὸ κείμενον. Ἑτέραν οὖν ὁδὸν τραπώμεθα, καὶ σκοπήσωμεν μήποτε ἐγέγραπτο δίχα τῆς ἀπαγορεύσεως, Ὁ δὲ ἀρτιάλωτος, καὶ ζωγρείοις ἐγκεκλεισμένος, παχὺς ἐγκάτοις, ἄςομος, ἐπιπολασικὸς, εὔφθαρτος. Ἔςαι γὰρ οὕτως ἄςομος μὲν, διὰ τὴν ἐν ζωγρείοις ἔγκλεισιν, παχὺς δὲ δι' αὐτὴν ταύτην (ἐπὶ γὰρ τῷ πιμελέςεροι γίνεσθαι ζωγρείοις ἐνεκλείοντο), ἐπιπολασικὸς δὲ διὰ τὴν πιμελὴν, δι' ἣν καὶ εὔφθαρτος ἂν εἴη. Εὔφθαρτα γὰρ καὶ ἐπιπολασικὰ τὰ πιμελώδη, καὶ ἐκ τοῦ ἐναντίου δύσφθαρτα τὰ ἀπίμελα, ὡς αὐτὸς ἐν τοῖς ἑξῆς (τμ. ογ΄) ἐρεῖ. Τὰ δὲ Ζωγρεῖα, ἃ καὶ Δεξαμενὰς (τμ. λ΄), καὶ Καταβόλους (τμ. νγ΄) ὀνομάζει, οἱ Βυζαντινοὶ συγγραφεῖς, Ζώγρους καὶ Βιβάρια καὶ Πισκίνας, ἢ Φισκίνας, ἐκάλουν, τὰ τελευταῖα δύο ταῦτα παρὰ τὸ Ῥωμαϊκὸν Piscina (ἰχθυοτροφεῖον) πλάσαντες, ὥσπερ καὶ τὸ μέχρι δεῦρο σωζόμενον παρ' ἡμῖν Βιβάριον (καὶ ἔτι χυδαιέςερον Λιβάριον) ἐκ τοῦ παρ' ἐκείνοις Vivarium, ὅ ἐςι ζωγρεῖον. Παρὰ τοῦτο δὲ καὶ ἕτερον ἐσχημάτισαν ὄνομα τὸν Βιβαρευτὴν, οὐκ ἔτι τὸν ἰχθυοτροφέα σημαῖνον, ὃς ἐκείνοις Piscinarius ἐκαλεῖτο, ὥσπερ σκώπτων ὠνόμαζε Κικέρων τοὺς ὀψοφάγους καὶ λίχνους, ἀλλὰ μᾶλλον τὸν ταριχευτὴν, τουτέςι τὸν ἅμα θηρῶντα καὶ ταριχεύοντα, τοὺς ἰχθύας, ὃς ὑπὸ τῶν Ῥωμαίων ἐκαλεῖτο Cetarius, ὥσπερ ἂν φαίη τις Κητοθήρας, ἢ Κητευτὴς, ὥσπερ καὶ Cetariæ, Κητεῖαι, ἢ Ταριχεῖαι, αὐτοὶ οἱ παρὰ θάλασσαν ἢ λίμνας, ἢ ποταμοὺς τόποι, ἐν οἷς ἐταρίχευον. Τοῦτο μὴ νοήσας ὁ Δουκάγγιος, τὸ Βιβαρευτὴς ἀλλαχόθεν ἀπιθάνως πάνυ παρῆγε (Ἴδ. Δουκαγγ. Λεξικ. παρακμ. Ἑλληνισμ. λέξ. Βιβαρευτὴς, καὶ Λεξικ. παρακμ. Λατινισμ. λέξ. Canis bibarhunt).

λέ. Συνόδους.] Σινόδους (παρὰ δ' Ἀριςοτέλει Σινόδων), ἢ Συνόδους· ἀμφοτέρως γὰρ εὕρηται γραφομένη ἡ πρώτη συλλαβὴ, τοῦ μὲν

παρὰ τὸ σίνεσθαι (τουτέστι βλάπτειν) τοῖς ὀδοῦσι, τοῦ δὲ προθετικοῦ, παρὰ τὸ συνεχὲς καὶ πυκνὸν τῶν ὀδόντων, οἱονεὶ πυκνόδους, ἀποδιδόντων τὸ ἔτυμον. Εἰσὶ δ' οἱ καὶ παρὰ τὸ Συὸς ὀδόντας ἔχειν ἔπλασαν τεθαρρηκότως, οἷα φιλοῦσι γραμματικῶν παῖδες, τὴν παραγωγήν. Παρ' ἡμῖν ἐστι νῦν ἰχθὺς ἰδιωτικῶς λεγόμενος, Σινόδι ἢ Συνόδι, καὶ ἕτερος, Συναγρίδα (τοῖς ἀρχαίοις Συναγρίς)· καὶ εἰσὶν οὕτως παραπλήσιοι, ὥστε καὶ τῶν παλαιῶν καὶ τῶν νεωτέρων τινὰς τὸν αὐτὸν ἰχθὺν εἶναι δυσὶ προσαγορευόμενον ὀνόμασιν ὑπειληφέναι, ἐν οἷς καὶ Θεόδωρος ὁ Γαζῆς, τὴν παρ' Ἀριστοτέλει Συναγρίδα καὶ τὸν Σινόδοντα δι' ἑνὸς Ῥωμαϊκοῦ ὀνόματος **Dentex** μεθερμηνεύσας. Φησὶ δὲ καὶ Γίλλιος (παρὰ τῷ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 1121) τοὺς νεωτέρους Ἕλληνας ἐνὶ τῷ τῆς Συναγρίδος ὀνόματι προσαγορεύειν τόν τε Συνόδοντα καὶ αὐτὴν τὴν Συναγρίδα. Βελλώνιος μέντοι (Περὶ ἐνύδρ. σελ. 181), καὶ αὐτὸς κατὰ τοὺς τόπους γενόμενος, τοὺς νῦν Γραικοὺς ἀκριβῶς τὴν Συναγρίδα τοῦ Συνόδοντος διακρίνειν, λέγει. Ἀλκισαὶ ἐπιθετικῶς καλοῦνται τῷ Ὀππιανῷ (Ἁλιευτ. Α, 170) οἱ Συνόδοντες ἀπὸ τῆς ἀλκῆς καὶ ἰσχύος, ὃ δηλοῦν ἔοικε καὶ Μάρκελλος ὁ Σιδήτης διὰ τοῦ Κρεῖοι, ἐπὶ τοῦ Κρείονες τάξας τοὔνομα. « Κρείων... » ἰσχύων » φησὶν Ἡσύχιος. Καὶ διορθούσθω ἐν παρόδῳ καὶ τὸ πρὸ τούτου φερόμενον παρὰ τῷ αὐτῷ Λεξικογράφῳ « Κρειττόνων, ΑΡΕ- » ΤΩΝ », τρεπόμενον εἰς τὸ ΑΡΧΟΝΤΩΝ· ἀναφέρεται γὰρ εἰς τὸ παρ' Εὐριπίδῃ (Ὀρες. 709),

Σώζειν σε σοφία, μὴ βίᾳ τῶν κρεισσόνων.

Ἀλλ' ἐπανίωμεν ἐπὶ τὸ προκείμενον, καὶ μάθωμεν παρ' Ἀρχεστράτου (παρ' Ἀθην. σελ. 322), ὅθεν χρὴ πορίζεσθαι τὸν ἰχθὺν τοῦτον·

Ἀτὰρ τὸν σινόδοντα μέν, ὃν ζητεῖ παχὺν εἶναι,
Ἐκ Πορθμοῦ λαβεῖν πειρῶ καὶ τοῦτον, ἑταῖρε.

Περὶ δὲ τῆς δυνάμεως, ὃ μέν φησι Δίφιλος (παρ' Ἀθην. σελ. 355), « Συνόδους καὶ Χάραξ τοῦ μὲν αὐτοῦ γένους εἰσί· διαφέρει δὲ ὁ » Χάραξ », οὐδὲν μᾶλλον γινώσκειν ἡμῖν παρέχει τὴν τοῦ συνόδοντος ποιότητα, ἀγνοοῦσιν ὅλως αὐτὸν τὸν Χάρακα, οὗ καὶ Ὀππιανὸς (Ἁλιευτ. Α, 173) καὶ Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. ιϐ', 25) ἐμνημόνευσαν. Ἔγνωμεν δ' ἐκ τῶν πρόσθεν (σελ. 66) ὅτι καὶ τὰς μείζους Πηλαμύδας, Συνοδοντίδας ἔλεγε καλεῖσθαι ὁ αὐτὸς Δίφιλος. Ἱκέσιος δὲ παρ' Ἀθηναίῳ (σελ. 327) τοὺς Συνόδοντας καὶ τὰς Συναγρίδας,

ὥσπερ τοὺς Φάγρους, τοὺς Ἀκαρνᾶνας, τοὺς Ἀνθίας, τοὺς Χρόμεις, καὶ τοὺς Ὀρφοὺς, γλυκεῖς, παρασύφοντας, τροφίμους καὶ δυσεκκρίτους εἶναι λέγει· τροφιμωτέρους δ' αὐτῶν τοὺς σαρκώδεις καὶ γεωδεςέρους, ἐλάττονά τε πιμελὴν ἔχοντας.

Οὐκ ἀτρύφερος δέ.] Οὐ χρηςὸν τὸ Ἀτρύφερος· τὸ γὰρ Τρυφερὸς καὶ τὰ ὅμοια παράγωγα ἀποςρέφονται τὴν μετὰ τοῦ ςερητικοῦ σύνθεσιν. Ὁ Λατῖνος μεταφραςὴς ἡρμήνευσεν, Οὐκ ἄτροφος δὲ, Sed tamen non est alimenti expers· ἀλλ' οὐδὲ τὴν τοιαύτην γραφὴν ἀποδεκτέον, διὰ τὸ προσεχὲς, Τροφώδης μέσως.

Καὶ εὐέκκριτος.] Οὕτως ἔγραψα ἐκ διαφόρου γραφῆς, ἣ συνάδει καὶ ἡ κατὰ Μόσχαν ἔκδοσις, καὶ ὁ Λατῖνος μεταφραςὴς, ἀντὶ τοῦ μετ' ἀρνήσεως, Καὶ οὐκ εὐέκκριτος.

λς'. Τρίγλα.] Σέσωςαι καὶ παρ' ἡμῖν νῦν τοὔνομα, Τριγλία οὐδετέρως τὰς τρίγλας (Γαλλ. Surmulets, ἢ Rougets-barbets) καλοῦσι. Καὶ τοὺς μὲν τόπους, ὅθεν χρὴ τοὺς λίχνους ζητεῖν τὰς τρίγλας, διδάξει Ἀρχέςρατος (παρ' Ἀθην. σελ. 320 καὶ 325)·

Καὶ σκάρον ἐξ Ἐφέσου ζήτει. Χειμῶνι δὲ τρίγλην
Ἔσθι' ἐνὶ ψαφαρῇ ληφθεῖσαν Τειχιοέσσῃ
Μιλήτου κώμῃ, Καρῶν πέλας ἀγκυλοκώλων.
Κἀν Θάσῳ ὀψώνει τρίγλην, κοὐ χείρονα λῆψῃ
Ταύτης. Ἐν δὲ Τίῳ χείρω, κεδνὴ δὲ καὶ αὕτη·
Ἐν δ' Ἐρυθραῖς ἀγαθὴ θηρεύεται αἰγιαλῖτις.

Ναυσικράτης δὲ ὁ κωμικὸς (παρ' Ἀθην. σελ. 325) ἐπαινεῖ καὶ τὰς κατὰ τὴν Ἀττικὴν Αἰξωνικὰς τρίγλας. Τὴν δὲ τοῦ ὄψου δύναμιν τοιάνδε ὁρίζεται ὁ Δίφιλος (παρ' Ἀθην. σελ 355), « Τρίγλη, εὐςόμαχος, » παρασύφουσα, σκληρόσαρκος, δύσφθαρτος, ἐφεκτικὴ κοιλίας, καὶ » μάλιςα ἡ ἐξ ἀνθράκων· ἡ δὲ ἀπὸ τηγάνου, βαρεῖα καὶ δύσπεπτος. » Κοινῶς δὲ πᾶσα, αἵματος ἐκκριτική ». Γαληνὸς δὲ (Περὶ τροφ. δυνάμ. Γ, σελ. 347) σκληράν, ψαθυράν, ἀλιπῆ, τρόφιμον καὶ ἡδεῖαν τῇ προσφορᾷ τὴν σάρκα τῆς τρίγλης εἶναί φησι.

Πλακώδης σάρξ.] Ἀμελέςερον ἔφρασε ἀντὶ τοῦ, Πλακώδης τὴν σάρκα, ἢ Πλακώδη σάρκα ἔχουσα. Τὸν δὲ νοῦν τὸν αὐτὸν καὶ τοῦ παρὰ τῷ Διφίλῳ καὶ τῷ Γαληνῷ Σκληρόσαρκος ἔλεγον εἶναι ἐν ταῖς πάλαι εἰς τὸν Ξενοκράτην σημειώσεσι. Νῦν δέ μοι δοκεῖ ἀκριβέςερον πλακώδη σάρκα, ἢ πλακῶδες σῶμα (Ῥωμ. Crustosum corpus) λέγεσθαι, οὗ ἡ σύγκρισις ἐκ πολλῶν ἐςιν ἐπιπέδων ἐπικει-

μένων ἀλλήλοις οὕτως, ὡς' ἀσυγχύτως χωρίζεσθαι ἀπ' ἀλλήλων, οἷαί εἰσιν αἱ Ῥωμαϊκῷ ὀνόματι (crustæ) παρ' ἡμῖν καλούμεναι τοῦ πλακοῦντος κροῦσαι, ὃν Ἀντιφάνης ὁ κωμικὸς (παρ' Ἀθην. σελ. 449) παίξας,

Λεπτοσυνθέτοις τρυφῶντα μυρίοις καλύμμασιν,

εἴρηκεν. Καὶ ἔστιν ἀληθῶς ἐν τῇ ὠπτημένῃ τρίγλῃ παραπλήσιόν τι τῷ πλακοῦντι θεάσασθαι, τῆς σαρκὸς εἰς λεπίδας ἢ πλάκας διαιρουμένης. Γενήσεται δὲ μᾶλλον κατάδηλον τὸ λεγόμενον παραθεμένοις ἐκ τοῦ Διοσκορίδου (ε, 121) ὃ φησι περὶ τοῦ ἀρσενικοῦ (Γαλλ. orpiment)· « Ἄριστον δὲ ἡγητέον τὸ ΠΛΑΚΩΔΕΣ καὶ χρυσίζον τῇ χρόᾳ, τάς τε » ΠΛΑΚΑΣ ΛΕΠΙΖΟΜΕΝΑΣ ἔχον, ὡς ἀεὶ (γρ. ὡσανεὶ) ἐπικειμένας » ἀλλήλαις ».

Διάπυρρός οὖσα κιννα6άρει καὶ χρυσῷ.] Οὕτω διώρθουν πάλαι, τῷ μὲν Διάπυρος (παρὰ τὸ πῦρ) ἀνθυποβαλὼν τὸ Διάπυρρος (παρὰ τὸ πυρρὸς), ὥσπερ καὶ φέρεται νῦν ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει τοῦ Ματθαίου. Τὸ δὲ Χρυσώπῃ (οὕτω κατὰ δοτικὴν γραψάντων τῶν πρὸ ἐμοῦ, νῦν δὲ ἐν τῇ τοῦ Ματθαίου ἐκδόσει γραφόμενον Χρυσώπη) τρέπων εἰς τὸ Χρυσῷ ἢ εἰς τὸ Χρυσωπὴ, κἂίπερ ἀποδοκιμάσας καὶ τοῦτο, δέον Χρυσωπὸς (κοιν. γέν.), ἢ Χρυσῶπις γράφεσθαι. Ὁ νοῦς, οὕτως ἐστὶν ἐρυθρὰ, ὥστε δοκεῖν περικεχρῶσθαι κιννα6άρει καὶ χρυσῷ. Διὸ καὶ Μάτρων (παρ' Ἀθην. σελ. 135) Τρίγλην Μιλτοπάρηον εἴρηκε, παρῳδήσας ἐξ Ὁμήρου, ὥσπερ ἕτεροι (παρὰ τῷ αὐτ. σελ. 325) Ἐρυθρόχρων, καὶ Ξανθοχρῶτα προσηγόρευσαν. Ἴσως δ' ἄν τις προέλοιτο κατὰ χώραν ἐᾶν τὸ Χρυσώπη, ἢ Χρυσωπὴ, ἢ γοῦν Χρυσωπὸς, διὰ τὸ καὶ τὸν Πλούταρχον τῷ αὐτῷ ἐπιθέτῳ κοσμῆσαι τὴν τρίγλην. Ἀλλ' ἡ τοῦ Πλουτάρχου περὶ τῆς τρίγλης ῥῆσις ὕποπτος ἀείποτε ἔμοι γε ἔδοξε (Πότερ. τῶν ζώων φρονιμώτερ. κ. τ. λ. § 26) « Τὰ δὲ βολιτικὰ καλούμενα, » τρίγλαν, ΧΡΥΣΩΠΟΝ, καὶ σκορπίον γρίποις τε καὶ σαγήναις σύρουσι » περιλαμβάνοντες ». Οὐκ ὀλίγοι μὲν οὖν τῶν κριτικῶν, ἐν οἷς καὶ ὁ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 672-673), τὸ Χρυσωπὸν ὡς ἐπίθετον τῆς τρίγλης ἐξέλαβον· ἀλλ' ἐξελέγχεται ἡ τοιαύτη ἐκδοχὴ, τῷ ἀτόπως ἄν χρήσασθαι, εἰ ἐχρήσατο, ἐπιθέτῳ τοιούτῳ τὸν Πλούταρχον, ἔνθα οὐ περὶ κάλλους ἰχθύων, ἀλλὰ περὶ τοῦ τρόπου τῆς ἄγρας αὐτῶν ὁ λόγος ἦν. Διὸ καὶ ὁ Βυτεμβάχιος (ἐκ τῆς ἐκδόσεως γὰρ ἐκείνου μετέγραψα τὴν ῥῆσιν), καλῶς ποιῶν, ἐχώρισε τῇ ςίξει τῆς τρίγλης τὸ

Χρυσωπὸν, ὡς ὄνομα ἰχθύος ἑτέρου, ὥσπερ ἡρμήνευσε καὶ ὁ Λατῖνος μεταφραστὴς τρεῖς ἀντὶ τῶν δύο ἰχθύας ἐκφράσας, Mullum, Chrysopum, Scorpium. Λείπεται τοίνυν τρέπειν τοῦ τρίτου ἰχθύος τὸ ὄνομα εἰς τὸ ΧΡΥΣΟΦΡΥΝ, ἢ ὑπολητέον Χρυσωπὸν ὠνομάσθαι κατὰ τὸν παρακμάζοντα Ἑλληνισμὸν τὸν Χρύσοφρυν· καὶ γὰρ καὶ παρ' ἑτέροις ἡμάρτηται ἡ γραφὴ τοῦ ὀνόματος, τῶν μὲν Χρυσόφρους (Αἰλιαν. Περὶ ζ. ἰδιότητ. ιγ', 28, καὶ ις', 12), τῶν δὲ Χρυσάφους (Μαρκελλ. Σιδήτ. στ. 12) καλούντων τοὺς Χρυσόφρυς.

Πωγωνοφόρος.] Οὕτως καὶ Ἐρατοσθένης (παρ' Ἀθην. σελ. 284) Γενειῆτιν τρίγλην, καὶ Σώφρων (παρὰ τῷ αὐτ. σελ. 324) Γενεᾶτιν τρίγλην, ὅ ἐστι πωγωνοφόρον, ἐκάλεσαν. Ἐκ δὲ τῶν νεωτέρων μυσακοφόρον αὐτὴν κωμικῶς, ἢ μᾶλλον βωμολοχικῶς, ὠνόμασεν ὁ Πτωχοπρόδρομος ἐν τῷ Κατὰ Ἡγουμένων ποιήματι (στίχ. 175)·

Κομμάτια σιακοκόμματα, τριγλία μουσακάτα.

Οἱ δὲ παρ' ἡμῖν Ἰταλοχυδαΐζοντες, χαίρειν ἐάσαντες τὸ πολλοῦ δέον ἀπηρχαιῶσθαι τῆς τρίγλης ὄνομα, Βαρβοῦνι, ἐν δὲ τῇ νήσῳ Κρήτῃ συντιθέντες Τριγλοβαρβοῦνι (Ἰδ. Σνειδέρ. σημειώσ. εἰς τὸ Αἰλιαν. Περὶ ζ. ἰδιότητ. Β, 41) καλοῦσιν αὐτὴν, παρὰ τὸ Barbone, ὃ τὸν πωγωνοφόρον ἐπιθετικῶς σημαῖνον, εἰς προσηγορικὸν τῆς τρίγλης ὄνομα μετηνέχθη παρ' οὐκ ὀλίγοις τῶν Ἰταλῶν. Ἀλλ', εἰ χρήζουσι καὶ δευτέρου τῆς τρίγλης ὀνόματος, ἴσωσαν ἐναποκείμενον καὶ ἐν αὐτοῖς τοῖς νῦν εὐρωτιῶσι θησαυροῖς τῆς Ἑλλάδος· τὴν γὰρ ἐπιθετικῶς τοῖς ἀρχαίοις κληθεῖσαν Γενειῆτιν τρίγλην, πολλοὶ τῶν ἡμετέρων νῦν προσηγορικῶς, Γενειάδα, ὀνομάζουσιν, ὡς ἐστι μαθεῖν ἐκ τοῦ Λεξικογράφου Σομαυέρα (λεξ. Γενειάδα)· πλὴν εἰ μὴ τὸν παρὰ τοῖς ἀρχαίοις κόκκυγα (Γαλλ. Rouget), ἐμφερῆ τῇ τρίγλῃ ἰχθὺν, ὡς φησι Σπεύσιππος (παρ' Ἀθην. σελ. 324), δηλοῦν βούλονται διὰ τῆς Γενειάδος.

λζ'. Φάγρος.] Ἔστιν ὁ παρ' ἡμῖν νῦν καλούμενος οὐδετέρως, Φαγρίον, παρὰ δὲ τοῖς πλείοσι καὶ διὰ διπλοῦ τοῦ γ Φαγγρίον. Ἐσθίειν δ' αὐτὸν θέρους παρήνει ὁ Ξενοκράτης ἀνωτέρω (τμ. δ'), ᾧ συνάδει πως καὶ ὁ Ἀρχέστρατος. Λέγει γὰρ οὗτος (παρ' Ἀθην. σελ. 327) Σειρίου ἀνατέλλοντος εὐδώδιμον εἶναι, καὶ τοὺς τόπους καταλέγει, ὅθεν οἱ ἄριστοι Φάγροι·

Δήλῳ τ', Ἐρετρίᾳ τε κατ' εὐλιμένους ἁλὸς οἴκους.
Τὴν κεφαλὴν δ' αὐτοῦ μόνον ὠνοῦ, καὶ μετ' ἐκείνης
Οὐραῖον· τὰ δὲ λοιπὰ δόμον μηδ' εἴσω ἐνέγκῃς.

Περὶ δὲ τῆς δυνάμεως, ἃ μὲν ὡρίσατο Ἰκέσιος παρεθέμεθα ἐν τῷ περὶ τοῦ Συνόδοντος λόγῳ (σελ. 103). Δίφιλος δὲ (παρ' Ἀθην. σελ. 355) καὶ ποτάμιον Φάγρον γίνεσθαί φησιν, χείρονα δὲ τοῦ θαλασσίου.

λή. Χρύσοφρυς.] Οὕτω κληθεὶς διὰ τὸν περὶ τοὺς ὀφθαλμοὺς χρυσοῦν μηνίσκον. Τοῖς δὲ Ῥωμαίοις Aurata (ὅ ἐστι Χρυσῆ) θηλυκῶς καλεῖται· ὅθεν παρήχθη τὸ τῶν Ἰταλῶν Orata, καὶ τὸ τῶν Γάλλων Dorade. Ἐρατοσθένης δὲ καὶ Καλλίμαχος καὶ Ἱερὸν ἰχθὺν ὀνομάζουσι (παρ' Ἀθην. σελ. 284) τὸν Χρύσοφρυν. Ἔστι δὲ ἣν νῦν καλοῦμεν, Τσιππούραν, ὥς φησιν ὁ Λακεπέδης (*Histoir. natur. des Poissons, Tom. VIII, pag.* 218 *édit.* 1799), καίπερ τοῦ ὀνόματος τούτου τῷ Ἱππούρῳ μᾶλλον προσήκοντος. Εἰκὸς γὰρ καὶ παρ' ἡμῖν τοιαύτην γεγονέναι σύγχυσιν τῶν ὀνομάτων, οἷα καὶ παρὰ τοῖς νεωτέροις συμβέβηκε, τῇ αὐτῇ κλήσει Dorade καὶ τὸν ἵππουρον προσαγορεύουσιν, ὡς ἐν τοῖς πρόσθεν (σελ. 56) δεδήλωται, καὶ τὸν χρύσοφρυν, διὰ τὴν ἐμφέρειαν ἑκατέρου πρὸς τὸν χρυσόν. Ἀλλ' ὁ μὲν ἵππουρος κητώδης ἐστὶ, καὶ δι' ὅλου τοῦ σώματος χρυσόχρους· ὁ δὲ χρύσοφρυς καὶ τῷ μεγέθει πολὺ λείπεται τοῦ ἱππούρου, καὶ τὸ χρυσωπὸν ἐπὶ μόνοις τοῖς ὀφθαλμοῖς ἐμφαίνει. Ἡ παρ' ἡμῖν οὖν Σιππούρα, ἢ Τσιππούρα τὸ μὲν ὄνομα πιθανῶς παρὰ τὸν ἵππουρον ἔσχηκεν, οὐ μέντοι τοῦτον δηλοῖ, ἀλλὰ τὸν χρύσοφρυν. Περὶ τοῦ ἰχθύος τούτου Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 328) διδάσκει·

Χρύσοφρυν ἐξ Ἐφέσου τὸν πίονα μὴ παράλειπε,
Ὃν κεῖνοι καλέουσιν Ἰωνίσκον· λαβὲ δ' αὐτὸν,
Θρέμμα Σελινοῦντος σεμνοῦ. Πλύνον δέ νιν ὀρθῶς,
Εἶθ' ὅλον ὀπτήσας παράθες, κἂν ᾖ δεκάπηχυς.

Περὶ δὲ τῆς δυνάμεως Ἰκέσιος μὲν (παρ' Ἀθην. σελ. 328) γλυκύτητι καὶ εὐσομίᾳ ἄριστον πάντων εἶναι τὸν χρύσοφρυν, πρὸς δὲ καὶ τροφιμώτατον· Δίφιλος δὲ (παρὰ τῷ αὐτ. σελ. 355) ἀναλογεῖν αὐτὸν τῷ μελανούρῳ, οὗ τὴν δύναμιν ἐν τοῖς πρόσθεν (σελ. 75) ἐξεθέμεθα.

Σύγκριτος.] Εἰ μὴ ἡμάρτηται τῇ γραφῇ τὸ μήπω καταχωρισθὲν ἐπὶ τοιαύτης σημασίας ἐν τοῖς Λεξικοῖς Σύγκριτος, ἐστὶ συνώνυμον μὲν τῷ στερεὸς, ἀντικείμενον δὲ τῷ ἀνωτέρω (τμ. κέ) λελυμένος· καὶ σημαίνει τὸν πυκνὴν καὶ συνεσταλμένην ἔχοντα σάρκα. Προπαροξύνεται δὲ πρὸς ἀντιδιαστολὴν τοῦ σημαίνοντος τὸν παραβλητὸν, ὅπερ ὀφείλει γράφεσθαι ὀξυτόνως Συγκριτός.

λθ'. Γόγγρος.] Καὶ παρ' ἡμῖν Γογγρίον (ἴδ. Σχολιας. Ὀππιαν.

Ἁλιευτ. Α, 113), καὶ χυδαιέστερον Μουγγρίον καὶ Μουγγρί. Ὁ δὲ Βελλώνιος (σελ. 162) καὶ Καβοροφᾶν (τουτέστι καρκινοφάγον) αὐτὸν ὀνομαζόντων ἀκοῦσαί φησι. Καὶ περὶ μὲν τοῦ κατὰ τὴν Ἰταλίαν γόγγρου παρεθέμεθα ἐν τοῖς πρόσθεν (σελ. 51) τὴν τοῦ Ἀρχεστράτου κρίσιν· ἐπαινεῖ δ' ὁ αὐτὸς Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 293) καὶ τῆς Ἑλλάδος τὸν ἐν Σικυῶνι ἁλισκόμενον·

Γόγγρου μὲν γὰρ ἔχεις (ἴσ. ἔχοις!) κεφαλὴν φίλη ἐν Σικυῶνι,
Πίονος, ἰσχυροῦ, μεγάλου, καὶ πάντα τὰ κοῖλα.
Εἶτα χρόνον πολὺν ἕψε χλόῃ περίπαγον ἐν ἅλμῃ.

Οἵαν δ' εἶχον οἱ ἀρχαῖοι τῶν ὀψοφάγων σπουδὴν περὶ τὸν Γόγγρον, ἄλλως τε καὶ τὸν ἐκ τῆς Σικυῶνος, δηλοῖ καὶ ὁ παρὰ τῷ κωμικῷ Φιλήμονι μάγειρος λέγων (παρ' Ἀθην. σελ. 288), Εἰ δ' ἔλαβον

Ἐκ τῆς Σικυῶνος τῆς φίλης, ὃν τοῖς θεοῖς
Φέρει Ποσειδῶν γόγγρον εἰς τὸν οὐρανὸν,
Ἅπαντες οἱ φαγόντες ἐγένοντ' ἂν θεοί.

Οἱ δ' ἐν Σικυῶνι ἁλισκόμενοι ἁμαξιαῖοι γόγγροι, τουτέστι τηλικοῦτοι, ὥστε δεῖσθαι φερούσης ἁμάξης, ὡς ἱστόρηκεν Εὔδοξος (παρὰ τῷ αὐτ.), μυθικῆς ὑπερβολῆς οὐδὲν ἀποδέουσιν. Εἰ γὰρ τηλικοῦτοι οἱ κατὰ τὴν Ἑλλάδα γόγγροι, πηλίκους τινὰς ὑπολαμβάνειν δεῖ τοὺς κατὰ τὴν Ἱσπανίαν, οὓς μείζονας εἶναι τῶν Ἑλληνικῶν μαρτυρεῖ Στράβων (Γ, σελ. 145)· « Καὶ οἱ γόγγροι δὲ ἀποθηριοῦνται, πολὺ τῶν παρ' » ἡμῖν ὑπερβεβλημένοι κατὰ τὸ μέγεθος ». Περὶ δὲ τῆς τοῦ ὄψου δυνάμεως, Ἰκέσιος (παρ' Ἀθην. σελ. 288) τοὺς γόγγρους, « Σκληρο- » τέρους τῶν ἐγχέλεων εἶναί φησι, καὶ ἀραιοσαρκοτέρους τε καὶ ἀτρο- » φωτέρους, εὐχυλίᾳ τε πολὺ λειπομένους, εὐστομάχους δὲ εἶναι ». Ἐκάλουν δὲ τὸν Γόγγρον καὶ Γρύλλον, φησὶν ὁ Νίκανδρος (παρ' Ἀθην.). Ὁ μέντοι Δίφιλος (παρὰ τῷ αὐτ. σελ. 355-356) διάφορον ἔοικε τὸν Γόγγρον τοῦ Γρύλλου ἡγεῖσθαι· καὶ γὰρ μετὰ τὸ φάναι, « Αἱ δὲ σμύραιναι τῶν γόγγρων εἰσὶ τροφιμώτεραι », ἐν τοῖς ἑξῆς ὡς περὶ ἑτέρου τοῦ Γρύλλου λέγει· « Ὁ δὲ γρύλλος ὅμοιος μέν ἐστιν ἐγ- » χέλει, ἄστομος δέ ». Ἐσημειώσατο δὲ καὶ ὁ Βελλώνιος (σελ. 132) γένος τι τῶν ὀνίσκων, Grillo τοῖς Ἰταλοῖς καλούμενον, γόγγρῳ παραπλήσιον οὕτως εἶναι, ὥς' ἐν τοῖς κατὰ Ῥώμην ἰχθυοπωλείοις γόγγρον καλεῖσθαι, καὶ ὡς τοιοῦτον ἀγοράζεσθαι καὶ ἐσθίεσθαι.

ΠΕΡΙ ΤΩΝ ΚΗΤΩΔΩΝ ΖΩΩΝ.] Σχεδὸν ὅλον τοῦτο τὸ Περὶ

τῶν κητωδῶν ζώων κεφάλαιον, προσεθειμένον ἐξ ἀντιγράφων τῇ κατὰ τὴν Νεάπολιν τελευταίᾳ τοῦ Ξενοκράτους ἐκδόσει, ἀπαραλλάκτως φέρεται καὶ παρὰ τῷ Γαληνῷ (ἴδ. ἀνωτέρ. σελ. 40-41). Καὶ εἰκὸς τὸν Γαληνὸν παρὰ τοῦ Ξενοκράτους, νεώτερον ὄντα, λαβεῖν.

μ΄. Φῶκαι.] Ἴσως γραπτέον, Φώκαιναι, τρισυλλάβως. Τὰς γὰρ Φωκαίνας (Γαλλ. Marsouin) Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. ς΄, 11 καὶ ή, 15) συγκαταλέγει ταῖς Φαλαίναις καὶ τοῖς Δελφῖσι. Εἰσὶ γὰρ καὶ τὰ τρία ταῦτα τοῦ τῶν ἐνύδρων γένους τῶν κητωδῶν. Αἱ δὲ Φῶκαι (Γαλλ. Veau marin) τῶν ἀμφιβίων εἰσίν. Ἐνδέχεται μέντοι καὶ Φώκας ὀνομάσαι τὰς Φωκαίνας, κατὰ συγκοπὴν, ὥσπερ καὶ ἕτεροι· Λυκόφρων δὲ (Ἀλεξάνδρ. 82) καὶ Φάλας εἶρηκε τὰς Φαλαίνας·

Φάλαι τε καὶ δελφῖνες, αἵ τ', ἐπ' ἀρσένων,
Φέρβοντο Φῶκαι, λέκτρα θουρῶσαι βροτῶν.

Φάλαιναι.] Βαλαίνας νῦν ὀνομάζομεν τὰς Φαλαίνας, κατὰ Μακεδόνων διάλεκτον (καθ' ἣν καὶ Βίλιππος ὁ Φίλιππος ἐκαλεῖτο). Καὶ τοῖς Ῥωμαίοις δὲ πάλαι ἡ διὰ τοῦ β̄ γραφὴ Balæna ἤρεσεν, ὥσπερ καὶ τοῖς νεωτέροις ἅπασιν ὡς εἰπεῖν ἔθνεσι, σώσασι τὴν κλῆσιν τῆς βαλαίνης. Σημειωτέον μέντοι ὡς ἡ παρὰ τοῖς νῦν Βάλαινα γενικόν ἐστιν ὄνομα διαφόρων μεγίστων κητῶν· ἡ δὲ παρὰ τῷ Ἀριστοτέλει Φάλαινα ἕτερον γένος κητωδῶν ἐδήλου, τὸν ὑπὸ τῶν νεωτέρων ἰχθυολόγων Ἑλληνικῷ μὲν ὀνόματι καλούμενον Φυσητῆρα Physeter (Σνειδέρ. Περὶ ἰχθ. ἱστορ. σελ. 115, καὶ Σημειώσ. εἰς τὸ Αἰλιαν. Περὶ ζ. ἰδιότ. Β, 52), ξένῳ δὲ, Cachalot. Ἐγίνωσκον μέντοι καὶ οἱ ἀρχαῖοι τὸ τοῦ Φυσητῆρος ὄνομα, Ἀριστοτέλης μὲν (Περὶ ζ. ἱστορ. ς΄, 11) Φυσητῆρα καλῶν, τὸν αὐλὸν, ὃν φέρουσιν ἐπὶ τοῦ μετώπου, ὅσα τῶν ζωοτοκούντων κητωδῶν ἀναπνεῖ· ὅθεν καὶ ὁ Ἡσύχιος, « Φυσητὴρ, ὁ τῶν » κητωδῶν ἰχθύων αὐλὸς » φησίν. Ἕτεροι δὲ, ἀπὸ μέρους τὸ ὅλον, Φυσητῆρα ἐκάλεσαν τὸ κῆτος αὐτὸ, ὅπερ ἔφαμεν τὸ τῶν νεωτέρων Cachalot εἶναι. Φέρει δὲ τοῦτο αὐλὸν ἕνα, τῆς παρὰ τοῖς νεωτέροις Βαλαίνης (Baleine) δύο φερούσης. Παραθετέον δὲ καὶ τὰ εἰρημένα τῷ Στράβωνι περὶ τούτων (σελ. 145)· « Ὡς δ' αὕτως ἔχει καὶ περὶ » τῶν κητέων ἁπάντων, ὀρύγων τε καὶ φαλαινῶν καὶ φυσητήρων, ὧν » ἀναφυσησάντων, φαίνεταί τις νεφώδους ὄψις κίονος τοῖς πόρρωθεν » ἀφορῶσι ». Καὶ ἀλλαχοῦ (σελ. 725), « Τὸ δὲ μάλιστα ταράττον, » φυσητήρων μεγέθη, ῥοῦν ἀπεργαζομένων μέγαν ἀθρόον, καὶ ἀχλὺν

» ἐκ τῶν ἀναφυσημάτων, ὥςε τὰ πρὸ ποδῶν μέρη μὴ ὁρᾶσθαι». Ἔνθα σημείωσαι, ὅτι εἰ ἡ παρὰ τῷ Ἀριςοτέλει Φάλαινα, ὁ Φυσητὴρ, ὁ ὑπὸ τῶν νεωτέρων Cachalot καλούμενός ἐςι, λείπεται τὴν παρὰ τῷ Στράβωνι Φάλαιναν, ἢ τὴν αὐτὴν εἶναι τῇ τῶν νεωτέρων Βαλαίνῃ Baleine, ἢ γοῦν εἶδός τι Φυσητῆρος, ἴσως τὸν παρὰ τοῖς νεωτέροις καλούμενον Φυσητῆρα μίκρωπα (Physeter microps. *Lin.*).

Δελφῖνες.] Καὶ παρ' ἡμῖν τῷ αὐτῷ ὀνόματι ἔτι καὶ νῦν καλοῦνται Δελφῖνες, ὑπ' ἐνίων δὲ καὶ Γουρουνόψαρα, διὰ τὸ πιμελὲς τοῦ κήτους, πρὸς τὸν χοῖρον (τὸ κοινῶς Γουρούνιον) παραβαλλόντων. Οἱ γὰρ τὸν Πόντον παροικοῦντες πολλῷ τῷ ςέατι ἐχρῶντο τῶν δελφίνων, πιαινομένων ὑπὸ τῆς βορᾶς τῶν ἄλλων ἰχθύων, οἷς ἐπακολουθοῦντες καὶ τῇ γῇ πλησιάζοντες ἁλίσκονται, ὡς ἐςι μαθεῖν ἔκ τε Δίωνος τοῦ Χρυσοςόμου (Λόγ. ἡ, σελ. 280 ἐκδ. Ρείσκ.) καὶ τοῦ Στράβωνος (ιδ΄, σελ. 549). Καὶ αὐτὸ δὲ τὸ ἀρχαῖον ὄνομα, ὁ Δελφὶν τὴν αὐτὴν ὁμωνυμίαν ἐμφαίνει πρὸς τὸν Δέλφακα, τὸν αὐτὸν ὄντα τῷ χοίρῳ, « Δελ- » φάκιον χοιρίδιον κ. τ. λ. » φησὶν Ἡσύχιος. Ὡς δ' αὕτως καὶ παρὰ τοῖς νεωτέροις, οἱ μὲν Ἰταλοὶ porco marino, οἱ δὲ Γερμανοὶ meerschwein, τουτέςι θαλάσσιον χοῖρον, καλοῦσι τὸν δελφῖνα. Τῶν Γάλλων δ' ἔνιοι τὸ ἀνωτέρω σημειωθὲν τῆς Φωκαίνης ὄνομα Marsouin τῷ δελφῖνι προσάπτουσι διὰ τὸ παραπλήσια εἶναι τὰ κήτη οὕτως, ὡς πολλοὺς δελφίνων τι γένος εἶναι τὰς Φωκαίνας ὑπολαμβάνειν, ὥς φησιν Ἀριςοτέλης (Περὶ ζ. ἱςορ. ς΄, 11). Ἔςι δὲ τὸ Marsouin παραφθορὰ τοῦ Λατινικοῦ Maris sus, ὅ ἐςι χοῖρος θαλάσσιος.

Ζύγαιναι.] Τοῦ τῶν Γαλεῶν ἢ Κυνῶν (ἰδ. ἀνωτέρ. σελ. 70) γένους εἰσὶν αἱ Ζύγαιναι, ἃς φησι Βελλώνιος (σελ. 61) κατὰ τὴν Σμύρνην μάλιςα ἐπιχωριάζειν. Τὸ δὲ ὄνομα ἀπὸ τοῦ σχήματος· παρατέταται γὰρ ἡ κεφαλὴ τῆς Ζυγαίνης ἑκατέρωθεν οὕτως, ὡς ἔμφασιν παρέχειν ζυγοῦ, πρὸς δὲ καὶ σφύρας, διὸ καὶ Marteau καλοῦσιν αὐτὴν οἱ Γάλλοι, οἱ δὲ Γερμανοὶ Hammerfisch.

Κῦνες.] Ἴδε τὰ διὰ μακρῶν ἀνωτέρω (σελ. 70) ῥηθέντα περὶ τῶν κυνῶν.

ΠΕΡΙ ΚΝΙΔΗΣ.] Συμπληρώσας τὸν περὶ τῶν λεπιδωτῶν καὶ τῶν σελαχωδῶν λόγον ὁ Ξενοκράτης, ὤφειλεν ἐπὶ τὸν περὶ μαλακίων μεταβῆναι. Ταῦτα δέ ἐςι πολύπους, σηπία, τευθὶς, οἷς Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. ιά, 37) συνάπτει καὶ τὴν κνίδην, ἢ ἀκαλήφην. Ἀλλ' αὕτη ἴδιόν τι μᾶλλον γένος ἐςὶ, οὔτε τοῖς μαλακίοις προσῆκον, οὔτε τοῖς ὀςρακοδέρμοις ἐνάριθμον· ἔοικε γὰρ ὀςρακοδέρμῳ περιῃρημένῳ τὰ ὄςρακα, ὡς

ἐσημειώσατο Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Δ, 6 καὶ Η, γ). Δῆλος δ' ἐστὶ καὶ Ξενοκράτης τοιαύτην εἶναι τὴν κνίδην ὑπολαβὼν τῷ ἐν ἰδίῳ κεφαλαίῳ περὶ αὐτῆς ἰατρολογῆσαι. Τὸ δὲ οὐδένα λόγον περὶ τῶν κυρίως λεγομένων μαλακίων ποιήσασθαι, ὥσπερ οὐδὲ περὶ τῶν μαλακοστράκων, καράβων λέγω, παγούρων καὶ τῶν τοιούτων, ἀτελὲς κατελέγχει τὸ Ξενοκράτειον περὶ τῶν ἐνύδρων σύγγραμμα, ἢ αὐτοῦ μὴ φθάσαντος τελειῶσαι, ἢ τοῦ χρόνου τὸ ἐντελὲς κολοβώσαντος.

μά. Κνίδαι, ἢ Ἀκαλῆφαι.] Ἀπὸ τοῦ διωνυμουμένου ὡσαύτως φυτοῦ, τῆς κνίδης ἢ ἀκαλήφης, ἣν ἡ χυδαία φωνὴ Τσικνίδαν (Γαλλ. Ortie), καλεῖ, ὠνόμασαι ἡ Θαλασσία Κνίδη (Γαλλ. Ortie de mer), ἣν νῦν καλοῦμεν Κολλητσάνον, παρὰ τὸ Κολλάω ῥῆμα, διὰ τὸ ἰσχυρῶς προσφύεσθαι, καὶ οἷον προσκολλᾶσθαι ταῖς πέτραις, οὐχ ὡς ὑπείληφεν ὁ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 1245), παρὰ τὰ Κῶλα, τουτέστι τὰς πλεκτάνας, αἷς προσφύεται ταῖς πέτραις. Οὕτως γὰρ καὶ Κολλητσίδαν, ἕτερον τῆς Κνίδης φυτὸν, ὀνομάζομεν, τὸ παρὰ τοῖς ἀρχαίοις καλούμενον Ξάνθιον (Γαλλ. Glouteron), οὗ τὸν καρπὸν ἀκανθώδη τε εἶναι καὶ τῶν ἱματίων ἀντιλαμβάνεσθαι φησὶ Διοσκορίδης (Δ, 138). Πεπλάνηται δὲ ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 341), τοῦτο μὲν, Κολυκένας, Colycenas, καλεῖσθαι λέγων ὑπὸ τῶν νεωτέρων Ἑλλήνων τὰς θαλασσίους κνίδας, τοῦτο δὲ, παράγων τοὔνομα παρὰ τὸ Κολύκια, ᾧ φησι τοὺς ἀρχαίους ὀνομάζειν αὐτάς. Οὐδεὶς γὰρ τῶν ἀρχαίων τὸ Κολύκια ἐπὶ τῶν κνιδῶν ἔταξε, καὶ παρ' ᾧ μόνῳ εὕρηται Ξενοκράτει (διάφορ. γραφ. τμ. μή) τήν τε γραφὴν ἀμφήριστον ἔχει, καὶ ἐπὶ ὀσρακοδέρμου τέτακται, οὐδὲν κοινὸν ἔχοντος πρὸς τὰς κνίδας. Καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος, ἢ τῶν ὀνομάτων· ὃ δ' ἐπάγει ἑξῆς ὁ Ξενοκράτης, Κακοσόμαχοι δὲ οὐ μετρίως, ἀντιφέρεται ἀποτόμως πρὸς τὸν Δίφιλον, λέγοντα (παρ' Ἀθην. σελ. 90) τὴν κνίδην εὐσόμαχον, εὐκοίλιον καὶ οὐρητικήν. Ὅθεν ἴσως καὶ παρὰ τῷ Ξενοκράτει γραπτέον δίχα τῆς ἀρνήσεως, Κακοσόμαχοι δὲ μετρίως, ἵνα γε μετριάζηται ἡ ἐναντίωσις.

Ὀπταὶ δὲ τῶν ἐφθῶν ἐπιτηδειότεραι.] Εἰ συνάπτοις ταῦτα τοῖς ἑπομένοις, Λυτικαὶ κοιλίας, γραπτέον πᾶν τοὐναντίον, Ἐφθαὶ δὲ τῶν ὀπτῶν ἐπιτηδειότεραι, ἵν' ἑαυτῷ τε καὶ τῇ πείρᾳ συνῳδὰ λέγων ᾖ ὁ Ξενοκράτης. Καὶ γὰρ ἐν τοῖς ἑξῆς τοῦδε τοῦ τμήματος ἐρεῖ τὰς ἑψομένας κνίδας ἀναχαλᾶν τὴν κοιλίαν· καὶ ἐν τοῖς πρόσθεν (τμ. ζ') γενικῷ κανόνι ὡρίσατο τὰ μὲν ὀπτὰ δυσδιαχώρητα εἶναι, τὰ ἑφθὰ δὲ ῥᾷστα διαχωρεῖν. Ἄμεινον οὖν τελείᾳ σίξαντα μετὰ τὸ

ἐπιτηδειότεραι, ἀπ' ἄλλης ἀρχῆς ἀναγινώσκειν τὰ ἑπόμενα. Ὁ δὲ Ἀρχέστρατος καὶ ταγηνίζειν τὰς κνίδας παραινεῖ μετὰ τῶν ἀφυῶν, ὡς ἐκ τῶν ἐν τοῖς πρόσθεν (σελ. 55) παρατεθέντων αὐτοῦ ἐπῶν δεδήλωται· ἐν οἷς κνίδας ἢ ἀκαλήφας οἱ πλεῖστοι τῶν κριτικῶν πιθανῶς τὰς θαλασσίους ἐξεδέξαντο, ἀποροῦντες, πῶς ἂν οὕτως φαῦλον φυτὸν, τὴν ἀκαλήφην, συμμίσγειν ταῖς ἀφύαις παραινέσειεν ἀνὴρ ὀψοφαγίστατος, οἷος ἦν Ἀρχέστρατος. Ἀλλ' ἀπορήσειεν ἄν τις οὐδὲν ἧττον, πῶς ὁ μηδαμοῦ ἀλλαχοῦ τῶν φερομένων αὐτοῦ ἐπῶν ὄψα διαφόρων γενῶν ἐν ταυτῷ συσκευάζειν παραινέσας Ἀρχέστρατος, τῇ ἀφύῃ, περισπουδάστῳ τοῖς ἀρχαίοις ἐδέσματι, συγκατέμιξε τὴν μόλις ἐδώδιμον θαλάσσιον κνίδην. Τοιαύτης μὲν γὰρ σκευασίας ὄψων οὐδὲν ἐστιν ἄλλο παράδειγμα· τὴν δὲ φυτικὴν κνίδην, ὅτι καὶ κογχαρίοις συνέψων, μαρτυρεῖ Διοσκορίδης (Δ, 94).

Οὐρητικαί.] Προσθεῖναι δεῖν ἔγνων τὴν λέξιν ταύτην, διά τε τὸ προσεχῶς ἑπόμενον, Οὐρητικώτεραι, καὶ δι' ἃ παρεθέμεθα ἀνωτέρω (σελ. 110) ἐκ τοῦ Διφίλου περὶ τῆς δυνάμεως τῶν κνιδῶν.

Οὐρητικώτεραι δὲ αἱ μετὰ τὴν κάθαρσιν, αἱ φύουσαι πρὸς ταῖς ψήφοις.] Οὔθ' ὁ νοῦς δῆλος, οὔθ' ἡ γραφὴ ἀνύποπτος τοῦ χωρίου. Εἰ μὲν βούλεται λέγειν, ὅτι οὐρητικώτεραι γίνονται αἱ κνίδαι, εἰ προσφέροιτό τις αὐτὰς μετὰ τὸ καθαρθῆναι ἑτέρῳ φαρμάκῳ λυτικῷ κοιλίας, γραπτέον δίχα τοῦ ἄρθρου, Οὐρητικώτεραι δὲ μετὰ τὴν κάθαρσιν, μεθ' ἃ σίξαντα τελεία, ἐπακτέον ἀπ' ἄλλης ἀρχῆς, Αἱ δὲ φύουσαι κ. τ. λ. Εἰ δὲ οὐρητικωτέρας λέγοι τὰς ἐμπεφυκυίας ταῖς ψήφοις (δύο γὰρ γένη κνιδῶν Ἀριστοτέλης ἱστόρηκεν, ἐν τῷ Περὶ ζώων ἱστορίας, Δ, ς', τὸ μὲν ἀεὶ προσπεφυκὸς ταῖς πέτραις, τὸ δὲ καὶ ἀπολυόμενον), περιαιρετέον τὰς τρεῖς λέξεις, Μετὰ τὴν κάθαρσιν, καὶ γραπτέον, Οὐρητικώτεραι δὲ αἱ φύουσαι (ἢ μᾶλλον ἐμφυόμεναι) πρὸς ταῖς ψήφοις· ὥσπερ καὶ ἐν τοῖς ἑξῆς (τμ. μβ') περὶ τῶν βαλάνων ἐρεῖ, ὅτι τροφιμώτεραι αἱ ἐντρεφόμεναι πέτραις.

Πλυθεῖσαι καὶ συσραφεῖσαι κ. τ. λ.] Ἀντὶ τοῦ, Πληθεῖσαι, ἢ, ὡς φέρεται ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει, Πιληθεῖσαι, προειλόμην νῦν τὸ καὶ ὑπό του Λατίνου μεταφρασοῦ, ἐκφρασθὲν, Πλυθεῖσαι, ἑτέραν πάλαι ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσι διάφορον γραφὴν ἀποδεξάμενος, τὴν Πιληθεῖσαι, ὡς συνώνυμον τοῦ ἐχομένου Συσραφεῖσαι.

Πασθεῖσαί τε ὀπῷ ὀλίγῳ μετρίως εἰσὶ σιτηραί.] Οὕτως γραπτέον

εἶναί μοι ἔδοξε ἀντὶ τοῦ παρ' ἅπασι, Πασθεῖσαί τε ὅπως ὀλίγον μετρίως εἶναι σιτηραὶ, οὗ διάφορος γραφὴ οὐδεμία φέρεται, πλὴν τῆς τελευταίας λέξεως, εἰς τὸ σιτῖσαι τετραμμένης. Ἐκληπτέον δὲ τὸ σιτηραὶ ἐνθάδε ἐπὶ τοῦ εἰς σίτησιν ἐπιτήδειοι, ἐδώδιμοι, παρὰ τὸ σιτέω, ὥσπερ παρὰ τὸ ὀλισθέω ὁ ὀλισθηρὸς, καὶ παρὰ τὸ νοσέω ὁ νοσηρός. Ἐδώδιμοι δὲ μᾶλλόν εἰσιν αἱ κνίδαι, ἢ ἀκαλῆφαι, χειμῶνος· τηνικαῦτα γὰρ ςιφρὰν ἔχουσι τὴν σάρκα, τοῦ θέρους μαδαραὶ οὖσαι καὶ διασπώμεναι ταχέως, ὡς φησιν Ἀριςοτέλης (Περὶ ζ. ἱςορ. Δ, 6).

Τῇ δὲ ὀπτήσει κ. τ. λ.] Οὐδὲ τοῦτο τοῦ κειμένου τὸ μέρος ὑγιές· ἴσως περιαιρετέον τὸν σύνδεσμον, ἢ γοῦν τρεπτέον εἰς τὸν, Τε, ἵν' ὁπωσοῦν συνάπτηται ἡ φράσις τοῖς προηγουμένοις. Μετρίως εἰσὶ σιτηραὶ τῇ ὀπτήσει κ. τ. λ. Ἴσως δὲ καὶ ἐξερρύησαν ἕτερά τινα τοῦ χωρίου, ἐν οἷς περὶ τῶν μεγάλων κνιδῶν ἦν ὁ λόγος· ὅπερ ὑπονοεῖν παρέχει τὸ Μετρίως σιτηρὰς αὐτὰς λέγειν. Δύο γὰρ εἰσὶν ἀκαληφῶν γένη κατὰ τὸν Ἀριςοτέλην (Περὶ ζ. ἱςορ. Δ, 6), « Αἱ μὲν » ἐλάττους, καὶ ἐδώδιμοι μᾶλλον, αἱ δὲ μεγάλαι καὶ σκληραὶ, οἷαι » γίγνονται περὶ Χαλκίδα ».

Παρεῖσαι δι' ὀβελῶν ἢ καρφῶν.] Οὕτως διώρθουν πάλαι γράφων Παρεῖσαι (παρὰ τὸ Πείρω, τὸ ἐν τῇ συνηθείᾳ Σουβλίζω), ἀντὶ τοῦ Παγεῖσαι (παρὰ τὸ Πήγνυμι), ὃ ἀδιανόητόν ἐςιν ὅλως ἐνθάδε. Κάρφος δὲ ὀβελοῦ τούτῳ διαφέρει, τῷ τὸν μὲν ἐκ σιδήρου εἶναι, τὸ δὲ ἐκ ξύλου. « Κάρφος... κεραία ξύλου λεπτὴ » φησὶν Ἡσύχιος.

Ἐπὶ ἀνθράκων μαλακῶν, κλιματίνων.] Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασιν, Ἐπὶ ἀνθράκων μαλάχης, ἢ κλιματίνων, διαγράψας τὸν διαζευκτικὸν, καὶ τρέψας τὴν οὐδὲν πρὸς ἔπος ἐνθάδε μαλάχην εἰς τὸ ἐπίθετον μαλακῶν, ὃ ὑπαγορέυουσιν ἄλλως καὶ αἱ διάφοροι γραφαί. Οἱ μαλακοὶ ἄνθρακες ταὐτὸν σημαίνουσι τῷ παρ' Ἱπποκράτει συνεχῶς λεγομένῳ μαλθακῷ πυρὶ (Γαλλ. petit feu), ὃ ἐκεῖνος (Περὶ ἀφόρ. § 18, σελ. 635) καὶ διὰ κλημάτων ποιεῖν παραγγέλλει, « Κλημάτινον πῦρ ποιήσας ὅτι μαλθακώτατον ».

Ὥςε ΕΝΑΡΓΩΣ ἅρασθαι.] Ἡ κατὰ Μόσχαν ἔκδοσις φέρει ΕΝΕΡΓΩΣ. Εἴκαζον πάλαι ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσιν, εἰς χώραν τῆς προδήλως ἡμαρτημένης γραφῆς ταύτης, εἰσενεκτέον εἶναι· ὥςε ὁμαλῶς ὀπτᾶσθαι, ἢ Ὥςε ἀργῶς ὀπτᾶσθαι· ὧν τὸ μὲν σημαίνει, δι' ὅλου ἐπίσης ὀπτᾶσθαι, καὶ μὴ τῇ μὲν ὀπτότερον, τῇ δὲ ἐνωμότερον εἶναι· θάτερον δὲ, βραδέως ὀπτᾶσθαι, ὃ τὸν αὐτὸν ἔχει

νοῦν,

νοῦν, ἐπειδὴ τὰ ταχέως ὀπτώμενα ὡς ἐπὶ τὸ πολὺ καὶ ἀνωμάλως ὀπτᾶται. Ὑποτοπάσειε δ' ἄν τις μήποτε ἐγέγραπτο, Ὥσε ἐναργῶς ὁρᾶσθαι. Καὶ αὕτη μὲν ἡ διόρθωσις, καίπερ ἁπασῶν ἁπλουσάτη, ἄτοπος ἴσως ἂν δόξειεν· ἀλλ' ἐπεὶ τὰ ἑψόμενα, ἢ λοπάσι σκευαζόμενα τῶν ἐδεσμάτων εἰκὸς ἐπιπώματι καλύπτεσθαι, καὶ, διὰ τὸ μὴ ὁρᾶσθαι, πολλάκις ἀποτυγχάνειν τῆς ἱκανῆς καὶ μετρίας ἑψήσεως, ἐνδέχεται καὶ τὴν δι' ὀβελῶν ἐπὶ μαλακῶν ἀνθράκων ὄπτησιν παραγγεῖλαι τὸν καλῶς σκευάσαι βουλόμενον, ὡς ἐφιεῖσαν τῷ ὀπτῶντι ὁρᾶν τὸ ὀπτώμενον, καὶ καταςοχάζεσθαι τοῦ καιροῦ τῆς ἀκριβοῦς καὶ τελείας ὀπτήσεως.

Ἀναπείθουσαι γεῦσιν.] Τῶν πρὸ ἐμοῦ ἡ μὲν τοῦ Ματθαίου ἔκδοσις φέρει, Ἀναποιῆσαι γεῦσιν, ὅπερ οὐδὲν ὧδε σημαίνει· αἱ λοιπαὶ δὲ, Ποιάνα ποιῆσαι γεῦσιν, ὃ πρὸς τῷ ἀσημάντῳ καὶ βάρβαρον. Τοῦτο πάλαι, ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσιν, εἰς τὸ, Ποιάν (ἢ Προσηνῆ) ποιοῦσαι γεῦσιν, τρεπτέον εἶναι μοι κατεφαίνετο· καὶ τὸ, Ποιάν, διὰ τοῦ ἡδεῖαν ἐξηγούμην, ἐπαγόμενος μάρτυρα τὸν Ἡσύχιον, λέγοντα, « Ποιότης... ἡδονὴ, νόςος » καὶ ἐν τῷ πρώτῳ στοιχείῳ, « Ἄποιον, ἀνήδονον, ἄνοσον ». Νῦν δὲ, ὡς ἐγγύτερον τῇ τοῦ Ματθαίου γραφῇ καὶ τῷ νῷ πιθανώτερον, ἔδοξέ μοι γράφειν, Ἀναπείθουσαι γεῦσιν, ὅπερ ἐν τοῖς ἑξῆς (τμ. ξ') διὰ συνωνύμων λέξεων ὁ Ξενοκράτης ἐκφράζει, « Ἐφελκύσαι δύνανται ςόμα κατὰ τὴν » βρῶσιν ». Παραπλήσιον δὲ καὶ ὁ ἀλλαχοῦ (τμ. μϑ') λέγει, « Τῶν » δὲ βραχέων ἐνίους προσφορὰ πείθει μετ' ὀξυμέλιτος ».

Τὸ μὲν ὀλισθηρὸν καὶ ὄλκιμον.] Τί μέν ἐςι τὸ Ὄλκιμον ἐξηγησάμεθα ἐν τοῖς πρόσθεν (σελ. 74). Ὀλισθηρὸν δ' ἐκάλεσεν, ὅπερ ἕτεροι Γλίσχρον λέγουσιν, ἐπειδὴ ὀλισθηρά ἐςι τὰ γλίσχρα.

Τὴν κοιλίαν ἀναχαλῶσι μᾶλλον.] Τὰς κνίδας Ἱπποκράτης (Περὶ διαίτ. Β, § 19, σελ. 222) ὑγραίνειν καὶ διαχωρέειν μᾶλλον τῶν ὀςρακοδέρμων φησί.

ΠΕΡΙ ΟΣΤΡΑΚΙΩΝ.] Ὀςράκια καλεῖ, ἃ κοινότερον Ὀςρακόδερμα λέγεται. Ταῦτα δὲ διαιρεῖται εἴς τε τὰ σκληρόςρακα, τά καὶ τῷ γενικῷ τῶν ὀςρακοδέρμων ὀνόματι ὡς ἐπὶ τὸ πολὺ καλούμενα, περὶ ὧν ἐνθάδε ὁ λόγος τῷ Ξενοκράτει, καὶ τὰ μαλακόςρακα, οἷά εἰσιν ἀςακοὶ, κάραβοι, καρίδες, πάγουροι, περὶ ὧν οὐδένα λόγον πεποίηται (ἴδ. τὰ προσημειωϑ. σελ. 110).

μϐ'. Βαλάνων.] Ἐκθώμεθα πρότερον τὰς δυνάμεις πρὶν ἢ αὐτὸ τοὔνομα τῶν Βαλάνων ἐξηγήσασθαι. Ἱκέσιος μὲν (παρ' Ἀθην. σελ. 87)

φησὶν, « Αἱ βάλανοι δὲ εἰ (γρ. δὲ αἱ) μείζονες, εὐέκκριτοι καὶ εὔσο-
» μοι ». Δίφιλος δὲ (παρὰ τῷ αὐτ. σελ. 91), « Αἱ δὲ βάλανοι κα-
» λούμεναι ἀπὸ τῆς πρὸς τὰς δρυΐνας ὁμοιότητος, διαφέρουσι παρὰ
» τοὺς τόπους. Αἱ μὲν γὰρ Αἰγύπτιαι, γλυκεῖαι, ἁπαλαὶ, εὔσομοι,
» θρεπτικαὶ, πολύχυλοι, οὐρητικαὶ, εὐκοίλιοι· αἱ δὲ ἄλλαι, ἁλυκώ-
» τεραι ». Καὶ ταῦτα μὲν περὶ τῆς τῶν βαλάνων δυνάμεως, συνάδοντα οἷς φησι περὶ αὐτῶν Ξενοκράτης. Ἀλλά τίνα τῶν παρ' ἡμῖν ὀρακοδέρμων νῦν ὑπολητέον εἶναι τὰς παρὰ τοῖς ἀρχαίοις βαλάνους; Ὁ μὲν Γίλλιος παρὰ τῷ Γεσνήρῳ (Περὶ ἐνύδρ. σελ. 142) καὶ τοὔνομα, ὥσπερ τὸ πρᾶγμα, σώζεσθαί φησι τῆς θαλασσίας βαλάνου παρὰ τοῖς νεωτέροις Ἕλλησιν. Εἰ δὲ χρὴ Βελλωνίῳ (Περὶ ἐνύδρ. σελ. 396) πιστεύειν, ἡ τῶν ἀρχαίων βάλανος, ἐστὶν ἡ παρ' ἡμῖν νῦν καλουμένη Καλόγνωμη (οὐ Καλόγνωννη, ὡς φέρεται παρ' αὐτῷ τυπογράφων ἴσως πλημμελείᾳ). Καὶ τὴν μὲν Καλόγνωμην οὐκ ἔστιν ὅστις τῶν ἡμετέρων ἠγνόηκεν· ὃ δοκεῖ μὲν παρὰ τὸ καλὸς καὶ γνώμη συντεθεῖσθαι, κατ' ἀντίφρασιν ἴσως οὕτω κληθέντος τοῦ ὀρακοδέρμου διὰ τὸ δυσχερὲς τῆς διαιρέσεως, ἐνδέχεται μέντοι παρὰ τὸ Καλλιώνυμος, ὠνομάσθαι. Ἐνιδόντας γάρ τινα πρὸς τὸ αἰδοῖον ὁμοιότητα τοῦ ὀράκου οὐκ ἀπεικὸς καὶ Καλλιώνυμον αὐτὸ προσαγορεῦσαί τινας, τὴν εὐθυρρημοσύνην ἐκκλίνοντας· ὃ δηλοῦν ἔοικε καὶ Φώτιος, « Καλλιώνυμος, τὸ θαλάσσιον αἰδοῖον », εἴτ' αὐτὴν ταύτην τὴν παρ' ἡμῖν Καλόγνωμην φράζων, εἴθ' ἕτερόν τι αἰδοίῳ προσεοικὸς ὀρακόδερμον. Ὅτι μέντοι ἡ τῶν ἀρχαίων βάλανος οὐκ ἔστιν ἡ παρ' ἡμῖν Καλόγνωμη, ὡς ἔδοξε Βελλωνίῳ, οὐκ ὀλίγα ἐστὶ τὰ ἀντιμαρτυροῦντα· ἡ μὲν γὰρ παρ' ἡμῖν καλουμένη Καλόγνωμη τῶν διθύρων ἐστὶν ὀράκων, τῶν καλουμένων ἀναπτύχων, ἐμφερὴς τοῖς θαλασσίοις μυσὶ τοῖς κοινῶς λεγομένοις Μυδίοις (Γαλλ. Moules), ὡς καὶ αὐτὸς φησὶν ὁ Βελλώνιος (σελ. 397)· ἡ δὲ βάλανος τῷ σωλῆνι μᾶλλον προσέοικε τῇ γε τοῦ ὀράκου συμφύσει, ὡς ἐστι συλλογίσασθαι ἐξ Ἀριστοτέλους (παρὰ τῷ Ἀθην. σελ. 88). Τούτοις προσίθει ὅτι καὶ ὁ Ῥονδελέτος (παρὰ τῷ Γεσνήρ. σελ. 317) ἣν μὲν Κόγχην ῥομβοειδῆ ὀνομάζει, ταύτης εἰκόνα παρίστησιν ἐμφερεστάτην τῇ παρ' ἡμῖν Καλογνώμῃ, καὶ ταύτην εἶναι διατείνεται τὴν τῶν νεωτέρων Ἑλλήνων Καλαγνώννην (Calagnone), οὕτως αὐτὴν ἡμαρτημένως καλῶν, ἧς φησὶν ἀρχαῖον ὄνομα Ἑλληνικὸν μὴ εὑρηκέναι, τὸ δὲ παρὰ τοῖς Ἐνετοῖς ἐπιχωριάζον Mussolo εἶναι· ἐπιτιμᾷ δὲ καὶ τοῖς οἰηθεῖσι

ταύτην εἶναι τὴν τῶν παλαιῶν Βάλανον. Ταύτης γὰρ ἐκεῖνος δύο γένη φησὶν εἶναι, καὶ εἰκόνας αὐτῶν παρίσησι (παρὰ τῷ αὐτ. σελ. 141-142) οὐδὲν ὁμοίας τῇ Καλογνώμῃ· ὧν τὸ μεῖζον καλεῖσθαί φησι Poussepiez (γρ. Pouce-pieds) διά τινα πρὸς τὸν τοῦ ποδὸς μέγαν δάκτυλον ἐμφέρειαν. Λείπεται τοίνυν ἐρευνῆσαι εἰ παρ' ἡμῖν ἔτι σώζεται, ὅπερ ἐσώζετο ἐπὶ τοῦ κατὰ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα ἀκμάσαντος Γιλλίου, ὄνομα τῆς θαλασσίας βαλάνου, καὶ εἰ τὸ δι' αὐτοῦ δηλούμενον ὄρακον ταὐτό ἐσι τῷ παρὰ τοῖς νεωτέροις κογχυλιολόγοις καλουμένῳ Anatif-pouce-pied, ἢ γοῦν τῷ Balanite-Balanoïde. Τὰ δύο γὰρ ταῦτα γένη πολλὴν ἔχει πρὸς ἄλληλα τὴν ἐμφέρειαν· διὸ καὶ ὁ Λινναῖος εἰς ἓν γενικώτερον ὄνομα συνῆψεν ἀμφότερα τὸ τῆς Λεπάδος. Καὶ ἐοίκασιν αἱ τῶν ἀρχαίων βάλανοι αἱ αὐταὶ εἶναι ταῖς παρ' ἡμῖν νῦν καλουμέναις Θαλασσίαις ἐλαίαις· ὅ τε γὰρ Φορσκώλιος (*Description. animal. pag. XXX*) τὴν τοῦ Λινναίου Lepas Balanus, ἰδιωτικῷ ὀνόματι, Ἐλιαῖς τῆς θαλάσσης, ἑρμηνεύει, καὶ αἱ παρὰ τῷ Γεσνήρῳ (σελ. 141-142) εἰκονισμέναι θαλάσσιαι Βάλανοι ταῖς φυτικαῖς ἐλαίαις οὐδὲν ἧττον, ἢ ταῖς βαλάνοις, εἰσὶ παραπλήσιαι.

Στομάχῳ προσηνεῖς.] Διὸ καὶ ὁ Ἀρχιγένης (παρὰ τῷ Γαλην. Περὶ συνθέσ. φαρμ. τῶν κατὰ τόπ. ἡ, σελ. 282), τοῖς τὸν στόμαχον κακουμένοις τὴν προσφορὰν τῶν βαλάνων παραγγέλλει. Παραθήσομαι δὲ καὶ τὴν ῥῆσιν αὐτὴν ἀμαθῶς πάνυ ὑπὸ τῶν ἀντιγραφέων ἠλλοιωμένην· μετὰ γὰρ τὸ καταλέξαι τίνα τῶν μαλακίων, καὶ τίνα τῶν λεπιδωτῶν ἰχθύων εὐθετεῖ τοῖς τοιούτοις, ἐπάγει, « Τῶν δὲ ὀρακωδῶν μάλισα » μὲν κήρυκες, πορφύραι, κτένες, ΓΛΑΥΚΟΙ, ΣΜΑΡΙΔΕΣ, βάλανοι ». Ἀλλ' ἐπειδὴ οὔτε τοὺς γλαύκους, οὔτε τὰς σμαρίδας, οὐδείς πω τοῖς ὀρακοδέρμοις συγκατέλεξε, γράφε, εἰ μὴ ληρεῖν ὑπολαμβάνοις τόν τε Ἀρχιγένην καὶ τὸν τὰ ἐκείνου παρατιθέμενον Γαληνὸν, συνάπτων εἰς ἓν ὄνομα, ΓΛΥΚΥΜΑΡΙΔΕΣ· περὶ ὧν προσεχῶς (τμ. μγ') ἐρεῖ ὁ Ξενοκράτης.

Κινητικαὶ οὖρων. Τὸν χυλὸν κ. τ. λ.] Ἴσως ἐξερρύη τι τοῦ χωρίου μετὰ τὴν τελείαν ςίξιν· ἢ γραπτέον, Κινητικὸς οὖρων ὁ χυλὸς αὐτῶν ἁπλοῦς ἀμεταποίητος κ. τ. λ. Τοῦτο γὰρ ἔοικε βούλεσθαι λέγειν, ὅτι ὁ μὲν χυλὸς αὐτῶν ἁπλοῦς καὶ ἀμεταποίητος, τουτέςι τοιοῦτος ῥοφώμενος, οἷον ἔχουσιν ἐν τοῖς ὀςράκοις πρὸ τοῦ ἑψηθῆναι, κινεῖ τὰ οὖρα· ἑψηθέντων δὲ ὁ ζωμὸς κινεῖ τὴν κοιλίαν. Καὶ συνᾴδει τοῦτο οἷς φησὶν Ἱπποκράτης (Περὶ διαίτ. Β, § 19, σελ. 221)

περὶ τῶν ὀστρακοδέρμων, « Αὐτὰ μὲν ξηρά, οἱ δὲ ζωμοὶ τούτων διὰ- » χωρητικοί ». Ἀλλαχοῦ δὲ (Περὶ διαίτ. Γ, § 27, σελ. 261) παραγγέλλει τοῖς δυσουροῦσι χρῆσθαι « τῶν κογχύλων, (γρ. κογχυλῶν, ἢ » κογχυλίων) τοῖσι χυλοῖσι ».

μγ'. Γλυκυμαρίδες... καὶ σκληραὶ καὶ δριμεῖαι.] Ὅλον τοῦτο τὸ τμῆμα ἐκ τῶν ἑξῆς ἐκτετοπισμένον, εἰς ὃν οὐκ ἐχρῆν τόπον κατακεχωρίσθαι δοκεῖ· σχεδὸν γὰρ οὐδέν τι πλέον λέγει τῶν ἐν οἰκείῳ τόπῳ (τμ. ξ'-ξά) ῥηθησομένων ἐν τοῖς ἔπειτα. Ἡ δὲ τοῦ ὀνόματος γραφὴ οὐδὲν ὡς εἰπεῖν διαφέρει τῆς παρὰ τῷ Μακροβίῳ (Κρονικ. Β, 9) Glycomarides Γλυκομαρίδες. Πλίνιος μέντοι (λϐ, 11) Γλυκυμερίδας Glycymerides αὐτὰς ὀνομάζει· οὐδ' ἔχειν εὐχερὲς διορίσασθαι τὴν γνησίαν γραφήν, ἀγνοοῦσι τοῦ ὀνόματος τὸ ἔτυμον. Κόγχας οἱ ἀρχαῖοι καὶ Χήμας ὠνόμαζον γενικῶς τὰς ὑφ' ἡμῶν νῦν, παρὰ τὸ τελευταῖον ὄνομα τοῦτο, καλουμένας Χηβάδας (ὥσπερ καὶ παρὰ τὸ ἀρχαῖον Μυζάω ἐσχηματίσαμεν τὸ Βυζάνω). Ταύτας δὲ εἰς πλείω διήρουν εἴδη, κατὰ μὲν τὸν Ξενοκράτην, τὰς Γλυκυμαρίδας, ἃς καὶ ῥαβδωτὰς ὀνομάζει, τὰς λείας, καὶ τὰς πελωρίδας· Πλίνιος δὲ διακρίνει τὰς Γλυκυμαρίδας τῶν ῥαβδωτῶν, Chamæ striatæ, chamæ leves, chamæ pelorides, generis varietate distantes et rotunditate; chamæ glycymerides, quæ sunt MAJORES quam pelorides (*Plin. XXXII*, 11)· παρ' ᾧ ἴσως γραπτέον, MINORES, διὰ τὰ ἑξῆς ῥηθησόμενα. Τούτων τὰς μὲν τραχείας Μακεδόνες μὲν Κωρύκους ὠνόμαζον, Ἀθηναῖοι δὲ, Κρείους, ὥς φησιν Ἀθήναιος (σελ. 87), ἢ Κριούς, ὡς φέρεται παρ' Ἡσυχίῳ (λέξ. Κριός)· τὰς δὲ Πελωρίδας ἔνιοι καὶ Βασιλικὰς ἐκάλουν (Ἀθην. σελ. 90). Κατὰ δὲ τὸν Ἀριστοτέλη (Περὶ ζ. ἱστορ. Δ, 4), αἱ λεῖαι χῆμαι ἐκαλοῦντο ὑπό τινων, Γάλακες.

Προφέρουσι τῶν μὴ τραχειῶν.] Ἡ γραφὴ, Προφέρουσι τῶν τραχέων, οὐ μόνον τῷ γένει τοῦ τελευταίου ὀνόματος, ὅπερ ὤφειλεν εἶναι θηλυκὸν Τραχειῶν, ἀλλὰ καὶ τῇ σημασίᾳ ἡμάρτηται. Πῶς γὰρ προφέρουσι τῶν τραχειῶν, αἱ αὐταὶ οὖσαι ταῖς τραχείαις; ὡς αὐτὸς ἐν τοῖς ἑξῆς (τμ. ξ') ἐρεῖ Ξενοκράτης, « Τῶν δὲ χημῶν τὰς τραχείας » Γλυκυμαρίδας ἔνιοι καλοῦσιν, οἱ δὲ Κόγχας... κατὰ μῆκος δ' » εἰσὶ ῥαβδωταί »· καὶ πάλιν (τμ. ξά) « Αἱ δὲ γλυκυμαρίδες χα- » ριέσσεραι τῶν ΛΕΙΟΣΤΡΑΚΩΝ κογχῶν, ΗΤΤΟΥΣ δὲ πελωρίδων ». Γραπτέον οὖν καὶ ἐνθάδε, « Προφέρουσι τῶν ΛΕΙΩΝ ΧΗΜΩΝ » ὁ, μακρὰν ἀφεστηκὸς τῆς ἐκδεδομένης γραφῆς, οὐκ ἔστιν ὅστις ἂν ἀποδέ-

ξαιτο, ἤ, « Προφέρουσι δὲ τῶν βραχειῶν », ἤ, ὅ μοι τῶν πάντων ἔδοξε πιθανώτατον, μετὰ τῆς ἀπαγορεύσεως, « Προφέρουσι τῶν μὴ » τραχειῶν χημῶν », ὥσπερ ἔλεγον καὶ παλαι ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσι.

Μειονεκτοῦσι δὲ τῶν πελωρίδων.] Ἐν τοῖς ἑξῆς (τμ. ξά) περὶ τῶν αὐτῶν τούτων γλυκυμαρίδων ἐρεῖ, Ἧττους, ἀντὶ τοῦ Μειονεκτοῦσι, καθάπερ καὶ Χαρίεσεραι, ἀντὶ τοῦ Προφέρουσι, οὐκ ἀποχρώντως δηλῶν, εἴτε περὶ τῆς γεύσεως καὶ δυνάμεως, εἴτε περὶ τοῦ σχήματος καὶ μεγέθους τοῦ ζώου ἐκδεκτέον τὸν λόγον. Καὶ δοκεῖ πιθανώτερον τὸ πρῶτον. Πλίνιος δὲ τὸ δεύτερον ἐξεδέξατο, ἑρμηνεύσας τὸ ἧττους διὰ τοῦ minores· οὕτω γὰρ δεῖν γράφειν ἐν οἷς ἀνωτέρω (σελ. 116) παρεθέμην ἐξ αὐτοῦ, ἀντὶ τοῦ majores, ὅ ἐσι μείζους, ἔδοξε τῷ Σνειδέρῳ (Ῥωμαϊκ. Γεωπονικ. Πίνακ. λέξ. Conchæ, σελ. 149), κἀμοὶ συνδοκεῖ.

Εἰσὶ ΔΕ ΔΙΑΚΡΙΤΙΚΑΙ ΣΤΟΜΑΧΟΥ.] Οὐκ ἀνύποπτος ἡ γραφή· ἀνθ' ἧς ἦν ἴσως, Εἰσὶ Δ' ΕΥΕΚΚΡΙΤΟΙ, ΕΥΣΤΟΜΑΧΟΙ. Περὶ γὰρ τῆς δυνάμεως τῶν Χημῶν ἐν γένει ὁ μὲν Δίφιλος (παρ' Ἀθην. σελ. 90) φησὶ « Χημῶν δὲ τῶν τραχειῶν αἱ μικραὶ καὶ λεπτὴν ἔχουσαι » τὴν σάρκα, ὄσρεα λέγονται, καὶ εὐσόμαχοί εἰσι καὶ εὐέκκριτοι· αἱ » δὲ ΠΑΧΕΙΑΙ, βασιλικαὶ δὲ πρός τινων καλούμεναι, πελώριαί » τε λεγόμεναι, τρόφιμοι, ΔΥΣΕΚΚΡΙΤΟΙ εὔχυλοι, εὐσόμαχοι, καὶ » μάλιστα αἱ μείζους »· ἔνθα γραπτέον ἴσως, ὥσπερ ἔδοξέ τισι τῶν κριτικῶν ΛΕΙΑΙ μὲν ἀντὶ τοῦ παχεῖαι (Ἰδ. Σνειδέρ. σημ. εἰς τὸ Ἀριστοτέλ. Περὶ ζ. ἱστορ. Τομ. Δ, σελ. 375), καὶ ΕΥΕΚΚΡΙΤΟΙ ἀντὶ τοῦ δυσέκκριτοι (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 326). Ἱκέσιος δὲ (παρὰ τῷ Ἀθην. σελ. 87), « Τῶν χημῶν φησι τὰς μὲν τραχείας » λέγεσθαι, τὰς δὲ βασιλικάς· καὶ τὰς μὲν τραχείας κακοχύλους » εἶναι, ὀλιγοτρόφους, καὶ εὐεκκρίτους... τῶν δὲ λείων, κατὰ τὰ » μεγέθη, καὶ τὰς διαφορὰς εἶναι κρατίστας ». Διοκλῆς δὲ (παρὰ τῷ αὐτ. σελ. 86) καὶ διαχωρητικὰς καὶ οὐρητικὰς ἀδιορίστως λέγει τὰς χήμας.

Ὠμαὶ δὲ καὶ ὀπταὶ σκληροποιοῦνται.] Ἡ μὲν κατὰ Μόσχαν ἔκδοσις φέρει, Οἶμαι δὲ καὶ ἑφθαὶ κ. τ. λ. αἱ λοιπαὶ, Ὀπταὶ δὲ καὶ ἑφθαὶ κ. τ. λ. (ΔΓ, Οἶμαι δ' ὅτι ἑφθαὶ κ. τ. λ.). Ὁ δὲ Λατῖνος μεταφραστὴς, εἰπὼν, assatæ autem, mea quidem sententia, indurescunt, δῆλός ἐσι τοιαύτην ἑρμηνεύων γραφὴν, Οἶμαι δ' ὅτι ὀπταὶ σκληροποιοῦνται· ἐξ' ἧς ἡμεῖς διεσκευάσαμεν τὴν παροῦσαν.

Γελοῖον γὰρ ἄν τι ἔπαθεν ὁ ἰατρὸς Ξενοκράτης, εἰ μετὰ δισαγμοῦ ἔλεγε τὰς ὀπτὰς μὴ σκληροποιεῖσθαι, ἢ τὰς ἐφθὰς σκληροποιεῖσθαι· τὸ γὰρ τὴν ἕψησιν μαλακύνειν τὰ σκληρόσαρκα, ὥσπερ αὖ τὰ ὀπτώμενα τῶν ἐφθῶν εἶναι σκληρότερα, δῆλον καὶ αὐτοῖς ἐστι τοῖς ἀνιάτροις. Τοῦτο μόνον οὐκ ἠκρίβωκε, δυσὶν ὑποκειμένοις ἓν ἀποδοὺς ῥῆμα, τὸ σκληροποιοῦνται, πρὸς ἑκάτερον οὐχ ὁμοίως οἰκεῖον· σκληροποιοῦνται μὲν γὰρ τὰ ὀπτά, τὰ δ' ὠμὰ αὐτόθεν εἰσὶ σκληρά.

Χημῶν ΔΙΑΦΟΡΑ· διάφοροι Δ' ΑΪ σρογγύλαι.] Τὸ μὲν Χημῶν ἐξ ἀντιγράφου, ἀντὶ τοῦ γελοίου τῶν ἐκδόσεων Χηνῶν· ἃ δ' αὐτὸς διώρθωκα, ἡ προσθήκη τῆς λέξεως ΔΙΑΦΟΡΑ ἐστὶ καὶ ἡ τροπὴ τοῦ ΑΕ̈ εἰς τὸ Δ' ΑΪ, ἵνα τὸ μὲν διάφορα συνάπτηται τῷ γένη, κατὰ σημασίαν ἑτερότητος, τὸ δὲ διάφοροι, τῷ σρογγύλαι, κατὰ σημασίαν ἐξοχῆς, ἐφ' ἧς μικρὸν ὑποβὰς (τμ. μδ') ὁ Ξενοκράτης τάττει τὴν λέξιν περὶ τῶν κτενῶν, « Διάφοροι δ' οἱ ἐν Μιτυλήνῃ ». Ἑτέρως διώρθου ὁ Σνεϊδέρος τὸ χωρίον, μικρὸν ἄνωθεν ἀρχόμενος, Γένη ὡς πελωρίδων τε καὶ χημῶν διάφορα ποικιλίᾳ καὶ σρογγυλότητι (Ῥωμαϊκ. γεωπονικ. Πίνακ. λέξ. Conchæ, σελ. 149). Εἶτ' ἀποδοκιμάσας, οἶμαι, τὴν διόρθωσιν, ἑτέραν προὔθετο ταύτην, Γένη διάφορα, ὡς πελωρίδων τε καὶ χημῶν· ποικίλαι γὰρ καὶ σρογγύλαι (Σημειώσ. εἰς τὸ Περὶ ζ. ἰσορ. Ἀριστοτέλ. Τόμ. Δ, σελ. 372), μόνον τὸν Γὰρ σύνδεσμον παρειληφὼς ἐξ ἀντιγράφου, ὃν κἀγὼ πάλαι καλῶς ἔχειν ἡγούμην.

Δικαιαρχίᾳ.] Ἡ ὕσερον κληθεῖσα πληθυντικῶς καὶ ἀρσενικῶς Ποτίολοι παρὰ τὸ Ῥωμαϊκὸν Puteoli, ὡς φέρεται ἐν ταῖς Πράξεσι τῶν Ἀποσόλων (κή, 13), νῦν δὲ Pozzuolo τοῖς Ἰταλοῖς καλουμένη.

Λουκρίνῳ λάκκῳ.] Παρὰ τὸ Ῥωκαϊκὸν Lucrinus lacus, ὅπερ ὤφειλε Ξενοκράτης φράσαι, Λουκρίνην λίμνην· εἰ γὰρ καὶ τὸ Lacus παρὰ τὸν Λάκκον προδήλως παρῆκται, οὐκ ἔσωσεν ὅμως καὶ τὴν παρ' Ἕλλησι σημασίαν τοῦ Λάκκου, ἀλλὰ σημαίνει λίμνην. Παραπλησίως τῷ Ξενοκράτει καὶ Πλούταρχος (Γάλβ. § 27) τὸν παρὰ Ῥωμαίοις Lacum Curtium, ἢ Curtii, εἰς τὸν Κουρτίου λάκκον μεθηρμήνευσε, δέον, Κουρτίου λίμνην, φράσαι. Καὶ ταῦτα μὲν περὶ τῆς τοῦ ὀνόματος καταχρήσεως. Στράβων δὲ (σελ. 244) τὸν παρὰ τῷ Ξενοκράτει Λουκρῖνον λάκκον, οὔτε λάκκον, οὔτε λίμνην, ἀλλὰ Λουκρῖνον κόλπον ὠνόμασε, διὰ τὸ τὴν ῥηθεῖσαν λίμνην (τανῦν τέφρᾳ κατακεχωσμένην) ἐν τῷ μυχῷ τοῦ Δικαιαρχείου, ἢ Ποτιολησίου κόλπου (Sinus Puteolanus), κεῖσθαι.

Φάρον.] Νῆσος πρὸς Αἰγύπτῳ ἡ Φάρος, ἣν, κατὰ τὸ ἑσπέριον αὐτῆς μέρος, χῶμα ἑπτασάδιον ἐγεφύρου πρὸς τὴν ἤπειρον, ὥς φησι Στράβων (σελ. 792).

Δίολκος.] Οὕτως ἐκαλεῖτο ἓν τῶν δύο ψευδοσομάτων τοῦ Νείλου, κατὰ τὸν Πτολεμαῖον (Δ, 5, σελ. 103).

Τήν τε γέφυραν καὶ τὴν νῆσον.] Ἴσως γραπτέον, Τήν τε γέφυραν τὴν κατὰ τὴν νῆσον. Ἡ γὰρ νῆσος οὐχ ἑτέρα ἐςιν ἧς ὠνόμακεν ἤδη Φάρου· ἡ δὲ γέφυρα αὐτό ἐςι τὸ ἑπτασάδιον χῶμα, πλὴν εἰ μὴ τῶν δύο γεφυρῶν τοῦ χώματος τὴν ἑτέραν λέγει. Κατὰ γὰρ τὸν Στράβωνα (σελ. 792), « Τὸ δὲ χῶμά ἐςιν ἀπὸ τῆς ἠπείρου γέ- » φυρα ἐπὶ τὴν νῆσον [Φάρον] κατὰ τὸ ἑσπέριον αὐτῆς μέρος ἐκτετα- » μένη, δύο διάπλους διαλείπουσα μόνον εἰς τὸν Εὐνόςου λιμένα, » καὶ αὐτοὺς γεγεφυρωμένους ».

Βαλάνοις ἐοικυῖαι δρυΐναις.] Πρὸς ἀντιδιαςολὴν τῶν τοῦ φοίνικος· βάλανοι γὰρ κἀκεῖνοι καλοῦνται.

Ἐμφερῶς φηγοῖς τὸν ἐχῖνον φερόμεναι.] Ὀρθώτερον ἂν εἶπε δίχα τοῦ ἄρθρου, Ἐμφερῶς (ἢ Ἐμφερῆ) φηγοῖς ἐχῖνον φερόμεναι. Καὶ ἡ μὲν φηγὸς εἶδός ἐςι δρυός· ἐνταῦθα δὲ τὸν καρπὸν αὐτὸν τῆς φηγοῦ οὕτως ἔοικε καλεῖν. Ἐχῖνον δὲ λέγει τὸ ἀκανθῶδες τοῦ καρποῦ περικάλυμμα, διὰ τὸ ἐχίνῳ τῷ θαλασσίῳ προσεοικέναι· « Ἐχῖνοι... τῶν δρυῶν οἱ κύτταροι, καὶ τῶν πλατάνων ὁ καρπὸς... » καὶ ζῶον θαλάσσιον ἐδώδιμον κ. τ. λ. » φησὶν Ἡσύχιος.

μδ'. Κτένες.] Τὰ ἐν τῇ συνηθείᾳ Κτένια, μετενεχθέντος τοῦ ὀνόματος ἀπὸ τοῦ εἰς εὐθέτησιν τῶν τριχῶν τῆς κεφαλῆς ἐπιτηδείου κτενός· « Κτεὶς, κτένιον », φησὶν Ἡσύχιος. Καὶ διόρθου ἐν παρόδῳ τὸν Ἀρτεμίδωρον (Ὀνειροκριτ. Β, 6), « Κτενίζεσθαι καὶ ἀνδρὶ καὶ » γυναικὶ συμφέρει· ἔςι ΓΑΡ ΤΙΣ χρόνος τὰ σκληρὰ διαλύων κ. τ. λ. » τρέπων εἰς τὸ... ἔςι ΓΑΡ Ὁ ΚΤΕΙΣ χρόνος κ. τ. λ. εἰς ὃ χειραγωγεῖ πως καὶ διάφορος ἑτέρα γραφή.

Ἀκμάζουσι δὲ ἦρος.] Ὅπερ διὰ τοῦ, Ἐνεάριοι, ἐξέφρασεν ὁ Δίφιλος, οὗ τὴν ῥῆσιν μετὰ μικρὸν (σελ. 121) παραθήσομαι.

Καὶ θέρους, μάλιςα πρὸς σελήνην.] Ἴσως ἦν μετὰ διπλοῦ συνδέσμου, Καὶ θέρους, καὶ μάλιςα πρὸς σελήνην, ἢ Καὶ θέρους, καὶ μάλιςα ταῖς πανσελήνοις. Ὡς γάρ φησιν Ἀριςοτέλης (Περὶ ζ. ἱςορ. Ε, 12)· « Ὅλως τὰ ὀςρακόδερμα ἔν τε τῷ ἔαρι » φαίνεται τὰ καλούμενα ὠὰ ἔχοντα καὶ ἐν τῷ μετοπώρῳ, πλὴν τῶν » ἐχίνων [τῶν] ἐδωδίμων· οὗτοι δὲ μάλιςα μὲν ταύταις ταῖς ὥραις,

» οὐ μὴν ἀλλὰ καὶ ἀεὶ ἔχουσι, καὶ μάλιστα ταῖς πανσελήνοις, » καὶ ταῖς ἀλεεινα ῖς ἡμέραις ». Καὶ κατὰ χώραν μέντοι ἐώμενον, ὡς ἔχει, τὸ κείμενον, τὸν αὐτὸν νοῦν ἀποδίδωσι· τὸ γὰρ Αὔξεσθαι πρὸς σελήνην, αὔξεσθαί ἐστι καθ' ὅσον αὔξεται ἡ σελήνη. Περὶ δὲ τοῦ αὔξεσθαι πρὸς σελήνην τὰ ὀστρακόδερμα ἡ αὐτὴ καὶ νῦν, ὡς καὶ πάλαι, κατέχει δόξα τοὺς Ἕλληνας, οὔπω μὲν πιστωθεῖσα ταῖς τῶν νεωτέρων φυσιολόγων τηρήσεσιν, οὐ μὴν διὰ τοῦτο μηκέτι χρῄζειν τηρήσεων ὑποληπτέα.

Διάφοροι δ' οἱ ἐν Μιτυλήνῃ.] Τοὺς ἐν Μιτυλήνῃ κτένας ἐπαινεῖ καὶ ὁ Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 92), οὗ καὶ τὴν ῥῆσιν παραθησόμεθα, ἐπειδὰν τὸν περὶ ὀστρακοδέρμων λόγον συμπληρώσωμεν. Καὶ ἐκλιπεῖν δέ ποτε φησὶν Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Η, 20) τοὺς κτένας ἐν Μιτυλήνῃ διὰ τοὺς αὐχμούς. Καὶ διορθούσθω ἐν παρέργῳ ἕτερον Ἀριστοτέλους χωρίον (Περὶ ζ. ἱστορ. Δ, 8) τὸ ἑξῆς, « Οἱ κτένες, » ἐάν τις προσφέρῃ τὸν δάκτυλον, χάσκουσι καὶ συμμύουσιν, ὥσπερ » ὁρῶντες », οὗ τὴν γραφὴν καὶ τὴν σίξιν μεταῤῥυθμιστέον οὕτως· « Οἱ κτένες, ἐάν τις προσφέρῃ τὸν δάκτυλον χάσκουσι, συμμύου- » σιν κ. τ. λ. », ὡς εἶναι τὸ μέν, Χάσκουσι, οὐ ῥῆμα (ὡς ὑπέλαβον οἱ μεταφραστὰι), ἀλλὰ μετοχὴ, τὸν δὲ νοῦν, Ἐάν τις προσαγάγῃ τὸν δάκτυλον ἀνεῳγμένοις οὖσι, συμμύουσιν. Ὅτι δ' οὗτός ἐστιν ὁ νοῦς, καὶ αὖτη ἡ γνησία τοῦ χωρίου γραφὴ, μαρτυρεῖ Πλίνιος αὐτολεξεὶ μεταφράσας τὸ τοῦ Σταγειρίτου, Pectines enim, si quis digitos adversum hiantes eos moveat, contrahuntur, ut videntes (*Plin. XI*, 37).

Ὁ Ἰόνιος κόλπος ΚΑΤ' ΙΛΛΥΡΙΔΑ καὶ Σαλώνας· καὶ ΛΑΤΙΟΝ... καὶ Ἀλεξάνδρεια.] Τὸ χωρίον τοῦτο ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει δυσὶ λέξεσι μακρότερον φέρεται. Ὁ Ἰόνιος κόλπος ΚΑΤ' ΙΛΛΥΡΙΔΑ ΚΑΙ ΤΥΡΡΗΝΙΔΑ καὶ Σάλωνας καὶ ΛΑΤΙΟΝ... καὶ Ἀλεξάνδρεια· καὶ πιστοῦται τὴν γραφὴν καὶ ἡ Λατινικὴ μετάφρασις. Πλίνιος δὲ, ὃν εἰκὸς πολλὰ τῶν Ξενοκράτους εἰληφέναι, λέγει, Laudatissimi Mitylene, TYNDARIDE, Salonis, ALTINI, ANTII, in insula Alexandriæ in Ægypto (*Plin. XXXII*, 11). Καὶ ἡ μὲν ἐκ τῆς διαφόρου γραφῆς προσεθεῖσα τῷ Ξενοκράτους χωρίῳ Τύῤῥηνις οὐκ ἔχει λόγον εἰκότα, ἐπεὶ τῷ τὸν Ἰόνιον εἰσπλέοντι κόλπον ἐν δεξιᾷ ἐστιν ἥ τε Δαλματία, ἐν ᾗ καὶ ἡ πόλις Σαλῶναι, καὶ ἡ Ἰλλυρίς. Ὡσαύτως δ' ἂν ἄλογον εἴη, καὶ τρέπειν αὐτὴν εἰς τὴν παρὰ τῷ Πλινίῳ Τυνδαρίδα· ἡ γὰρ Τυνδαρὶς ἐν τῇ Σικελίᾳ, ὥσπερ ἀνωτέρω (σελ. 63) δεδήλωται

ἐκ τοῦ Ἀρχεσράτου, καὶ οὐ κατὰ τὸν Ἰόνιον κόλπον ἐσί. Τὸ δὲ ΛΑ-ΤΙΟΝ, εἰ μὲν ὡς αἰτιατικὴν ἐκλάβοις συνεζευγμένην τῇ Κατὰ προ-θέσει, τρεπτέον ἴσως εἰς τὸ τοῦ Πλινίου ΑΤΙΝΟΝ· καὶ γὰρ τοῦτο ὄντως ἐν αὐτῷ κεῖται τοῦ Ἰονίου κόλπου τῷ μυχῷ, κατὰ τὴν τῶν Ἐνετῶν χώραν· εἰ δέ ἐσιν ὀνομασικὴ, πρὸς τὸ, Φέρει, τὴν ἀναφορὰν ἔχουσα, κατὰ χώραν ἐατέον, ὡς ταὐτὸ δυνάμενον τῷ τοῦ Πλινίου ΑΝΤΙΟΝ (Antium). Τὸ γὰρ Ἄντιον πόλις ἐσὶ τοῦ Λατίου (τουτέσι τῆς τῶν Λατίνων χώρας), ἐπὶ τῷ ἐπὶ θάτερα τῆς Ἰταλίας πελάγει, τῷ καλουμένῳ Τυρρηνικῷ, κειμένη πρὸς νότον τῆς Τυρρηνίδος, ἢ Ἐτρουρίας. Τῶν δὲ τῆς Χίου κτενῶν, ὡς διαφόρων, ἐμνημόνευσε καὶ ὁ Αὖλος Γέλλιος (*Noct. Attic. VII*, 16).

Διαχωρητικοὶ κ. τ. λ.] Διαχωρητικοὺς λέγει τοὺς κτένας καὶ ὁ Ἱπποκράτης (Περὶ διαίτ. Β, § 19, σελ. 222). Δίφιλος δὲ (παρ' Ἀθην. σελ. 90), τῶν κτενῶν φησὶν « Ἀπαλώτεροι μέν εἰσιν οἱ λευκοί· ἄβρο-» μοι γὰρ καὶ εὐκοίλιοι. Τῶν δὲ μελάνων καὶ πυρρῶν οἱ μείζονες καὶ » ἐνεάριοι, εὔζομοι. Κοινῶς δὲ πάντες εὐζόμαχοι, εὔπεπτοι, εὐκοί-» λιοι, λαμβανόμενοι μετὰ κυμίνου καὶ πεπέρεως ». Ἱκέσιος δὲ (παρὰ τῷ αὐτ. σελ. 87) τοὺς κτένας τροφιμωτέρους μὲν εἶναί φησι τῶν ὀσρέων, κακοχυλοτέρους δὲ καὶ δυσεκκριτωτέρους· Διοκλῆς δὲ (παρὰ τῷ αὐτ. σελ. 86), διαχωρητικοὺς καὶ διουρητικούς.

Μετ' ὄξους καὶ ὀποῦ.] Ἴσως τὴν τελευταίαν λέξιν τρεπτέον εἰς τὸ ἐφθοί· ἢ προσθετέον τοῦτο, ἵν' ᾖ, Μετ' ὄξους καὶ ὀποῦ ἐφθοὶ, ἵν' ἀντικέηται τῷ ἐχομένῳ Ὀπτώμενοι. Ὁ γὰρ νοῦς, Διαχωρητικοὶ γίνονται ἑψόμενοι μετ' ὀξους· καὶ γὰρ ὀππώμενοι ἀποβάλλουσιν ἣν ἔχουσι ποσὴν γλυκύτητα, ὑπακτικὴν τῆς γαςρός· ἐρεῖ γὰρ μικρὸν ὑποθάς (τμ. μέ), « Κρείττους δὲ οἱ ἐφθοὶ τῶν ὀπτῶν πρὸς τὸ ὑπακτικὸν » τῆς γαςρός ». Εἰ δὲ βούλοιο κατὰ χώραν ἐᾶν τὴν γραφὴν, νόει γοῦν οὕτως, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Διαχωρητικοὶ δ' εἰσὶ μετ' ὄξους καὶ ὀποῦ ἑψόμενοι.

Διὰ τὸ ποσῆς γλυκύτητος κ. τ. λ.] Τὸ, Ποσῆς, ἴσον ὧδε δύναται τῷ μετρίας, ἢ ὀλίγης. « Ποσῷ, ὀλίγῳ τινί » φησὶ Γαληνὸς ἐν ταῖς τῶν Ἱπποκράτους γλωσσῶν ἐξηγήσεσιν. Ἔσωσε δὲ καὶ ἡ συνήθεια τὸ Ποσὸν ἐπὶ τῆς αὐτῆς ἐννοίας, ἐν τῷ συνθέτῳ Καμπόσον, καὶ τὸ Ποσῶς ἐπίῤῥημα ἐν τοῖς μετ' ἀρνήσεως ἢ ἀπαγορεύσεως λεγομένοις, οἷον, Δὲν ἔχει μηδὲ ποσῶς νοῦν, τουτέσι, μηδὲ κατ' ὀλίγον, ἢ καὶ κατ' ἔλλειψιν οὐ χρηςὴν, Δὲν ἔχει ποσῶς νοῦν, καθ' ἣν τὸ Ποσῶς μεταφέρεται ἐπὶ τὴν ἔννοιαν τοῦ παντελῶς, ἢ παντάπασιν.

Ὀπτώμενοι.] Ἐὰν ἡ ἀντὶ τοῦ ὀπτώμενοι φερομένη διάφορος γραφή, εὐόμενοι, γνησία ᾖ, ἑτέρας τινὰς λέξεις, ἢ φράσεις ἐξῃρῦηκέναι τοῦ χωρίου ὑπολῃπτέον. Τὸ γὰρ Εὔειν, οὔθ' ἕψειν ἐςὶν οὔτ' ὀπτᾶν, ἀλλὰ δύναται τὸ ἐν τῇ συνηθείᾳ Καυσαλίζω (Γαλλ. flamber)· ἐπὶ τῶν ὀςρακοδέρμων δὲ, εἴ γε ὅλως ἐχρήσατο τῇ λέξει ὁ Ξενοκράτης, τὴν μέσην ἑψήσεως καὶ ὀπτήσεως σκευασίαν αὐτῶν δηλοῦν ἠβούλετο, καθ' ἣν δηλονότι ἐπὶ τοσοῦτον ὁμιλεῖν ἐῶνται τῷ πυρὶ, ἕως ἂν διοιχθεισῶν τῶν θυρῶν ἀπορρύῃ τὸ ὑγρὸν, καὶ ὑποφανῇ τὸ σαρκῶδες αὐτῶν.

μέ. Ὁμοίως δὲ καὶ οἱ λευκοί.] Εἰς τοῦτο δεῖν τρέπειν ὑπείληφα τὸ παρ' ἅπασι φερόμενον, Ὁμοίως δὲ καὶ λεῖοι, ἢ καθ' ἑτέραν διάφορον γραφὴν, Ὁμοίως δὲ καὶ πλεῖοι. Ἀντίκεινται γὰρ οἱ Λευκοὶ τοῖς ἀνωτέρω μνημονευθεῖσι Μελαντέροις, καὶ τοῖς μετ' ὀλίγον ῥηθησομένοις Πυξίζουσιν, ἢ Πυῤῥοῖς. Καὶ Δίφιλος δὲ, οὗ τὴν ῥῆσιν ἤδη (σελ. 121) παρεθέμεθα, λευκῶν, πυῤῥῶν καὶ μελάνων κτενῶν ἐμνημόνευσε, καὶ τοὺς λευκοὺς εὐκοιλίους ἔφησεν εἶναι, ὁ Ξενοκράτης διὰ τοῦ Λύουσι κοιλίαν ἐδήλωτε.

Καὶ ἂν παλαιοὶ ὦσιν, ἢ νεαροί.] Ἐκ διαφόρου γραφῆς τὸ Νεαροὶ, ἀντὶ τοῦ, Νηροί. Ἄμεινον δ' ἂν ἐφράζετο, Κἂν παλαιοὶ ὦσι, κἂν νεαροί. Καὶ νεαροὺς μὲν λέγει τοὺς ἀρτιαλώτους, παλαιοὺς δὲ τοὺς τεταριχευμένους, ὡς ἐκ τῶν ἑξῆς γενήσεται δῆλον. Ἀντὶ τοῦ, Ἢ ΝΗΡΟΙ, εἰκαζον πάλαι γραπτέον εἶναι, Ἢ ΗΜΙΝΗΡΟΙ, τουτέςι καὶ ἂν ὦσι πάλαι τεταριχευμένοι, καὶ ἂν πρὸ μικροῦ ἁλσὶ πεπασμένοι, οὓς ἐκάλουν ἰδίως ἡμινήρους, ὡς ἐν τοῖς ἑξῆς γενήσεται δῆλον.

Οὐκ εὔφθαρτοι οἱ πυξίζοντες.] Πυξίζοντες εἰσὶν οἱ πύξῳ ἐμφερὲς τὸ χρῶμα ἔχοντες, οὓς κατωτέρω Πυῤῥοὺς ὀνομάσει. Καὶ ῥᾳδίως γνώσεται τὸ χρῶμα, ὅςις γινώσκει τὴν χρόαν τῶν οἷς εὐθετοῦμεν τὰς τρίχας τῆς κεφαλῆς κτενῶν (ἀφ' ὧν καὶ τοὔνομα τῷ θαλασσίῳ κτενὶ) τῶν κατασκευαζομένων ἐκ πύξου. Τοὺς πυῤῥοὺς ἢ πυξοειδεῖς τούτους κτένας Ἀριςοτέλης (Περὶ ζ. ἱςορ. Η, 20) ἐν τοῖς αὐχμοῖς μάλιςα γίγνεσθαί φησι· τοῖς γὰρ ὀςρακοδέρμοις συμφέρει τὰ ἐπόμβρια ἔτη, πλὴν ταῖς πορφύραις, ὡς αὐτὸς λέγει.

Κρείττους δὲ οἱ ἑφθοὶ τῶν ὀπτῶν πρὸς τὸ ὑπακτικὸν τῆς γαςρός.] Συνῳδὰ τῷ Ἱπποκράτει παραγγέλλοντι (Περὶ παθ. § 40, σελ. 185) ἑφθὰ μὲν διδόναι τὰ προσφερόμενα, τὸν τὴν κοιλίαν ὑγραίνειν βουλόμενον, ὀπτὰ δὲ, τὸν ξηραίνειν αὐτὴν προαιρούμενον.

Ἀχυμότεροι.] Ἴσον ἐνθάδε τῷ ἀχυλότεροι, τουτέςι ξηρότεροι τῶν

ἐφθῶν· ἡ γὰρ ὄπτησις ἀναλίσκει τὰς ὑγρότητας μᾶλλον. Διὸ καὶ Ἱπποκράτης (Περὶ διαίτ. Β, § 14, σελ. 219) φησὶν, « Ὁκόσα μὲν βού» λει ξηραίνειν, τοὺς χυμοὺς ἀφαιρέοντα, τῇ σαρκὶ χῆσθαι, ὁκόσα » δὲ διαχωρέειν, τῷ μὲν χυμῷ πλείονι, τῇ δὲ σαρκὶ ἐλάσσονι καὶ » εὐχυμοτέρῃ ».

Δυσέκκριτοί τε.] Ἔγραψα, ὥσπερ ἡρμήνευσε καὶ ὁ Λατῖνος μεταφραστὴς, ἀντὶ τοῦ, Δυσέκκριτοι δέ.

Ἔλαττον ἔχειν τὸ ἄτοπον.] Τουτέστιν ἧττον ἀχύμους καὶ ξηροὺς, καὶ ἑπομένως δυσεκκρίτους, εἶναι τῶν καθ' ἑαυτοὺς καὶ μὴ ἐν τοῖς ὀστράκοις ὀπτωμένων.

Καὶ ταρακτικοὺς ἧττον εἶναι.] Τουτέστι διαχωρητικοὺς μέν, διὰ τὴν ἐν ὀστράκῳ ὄπτησιν, παραπλησίόν τι ποιοῦσαν τῇ ἑψήσει, ἧττον δὲ τῶν ἐν ὑγρῷ πολλῷ ἑψομένων, καὶ κυρίως ἑφθῶν καλουμένων.

Καταῤῥανθέντες ἀκράτῳ.] Οὕτως διώρθουν παλαι ἀντὶ τοῦ, Καταραθέντες (ΔΓ καταρανθέντες) ἀκράτως.

Εὐστόμαχοι.] Τὴν ἀνωτέρω διάφορον γραφὴν Εὐστομώτεροι προελομένοις τοῦ, Εὐτονώτεροι, οὐκ ἦν γράφειν ἐνθάδε, Εὔστομοι. Ἔτρεψα οὖν τοῦτο εἰς τὸ Εὐστόμαχοι, ὃ φέρεται καὶ ἐν τῇ Λατινικῇ μεταφράσει.

Προκριτέοι ΤΩΝ ΟΣΤΡΑΚΙΩΝ.] Εἰ μὲν εἴδους ὄνομα ἐμφαίνουσιν ὧδε τὰ ὀστράκια, γραπτέον, Προκριτέοι ΤΩΝ ΟΣΤΡΕΩΝ· εἰ δὲ τὸ γένος αὐτὸ τῶν παρὰ μὲν τοῖς ἄλλοις καλουμένων ὀστρακοδέρμων, ὑπὸ δὲ Ξενοκράτους (τμ. ί) ὀστρακίων, δεῖ γράφειν, Προκριτέοι ΠΑΝΤΩΝ ΟΣΤΡΑΚΙΩΝ.

Βρομώδεις.] Ἀντὶ τοῦ Βρωματώδεις ἔγραψα, ὥσπερ καὶ πάλαι διώρθουν, Βρομώδεις, ὅπερ ἐστὶ καὶ ἐν τῇ Λατινικῇ μεταφράσει.

Οἱ λευκοὶ καὶ πλατεῖς.] Δύο γὰρ γένη κτενῶν, τὸ μὲν ἑκατέρας τὰς θύρας κεκοιλωμένας ἔσωθεν ἔχον, οὓς ἀνωτέρω (τμ. μδ') Κοίλους ὠνόμασε, τὸ δὲ τὴν ἑτέραν πεπλατυσμένην, οὓς καλεῖ Πλατεῖς. Εἰσὶ δὲ καὶ μείζονες τῶν λοιπῶν κτενῶν, ἣ φησιν Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Δ, 4), « Ἐν τοῖς μεγάλοις κτεσὶ... οὗτοι δ' εἰσὶν οἱ τὴν ἑτέραν θυ» ρίδα πλατεῖαν ἔχοντες, οἷον ἐπίθεμα ».

Σκληροὶ δὲ *οἱ λευκοί· οἱ δὲ* πυῤῥοὶ κ. τ. λ.] Γραπτέον, οἶμαι, Σκληροὶ δὲ οἱ πυῤῥοὶ, περιελόντα ἃς ἀσερίσκοις διείληφα τέσσαρας λέξεις, ἁμαρτίᾳ τῶν γραφέων εἰσφρησάσας εἰς τὸ κείμενον. Οὕτως γὰρ ὁ Ξενοκράτης οὔθ' ἑαυτῷ ἀντιφάσκων ἔσται, οὔτε τῷ Διφίλῳ· τούτῳ μὲν ἀπαλωτέρους εἶναι τοὺς λευκοὺς κτένας φήσαντι

(ἀνωτέρ. σελ. 121), ἑαυτῷ δὲ, πολλαχοῦ τοῦ συγγράμματος (τμ. νδ' καὶ νέ) τὰ γλυκέα τοῖς ἁπαλοῖς καὶ τοῖς εὐφθάρτοις συνοικειώσαντι.

Καὶ ποσὰ δὲ αὐτῶν ἐμφέρει φυκίοις.] Οἰδίποδος χρῄζει τοῦ λύσοντος τὸ μηδὲν ἧττον αἰνίγματος σκοτεινὸν τόδε χωρίον. Οἱ γὰρ πρὸ ἡμῶν ὑπομνηματίσαντες τὸν Ξενοκράτην, πλὴν τοῦ Γεσνήρου, καὶ αὐτῶν τῶν ὀπωσοῦν διορθωθῆναι ἢ ἐξηγηθῆναι δυνατῶν τὰ πλεῖστα σιωπῇ παρέδραμον, μήτι γε τῶν οἷόν ἐστι τὸ προκείμενον. Καὶ πρῶτον μὲν θεωρήσωμεν τὰς διαφόρους γραφὰς, μηδὲ ταύτας σημειωθείσας μετ' ἀκριβείας, ὥς' ἐκ γοῦν αὐτῶν χειραγωγηθῆναι πρὸς τὴν τῶν λεγομένων νόησιν. Ἡ μὲν οὖν τῶν ἐν Παρισίοις ἀντιγράφων παραβολὴ γραφὴν φέρει ταύτην, Καὶ τὰς ἀδεαυτῶν ἐμφέρει φυκίοις· ἡ δὲ κατὰ Μόσχαν ἔκδοσις, Καὶ τὰς αδ ἑαυτῶν ἐμφέρει φυκίοις, ὑποσημειωσαμένου τοῦ ἐκδότου αἰνιγματωδῶς πάνυ, ὅτι ἐν τῷ κειμένῳ τοῦ ἀντιγράφου αὕτη ἣν ἐξέδωκε φέρεται γραφὴ, προσγεγραμμένης ἔξωθεν ὡς διορθώσεως, Καὶ τοὶ ταδ ἑαυτῶν κ. τ. λ. Καὶ ἑτέρας (διαγεγραμμένης ἔπειτα), Καὶ φύσεις δ' ἑαυτῶν κ. τ. λ. Καὶ ταῦτα μὲν, ὡς ἔφην, αἰνιγματωδῶς σεσημείωται· εὐδηλότερον δὲ τὸ πᾶσι δῆλον προσσεσημείωται, ὅτι ὁ Λατῖνος μεταφραστὴς ἡρμήνευσεν, ὡσπερανεὶ ἐγέγραπτο, Καί τινες αὐτῶν ἐμφερεῖς φυκίοις, et eorum aliqui fucis sunt similes. Ἀλλὰ τὸ μὲν, Καί τινες, ὅτι καλῶς ἔχει πρὸς τὰ προηγούμενα, οὐδεὶς ἂν διαφάσειεν· πῶς δ' ἂν ἔχοι συνάπτεσθαι καὶ πρὸς τὰ ἑπόμενα, οὐδέτερα ὄντα τῷ γένει, δοθέντα, δύσπεπτα, κινητικὰ, καὶ πρὸ πάντων, τί σημαίνει, εἴ γε ὅλως σημαίνειν τι δύναται, τὸ τινὰς τῶν κτενῶν ὁμοίους εἶναι τοῖς φυκίοις; Καὶ ταῦτα μὲν οἱ πρὸ ἡμῶν· ἡμεῖς δὲ ὧν ἐρεῖν μέλλομεν, οὐδὲν ὅλως διαβεβαιοῦσθαι τολμῶντες, ἐροῦμεν ὅμως τῶν ἐπιγενησομένων ἕνεκα· πολλάκις γὰρ ἐκ τῶν πεπλημμεληκότων τισὶν ἕτεροι λαβόντες τὸ ἐνδόσιμον, τοῦ ὀρθοῦ κατεσχάσαντο. Ὑπονοῶ τοίνυν ὅλην ταύτην τὴν περίοδον, ἀβλεψίᾳ τῶν γραψάντων ἐκκεκινῆσθαι τοῦ οἰκείου τόπου, ὃς ἦν ἴσως κατωτέρω (τμ. μή) ἔνθα περὶ τῶν Κολουλίων ἢ Κορυφίων ὁ λόγος· εἰ γὰρ μικρὸν ἀλλοιώσας αὐτὴν, γράφοις, Καὶ ὁπόσα δὲ αὐτῶν ἐντρέφεται φυκίοις, ἰδία δοθέντα, δύσπεπτα μὲν, οὖρον δὲ κινητικὰ, ἢ Καί τινα δὲ αὐτῶν ἐντρέφεται φυκίοις, ἃ ἰδία δοθέντα κ. τ. λ. ἔπειθ' οὕτως ἔχουσαν προσθείης ἐπὶ τέλει τοῦ περὶ τῶν Κολουλίων τμήματος, οὐδ' οὕτως μὲν ἔσαι τὸ χωρίον ἀπηλλαγμένον ὑποψίας, ἔξει μέντοι νοῦν τινα. Τὰ γὰρ Κολούλια τοῦ τῶν πορφυρῶν ὄντα γένους

οὐκ ἀπεικὸς καὶ φυκίοις ἐντρέφεσθαι· οὐκ ἀπεικὸς δὲ καὶ τὸν Ξενοκράτην ταῦτα φάναι ἰδία δοθέντα, τουτέστι καθ' ἑαυτὰ, ἄνευ ἑψήσεως ἢ σκευασίας τινὸς, δύσπεπτα μὲν εἶναι, οὖρων δὲ κινητικά. Παρατεθείσθω δὲ καὶ μαρτύριον Ἀριστοτέλους (Περὶ ζ. ἱστορ. ς', 12) οὕτως ἔχον, « Τοῦ δὲ Πόντου καθαιρομένου ἐπιφέρεταί τι κατὰ τὸν Ἑλ» λήσποντον, ὃ καλοῦσι φῦκος· ἔστι δ' ὠχρὸν τοῦτο. Οἱ δέ φασι τοῦτο » ἄνθος εἶναί τι φυσικὸν τὸ φυκίον. Ἀρχομένου δὲ γίγνεται τοῦ θέ» ρους. Τούτῳ τρέφεται καὶ τὰ ὄστρεα καὶ τὰ ἰχθύδια τὰ ἐν τοῖς τό» ποις τούτοις. Φασὶ δέ τινες τῶν θαλαττίων καὶ τὴν πορφύραν ἴσχειν » ἀπὸ τούτου τὸ ἄνθος». Εἰ δέ τις βούλοιτο, τρέπων τὰ οὐδέτερα εἰς ἀρσενικὰ, γράφειν τε καὶ ζίζειν οὕτως, Καί τινες δὲ αὐτῶν ἐμφερεῖς φηγοῖς· εἶτ' ἀπ' ἄλλης ἀρχῆς ἀναγινώσκειν, Ἰδίᾳ δὲ δοθέντες, δύσπεπτοι μὲν, οὖρων δὲ κινητικοὶ, ἔχοι ἂν ἐξηγεῖσθαι καὶ οὗτος τὸ λεγόμενον περὶ κτενῶν ἐχινοφόρων παραπλησίων ταῖς μικρὸν ἀνωτέρω (τμ. μγ') μνημονευθείσαις γλυκυμαρίσιν ἐχινοφόροις. Ἔζι γὰρ καὶ γένος κτενῶν, τῶν ἐλαχίζων, οἳ φέρουσι μικρὰς ἀκάνθας, ὡς φησιν ὁ Ῥονδελέτος (παρὰ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 813). Ἀλλὰ καὶ περὶ τούτου ἐπέχειν ἄμεινον.

μς'. Κήρυκες.] Ὅτι μὲν ὁ παρὰ τοῖς ἀρχαίοις κήρυξ τὸν παρ' ἡμῖν Διαλαλητὴν σημαίνει, οὐδεὶς ἠγνόηκεν· ἐπεὶ δὲ οἱ κηρύσσοντες, πρὸ τῆς τῶν σαλπίγγων εὑρέσεως, τοῖς στρομβώδεσι τῶν θαλασσίων ὀστράκων ἐχρῶντο πρὸς τὸ συναγείρειν τοὺς ἀκουσομένους τοῦ κηρύγματος, μετηνέχθη τοὔνομα, καὶ ἐπὶ τὸ ὀστρακόδερμον. Παραπλησίᾳ μεταφορᾷ καὶ τὸ τῶν Ῥωμαίων Bucina (παρὰ τὸ Ἑλληνικὸν Βυκάνη) καὶ οὐδετέρως Bucinum, σημαίνει καὶ τὴν σάλπιγγα (ὅθεν καὶ ὁ Buccinator βυκανιστὴς, σαλπιγκτὴς, κήρυξ) καὶ τὸν περὶ οὗ ὁ λόγος θαλάσσιον τόνδε κήρυκα, ὃς καὶ Murex αὐτοῖς ἐκαλεῖτο, αὐτὸ παραφθείρασιν, ὡς εἴκασεν ὁ Βελλώνιος οὐκ ἀπιθάνως, τὸ ἑλληνικὸν Κήρυξ, τῇ τροπῇ τοῦ κ εἰς τὸ π. Καὶ ὁ Ἀρχέστρατος δὲ (παρὰ τῷ Ἀθην. σελ. 92) εἰς τὸ διττὸν τῆς σημασίας παίξας εἴρηκε·

——————— Τοὺς κήρυκας δ' ἐπιτρίψαι
Ὁ Ζεὺς τούς τε θαλασσογενεῖς, καὶ τοὺς ἀγοραίους!
Πλὴν ἑνὸς ἀνθρώπου· κεῖνος δέ μοί ἐστιν ἑταῖρος,
Λέσβον ἐρισάφυλον ναίων, Ἀγάθων δὲ καλεῖται.

Παρὰ μεγέθη.] Κακῶς ἡ κατὰ Μόσχαν ἔκδοσις φέρει, Παρὰ μέγεθος.

Τοῦ τε ὀσράκου καὶ τοῦ τραχήλου καὶ τοῦ μήκωνος.] Ἐχρῶντο γὰρ καὶ τοῖς ὀσράκοις οἱ ἀρχαῖοι τῶν ἰατρῶν, οὐ τῶν κηρύκων μόνον, ἀλλὰ καὶ πολλῶν ἑτέρων ὀσρακοδέρμων, καίοντες, καὶ ἐπιπλάσσοντες τοῖς σμήξεως, καθάρσεως ἢ ἀπουλώσεως χρῄζουσι τοῦ σώματος μέρεσιν. Αὐτίκα Διοσκορίδης (Β, 4 καὶ 5) « Πορφύρα (φησὶ) καεῖσα » δύναμιν ἔχει ξηραντικὴν, σμηκτικὴν ὀδόντων, ὑπερσαρκωμάτων δὲ » καταξαλτικὴν, ἀνακαθαρτικὴν ἑλκῶν, ἀπουλωτικήν. Τὰ αὐτὰ δὲ » ποιοῦσι καὶ οἱ κήρυκες καέντες κ. τ. λ. ». Πλίνιος δὲ τὰ τῶν κηρύκων ὄσρακα ἀποτεφρωθέντα καὶ μετὰ μέλιτος ἐπιχρισθέντα, τὰς τοῦ προσώπου κηλίδας ἀφανίζειν, καὶ τὰς ῥυτίδας ἐκλεαίνειν φησὶ (*Plin. XXXII*, 7). Περὶ δὲ τοῦ τραχήλου καὶ τῆς τῷ ἥπατι ἀναλογούσης μήκωνος, ὧν μεταξὺ ἦν τὸ ἄνθος, ᾧ ἔβαπτον, ἐπίτω ὁ βουλόμενος τὸν Ἀριστοτέλην (Περὶ ζ. ἱστορ. Ε, 13) καὶ τῶν νεωτέρων τοὺς τὰ τοῦ Ἀριστοτέλους, ὡς ἐνῆν, ἐξηγησαμένους. Ἡμῖν δ' ἀπόχρη αἷς Ξενοκράτης καταλέγει τὰς ὑφ' ἑτέρων παραδεδομένας ἰατρικὰς δυνάμεις κηρύκων τε καὶ πορφυρῶν προσσημειώσασθαι.

Ἡ μὲν γὰρ ψαφαρὰ κ. τ. λ.] Ἀνωτέρω μὲν (σελ. 62) ἐπὶ τοῦ σκληροῦ καὶ τραχέος ἐχρήσατο τῷ ὀνόματι, ἐνταῦθα δὲ ἐπὶ τοῦ εὐδιαλύτου καὶ εὐθρύπτου, ὃ κυρίως Ψαθυρὸν λέγεται. Καὶ φασὶν οἱ Λεξικογράφοι ὁμαλῶς ἅπαντες ἀπὸ Γαληνοῦ ἀρξάμενοι, σημαίνεσθαι καὶ τὸ ψαθυρὸν ὑπὸ τοῦ ψαφαροῦ· περὶ ὧν ἐπιμελέσερον σκοπητέον, μήποτε γραφέων ἀβλεψίᾳ συνεχέθησαν οὕτως εὐσύγχυτοι λέξεις. Περὶ τῆς δυνάμεως τῶν κηρύκων, Διοσκορίδης μὲν (Β, 6) φησὶν, « Αἱ δὲ σάρκες τῶν κηρύκων εὔσομοι καὶ εὐσόμαχοι· » κοιλίαν δὲ οὐ μαλάσσουσι ». Ἱκέσιος δὲ (παρ' Ἀθην. σελ. 87) « Οἱ τῶν κηρύκων τράχηλοι εὐσόμαχοί τέ εἰσι, καὶ ἀτροφώτεροι » μυῶν τε καὶ κτενῶν· τοῖς δ' ἀσθενῆ τὸν σόμαχον ἔχουσι, καὶ μὴ » ῥαδίως ἀποδιωθοῦσι τὴν τροφὴν εἰς τὸ κύτος τῆς κοιλίας χρή- » σιμοι, δύσφθαρτοι ὄντες. Τὰ γὰρ ὁμολογουμένως εὔπεπτα, κατὰ » τοὐναντίον ἀλλότρια τῆς διαθέσεως ταύτης ἐσὶν, εὐχερῶς διαφθει- » ρόμενα, διὰ τὸ ἁπαλὰ καὶ εὐδιάλυτα εἶναι. Ὅθεν αἱ μήκωνες αὐ- » τῶν πρὸς μὲν τὰς τῶν σομάχων εὐτονίας οὐκ εὐθετοῦσι· πρὸς δὲ » τὴν τῆς κοιλίας ἀσθένειαν χρήσιμοι. Τροφιμώτεραι δὲ τούτων εἰσὶ » καὶ ἀπολαυσικώτεραι αἱ τῆς πορφύρας μήκωνες, πλὴν ΣΚΙΛΛΩ- » ΔΕΣΤΕΡΑΙ ὑπάρχουσι· καὶ γὰρ ὅλον τὸ κογχύλιον τοιοῦτόν ἐσι. » Ἴδιον δὲ καὶ ταύταις καὶ τοῖς σωλῆσι παρέπεται τὸ ἑψομέναις πα- » χὺν ποιεῖν τὸν ζωμόν. Ἑψόμενοι δὲ τὸ καθ' ἑαυτοὺς καὶ οἱ τρά-

» χηλοι τῶν πορφυρῶν, εὐθετοῦσι πρὸς τὰς τῶν ϛομάχων διαθέ-
» σεις ». Ἔνθα ὁ Σαλμάσιος (*Plin. exercitat. pag.* 793) γράφειν παραινεῖ ΣΚΥΛΩΔΕΣΤΕΡΑΙ, τουτέϛι σκληραὶ κατὰ τὴν τοῦ σκύλου, ὃ ἐϛὶ τοῦ δέρματος, σκληρότητα. Ἀλλ' εἰ καὶ τὸ Σκιλλωδέϛεραι τουτέϛι σκίλλης χυμῷ παραπλησίαν ἔχουσαι ποιότητα (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 332) οὐκ ἀναμφήριϛον ἔμοι γε δοκεῖ, ἡ τοῦ Σαλμασίου διόρθωσις ἀντιφέρεται οἷς τε ἑξῆς ἐρεῖ Ξενοκράτης, καὶ τοῖς ὑπὸ τοῦ Διφίλου (παρ' Ἀθην. σελ. 91) λεγομένοις περὶ τῆς μήκωνος· « Οἱ τράχηλοι [τῶν κηρύκων] εὐϛόμαχοι, δυσκατέργαϛοι
» δέ· διὸ τοῖς ἀϛθενοῦϛι τὸν ϛόμαχον οἰκεῖοι. Δυσέκκριτοί τε, καὶ
» μέϛως τρόφιμοι. Τούτων δὲ αἱ μήκωνες λεγόμεναι πρὸς τοῖς πυθμέ-
» ϛιν, ἁπαλαὶ, εὔφθαρτοι· διὸ τοῖς τὴν γαϛέρα ἀϛθενοῦϛιν οἰκεῖαι.
» Αἱ δὲ πορφύραι, μεταξὺ πίννης εἰϛὶ καὶ τοῦ κήρυκος· ὧν οἱ μὲν
» τράχηλοι, πολύχυλοι, εὔϛομοι· τὸ δὲ λοιπὸν αὐτῶν ἁλυκὸν καὶ
» γλυκὺ, καὶ εὐανάδοτον, εἰς ἐπίκραϛίν τε ἐπιτήδειον ». Καὶ ταῦτα μὲν περὶ τῶν δυνάμεων. Τοὔνομα δὲ τῶν κηρύκων διπλοῦν ἐϛι παρὰ τοῖς νεωτέροις Ἕλληϛιν· οἱ μὲν γὰρ Στροφιλίδας αὐτοὺς καλοῦϛιν οἱ δὲ, Φούκινα, ὡς ϛεϛημείωται παρὰ τῷ Γεσνήρῳ (Περὶ ἐνύδρ. σελ. 154). Εὕρηται δ' ἀμφότερα τὰ ὀνόματα παρὰ τῷ ἡμετέρῳ τριγλώϛϛῳ Λεξικῷ, τῷ ἐν τῇ Αὐϛριακῇ Βιέννῃ ἐκδοθέντι (λέξ. Buccin), τὸ μὲν, γεγραμμένον, Στροφολίδα, τὸ δὲ, ἀρϛενικῶς, Φούκινος. Καὶ τοῦτο μέν ἐϛι παρὰ τὸ Βούκινον, ὅ ἐϛι τὸ παρὰ μὲν τοῖς Ῥωμαίοις Bucinum, παρὰ δὲ τοῖς Ἕλληϛι Βυκάνη, ὡς προδεδήλωται (ϛελ. 125)· θάτερον δὲ, παρὰ τὸ Στροφαλὶς, παράγωγον τοῦ Στρέφω (ὥϛπερ καὶ τοῦ Τρέφω ἡ Τροφαλὶς), καὶ ϛυνώνυμον τοῦ Στρόμβος, τοῦ γενικοῦ ὀνόματος μετωνυμικῶς οἰκειωθέντος τοῖς κήρυξιν, οὗϛι τοῦ τῶν ϛρομβωδῶν γένους. Ὁ Φορϛκώλιος (*Description. animal., pag. XXXIII-XXXIV*) γένος τι τῶν κηρύκων, τὸ καλούμενον ὑπὸ Λιννάίου, Murex asper, ὀνομάζεϛθαί φηϛιν ὑπὸ τῶν ἡμετέρων ἁλιέων Στροφάκια (πληθ. καὶ οὐδετέρ.), ἕτερον, τὸ τοῦ Λιννάίου Murex ramosus, Προϛφύραν, τουτέϛι Πορφύραν (ἴδ. ϛημ. εἰς τὸ τμ. μζ'), ἄλλο, τὸ τοῦ Λιννάίου Murex lignarius, Ἀφάλλη τῆς Θαλάϛϛης, τουτέϛιν Ὀμφαλὸν Θαλάϛϛιον, τέταρτον, τὸ τοῦ Λιννάίου Murex tribulus, Ἀγγάθη τῆς Θαλάϛϛης, τουτέϛι, Θαλαϛϛίαν ἄκανθαν.

Ταρακτικωτέρα.] Λύουϛα μᾶλλον τὴν γαϛέρα. Εἰς τοῦτο ἔτρεψα τὸ

ἀδιανόητον Ἀντιπρακτικωτέρα, ὃ καὶ εἰς τὸ Συνταρακτικωτέρα (πιθανώτερον ἴσως) ἄν τις τρέψειεν.

Ἰλυῶδες.] Εἰς τοῦτο ἔτρεψα τὸ βάρβαρον Ἰχυῶδες (ἀνθ' οὗ ἡ κατὰ Μόσχαν ἔκδοσις φέρει, ἰχθυῶδες), συνεπικουρούσης τῆς κακῆς διαφόρου γραφῆς Ἰλυώδης. Ἔστι δὲ ἰλυῶδες τὸ παχὺ, ὥσπερ ἔλεγεν ὁ ἀνωτέρω (σελ. 126) παρατεθεὶς Ἰκέσιος περὶ τοῦ ζωμοῦ τῶν κηρύκων.

Ἀνατολικῆς δὲ σελήνης πλήρεις.] Ὁ Λατῖνος μεταφραστὴς εἶπε, Luna exoriente plenæ, τουτέστιν, Ἀνατολῆς σελήνης, ἢ Ἀνατελλούσης σελήνης, πλήρεις, ὃ ἐστιν ἄτοπον, εἴτε περὶ τῆς καθ' ἑκάστην νύκτα ἐπιφανείας τῆς σελήνης λέγοιτο, εἴτε περὶ τῆς κατὰ μῆνα πρὸς τὸν ἥλιον συνόδου, τῆς ἰδίως λεγομένης Νεομηνίας. Τῶν γαρ ὀστράκων κατὰ τὴν αὔξησιν τῆς σελήνης πληρουμένων, ἢ γοῦν πληροῦσθαι νομιζομένων, καθὰ ἐν τοῖς πρόσθεν σεσημείωται, εἰπεῖν ὤφειλεν, Αὐξομένης (ἢ Πληρουμένης) σελήνης πλήρεις· Ταὐτὸ τοῦτο μέντοι λέγειν ἔοικε διὰ τοῦ, Ἀνατολικῆς σελήνης· καθ' ὅσον γὰρ πληροῦται ἡ σελήνη, τοσούτῳ μᾶλλον πρὸς ἀνατολὰς ἰδίᾳ κινήσει φέρεται, ὥς' ἐν αὐταῖς ταῖς πανσελήνοις ἀπὸ τῶν ἑῴων σημείων, ἀφ' ὧν καὶ ὁ ἥλιος, τὴν ἀνατολὴν δοκεῖν ποιεῖσθαι. Καὶ ἔστι μὲν ἐν ταῖς πανσελήνοις τὰ ὀστρακόδερμα πλήρη, μάλιστα δὲ ταῖς ἐαριναῖς, ὥς ἐστι συλλογίσασθαι ἐκ τοῦ παρατεθέντος ἀνωτέρω (σελ. 119) Ἀριστοτελικοῦ μαρτυρίου.

μζ'. Πορφύραι.] Τοὺς μὲν κήρυκας τοῖς ὀνόμασι Bucinum καὶ Murex προσαγορεύειν ἔφημεν (σελ. 125) τοὺς Ῥωμαίους· Αἱ δὲ πορφύραι, Purpuræ καλοῦνται παρ' αὐτοῖς, αὐτὸ φυλάξασι τὸ Ἑλληνικὸν ὄνομα. Οὐκ ὀλιγάκις δὲ καὶ συνέχεαν τὰς κλήσεις ταῖς μὲν τὸ Murex ἀποδιδοῦντες ὄνομα, τοῖς δὲ κήρυξι τὸ Purpura, ὅπερ εἰκὸς καὶ τοὺς Ἕλληνας ἔστιν ὅτε ποιῆσαι, διά τε τὸ ἐμφερῆ ἀλλήλοις εἶναι τὰ κογχύλια, καὶ διὰ τὸ παραπλησίως ἀμφοτέρων τὸ ἄνθος ἐπιτήδειον εἶναι εἰς βαφὴν τῶν ἱματίων, ἃ πορφυρᾶ ἢ ἁλουργᾶ ὠνόμαζον. Ὁ γὰρ κωμικὸς Ἄρχιππος (παρὰ τῷ Ἀθην. σελ. 86), λέγων,

Κήρυξ θαλάσσης τρόφιμος, υἱὸς πορφύρας,

οὐ διορθωτέος ἐστιν, ὡς ἡμαρτημένης τῆς γραφῆς, καθά τισιν ἔδοξε τῶν κριτικῶν, ἀλλ' ὑπολειπτέος τὸν κήρυκα τῆς πορφύρας ἡλικίᾳ μόνῃ, ὡς υἱὸν μητρὸς, διαφέρειν ἡγήσασθαι. Καὶ πολλοὶ δὲ τῶν νεωτέρων

οὐ

οὐ ταῦτα μόνον ἀλλήλοις, ἀλλὰ καὶ τούτοις ἕτερα τῶν κογχυλιωδῶν συνέχεαν· οἷόν ἐςι τὸ τὰς ὑπὸ τῶν Ἑλλήνων καλουμένας Χοιρίνας (παρὰ τὸ χοῖρος) καὶ ὑπὸ τῶν Γάλλων ὁμοίᾳ παραγωγῇ Porcelaines (παρὰ τὸ Porc) συγχέαι ταῖς πορφύραις (ἴδ. Βελλών. Περὶ ἐνύδρ. σελ. 420, καὶ Παρατηρήσ. βιβλ. Β, κεφ. 71), καίπερ μόνῳ τῷ μονοθύρους εἶναι ἐκείναις ἐοικυίας. Οὐδ' ἔςη μέχρι τοῦδε τὸ τῆς ἀπάτης· τὰ γὰρ πολύτιμα κεράμια, ὁμωνύμως porcelaines ὀνομασθέντα, (ἴσως διὰ τὸ παραπλησίως ταῖς χοιρίναις λεῖα καὶ γιλπνὰ εἶναι), οὐ πολὺς χρόνος ἐξ οὗπερ ἐπαύσαντο πιςεύοντες ἐξ αὐτῶν τούτων τῶν χοιρινῶν, λειοτριβηθεισῶν καὶ ὕδατι φυραθεισῶν, παρ' Ἰνδοῖς καὶ Σίναις πλάττεσθαι (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 337). Σώζεται δὲ καὶ ἐν τῇ καθ' ἡμᾶς φωνῇ τῆς ψευδοῦς ταύτης ὑπολήψεως ἴχνος· τὰ γὰρ Ἰνδικὰ καὶ Σινικὰ κεράμια, Φαρφουρία καὶ Φαρφουρέμια καλοῦμεν, εἰς ταῦτα προδήλως ἐκχυδαϊσθέντων τῶν ὀνομάτων, Πορφύρια, καὶ Πορφύρινα. Τὴν Πορφύραν Προσφύραν καλεῖσθαι νῦν ὑπὸ τῶν ἡμετέρων ἁλιέων, τὴν δὲ Χοιρίνην, Γουρουνάκι, φησὶν ὁ Σοννίνιος (*Voyag. en Grec. Tom. II, pag.* 216).

Καὶ τοῖς ἑαυτῶν δὲ μέρεσι οὐ μετρίαν διαφορὰν ἔχουσι.] Εἰς τοῦτο ἔτρεψα τὸ ἀδιανόητον καὶ τοῖς ἐχομένοις ἐναντιούμενον, Καὶ τοῖς ἑαυτῶν δέρμασι μετρίαν διαφορὰν (ἄλλ. διαφθορὰν) ἔχουσαι.

Οἱ δὲ πυθμένες, ἢ μήκωνες.] Τὰς μήκωνας καὶ Πυθμένας ὀνομάζει, διὰ τὸ πρὸς τῷ πυθμένι τοῦ ὀςράκου αὐτὰς κεῖσθαι, ὥς φησι Δίφιλος, οὗ τὸ μαρτύριον ἀνωτέρω (σελ. 127) παρεθέμην.

Πλεονάσαντες.] Πλέον τοῦ μετρίου βρωθέντες.

Χολερώδεις, ναυτιώδεις, μελάνων ἐπιπολαςικοί.] Τὸν χωρίον ἐγράφετο... μελάνων ἀπολαυςικοί. Καὶ ὅτι μὲν ἡ τοιαύτη γραφὴ οὐδένα νοῦν εἶχεν, οὐκ ἔςιν ὅςις ἂν οὐκ ἐνόησε· διώρθουν δὲ πάλαι, μᾶλλον ἀπολαυςικοί, τὰ πρὸ τούτου διὰ μέσου ἐκλαμβάνων τόνδε τὸν τρόπον, « Σιελοποιοὶ (πλεονάσαντες δὲ, χολερώδεις, » ναυτιώδεις), μᾶλλον ἀπολαυςικοί », ἢ αὐτὰ ταῦτα τὰ τελευταῖα, ἁμαρτίᾳ τῶν γραψάντων ἐκτοπισθέντα, εἰς τὸν οἰκεῖον ἀποκαθιςὰς τόπον, « Σιελοποιοὶ, μᾶλλον ἀπολαυςικοί· πλεονάσαντες δὲ χολερώ- » δεις, ναυτιώδεις ». Ἐπιςοῦτο δὲ τὴν διόρθωσιν αὐτὸς ὁ Ἰκέσιος, οὗ τὴν ῥῆσιν ἀνωτέρω (σελ. 126) παρεθέμην, ἀπολαυςικωτέρας εἶναι λέγων τὰς τῶν πορφυρῶν μήκωνας. Ἡ γὰρ ἀπόλαυσις παρὰ τοῖς ἰατροῖς τὸν τελευταῖον τῆς θρέψεως σημαίνει βαθμὸν, ἡνίκα δηλονότι ἡ τροφὴ, κατεργασθεῖσα καὶ εἰς χυλὸν μεταποιηθεῖσα τῇ

πέψει, πανταχόσε τοῦ σώματος διανεμηθῇ καὶ τοῖς ὑποκειμένοις ἐξομοιωθῇ. Μαρτυρεῖ δὲ τούτοις ὁ Ἱπποκράτης (Περὶ ἀρχ. ἰητρικ. § 20, σελ. 24) λέγων, « Μέχρις αὐτέου ἡ κοιλίη τῶν τῇ προτε» ραίῃ προσεννενεγμένων σιτίων ΑΠΟΛΑΥΣΗ τελέως καὶ ἐπικρατήσῃ »· καὶ μικρὸν ὑποβάς, « Ὅτι οὐκ ἐπειδὰν τάχιστα ἐδεήθη τροφῆς τὸ » σῶμα, καὶ τὰ πρότερα κατανάλωτο, καὶ οὐκ (γρ. καὶ οὐκ ἔτι) » εἶχεν οὐδεμίαν ΑΠΟΛΑΥΣΙΝ, εὐθέως αὐτέῳ παρεγένετο καινὴ » τροφή ». Καὶ ταῦτα μὲν ἀποχρώντως εἰκοτολογοῦσι τὴν εἰς τὸ, μᾶλλον ἀπολαυσικοί, τροπὴν τῆς γραφῆς. Οὐδὲν ὅμως ἧττον ἂν ὀόξειε πιθανὴ καὶ ἣν κατεχώρισα νῦν εἰς τὸ κείμενον ἐκ τοῦ κατὰ τὴν Μόσχαν ἀντιγράφου, Μελάνων ἐπιπολασικοὶ (ἑρμηνευθεῖσαν ἀμωσγέπως καὶ τῷ Λατίνῳ μεταφραστῇ διὰ τοῦ atri humoris copiam gignit), εἰ προσυπακούοις τὸ χυμῶν, ἢ περιττωμάτων, ἤ τι ἄλλο τοιοῦτον, ὥσπερ καὶ παρ' Ἱπποκράτει ἔστιν ὅτε τὸ Μέλαινα ἐλλειπτικῶς εὕρηται τοῦ χολή, καὶ Μελάνων δίοδος, ἡ διαχώρησις, προσυπακουομένου τοῦ, διαχωρημάτων (Ἰδ. Φοεσ. Οἰκονομ. Ἱπποκρ. λέξ. Μέλαινα). Καὶ αὗται μὲν αἱ δύο τοῦ χωρίου γραφαί· ὧν ὁποτέραν ἂν βούλῃ, ἔστι σοι ἀποδέξασθαι. Ἐνδέχεται μέντοι καὶ ἀμφοτέρας πάλαι ἐνεῖναι τῷ κειμένῳ, ὧν τὴν ἑτέραν διὰ τὴν ὁμοιότητα πλανηθεὶς ὁ γράψας παρέλιπεν· εἴη δ' ἂν αὕτη τοιάδε, « Σιελοποιοὶ, μᾶλλον ἀπολαυσικοί· πλεονάσαντες δὲ χολερώδεις, ναυ» τιώδεις, μελάνων ἐπιπολασικοί ». Οὕτω γὰρ καὶ τὸ, Μελάνων ἐπιπολασικοὶ οἰκείως ἕξει πρὸς τὸ Χολερώδεις καὶ Ναυτιώδεις, καὶ Ξενοκράτης συνῳδὰ λέγων φανεῖται οἷς Ἱκέσιος εἴρηκεν.

μή. Τὰ δὲ κολούλια, ἢ κορύφια κ. τ. λ.] Ἡ κατὰ Μόσχαν ἔκδοσις, καὶ αἱ πρὸ τῆς ἐμῆς δύο (ἥ τε ἐν Λειψ. 1779, καὶ ἡ κατὰ Νεάπολιν, 1794) ταύτην φέρουσι τὴν γραφήν. Προσγέγραπται δὲ ταῖς δύο τελευταίαις καὶ σημείωσις ἡμαρτημένην ἀποφαίνουσα τὴν παρὰ τῷ Φαβρικίῳ γραφὴν, Κολούλια, τῶν ἀντιγράφων φερόντων, Κολύκια, μετὰ προσγεγραμμένης διαφόρου γραφῆς ἢ ἐξηγήσεως, Κορύχια. Ὁ Λατῖνος μεταφραστὴς, ἑρμηνεύων, Partes autem ad caudam pertinentes aut extremitates earum, διὰ μὲν τοῦ extremitates δῆλός ἐστιν ἑρμηνεύσας ὁπωσοῦν τὰ Κορύφια, τὸ δὲ, ad caudam pertinentes, οὐ τὸ Κολούρια ἐκφράζει, ὡς ὑπέλαβεν ὁ Ματθαῖος (τοῦτο γὰρ ἂν μᾶλλον τὸ Κολοβὰ τὴν οὐρὰν σημήνειεν, εἴ τι γε σημαίνοι), ἀλλὰ τὸ Οὐραῖα, ὅπερ οὐχ ὑπολητέον διάφορον εἶναι γραφὴν, ἀλλ' ἀποροῦντος μεταφραστοῦ εἰκασίαν ἀτυχῆ. Ἄπορον δὲ

καὶ τὸ Κορύχια, εἴτε τοῦ Κολούλια, εἴτε τοῦ Κορύφια διάφορός ἐςι γραφή. Ἐπιτείνει δὲ τὴν ἀπορίαν καὶ ὁ Πλίνιος ἐν δυσὶ χωρίοις ὀνομάζων, Κολούθια, καὶ Κορύθια (οὐ Κολούλια, οὐδὲ Κορύφια), καὶ οὐ μέρη, ἀλλὰ γένος κηρύκων ἐλαττόνων αὐτὰ λέγων εἶναι, Muricum generis sunt, quæ vocant Græci COLUTHIA, alii CORYTHIA, turbinata æque, sed minora multo, efficaciora etiam, et oris alitum custodientia (*Plin. lib. XXXII, cap.* 7 *et* 11), τουτέςι, «Τοῦ τῶν κηρύκων γένους εἰσὶν ἃ καλοῦσιν Ἕλ» ληνες Κολούθια, ἔνιοι δὲ Κορύθια, παραπλησίως μὲν ςρομ» βοειδῆ, πολλῷ δ' ἐλάττω καὶ δραςικώτερα, εὐωδίας τε ςόματος » πρόξενα». Ἔνθα καὶ διάφοροι γραφαὶ φέρονται τοῦ μὲν πρώτου ὀνόματος, Coluthia, Colytia, Colidia, Chylethia (Κολούθια Κολύτια, Κολίδια, Χυλήθια) τοῦ δευτέρου δὲ, *Corytia, Coryphia, Choryphia, Corycia, Coryphæa* (Κορύτια, Κορύφια, Χορύφια, Κορύκια, Κορυφαῖα), ἃς συνείλοχεν εἰς ἓν ὁ Συνεῖδέρος ἐν τῷ τῶν Ῥωμαϊκῶν γεωπονικῶν Πίνακι (λέξ. Murex). Ἀλλ' ἔςι δυσχερέςατον ἐν τοσαύταις γραφαῖς διαγνῶναι τὴν γνησίαν, ἄλλως τε καὶ παρὰ τὸν Ξενοκράτην, καὶ τὸν παρὰ τοῦ Ξενοκράτους εἰληφότα Πλίνιον, μηδένα ἔχοντας ἕτερον, οὕτως καλουμένων κογχυλίων μνημονεύσαντα. Λείπεται τοίνυν παρεγγυῆσασθαι τοῖς ἡμετέροις φιλολόγοις ἐρευνῆσαι εἴ που τῆς Ἑλλάδος σώζεται ὄνομα Κορύθιον, ἢ Κορύφιον, ἤ τι ἕτερον παραπλήσιον, ἐπί τινος λεγόμενον τῶν ςρομβωδῶν κογχυλίων, οἷά εἰσιν αἱ πορφύραι καὶ οἱ κήρυκες. Τὸ γὰρ Κορύφιον, καὶ Κορύθιον, συγγενῆ ὑποκοριςικὰ ἐοίκασιν εἶναι συγγενῶν πρωτοτύπων, τὸ μὲν παρὰ τὴν κορυφὴν, τὴν κεφαλὴν, τὸ δὲ παρὰ τὴν κόρυθα, τὴν περικεφαλαίαν. Τὸ Κολύκια δὲ πιθανῶς ἄν τις τρέψειεν εἰς τὸ Καλύκια· ἐπεὶ γὰρ οἵ τε κήρυκες καὶ αἱ πορφύραι ἐκαλοῦντο καὶ Κάλυκες, οὐκ ἀπεικὸς τὰς μικρομεγέθεις αὐτῶν ὑποκοριςικῶς ὠνομάσθαι Καλύκια. «Κάλυξ τὸ ἄνθος τοῦ ῥόδου... » σημαίνει δὲ καὶ τὴν θαλασσίαν πορφύραν» φησὶν Ἡσύχιος· καὶ πάλιν ὁ αὐτὸς, «Καλύκιον, μικρὸν ῥόδον». Ἐνδέχεται μέντοι (χρὴ γὰρ ἀπορῆσαι πολλὰ, εἴ πως ἑτέροις εὐπορῆσαι παράσχωμεν) οὔτε διωνύμως ὠνομάσθαι ταῦτα ὑπὸ τοῦ Ξενοκράτους, πάσας τε τὰς παρ' αὐτῷ καὶ παρὰ τῷ Πλινίῳ διαφόρους γραφὰς οὐδὲν ἄλλ' ἢ διαφόρους ἁμαρτίας ἀντιγραφέων εἶναι· οἷον τί λέγω; Ἔγραψεν ὁ Ξενοκράτης, «Τὰ δὲ » Κηρύκια τῶν ὁμογενῶν ὁπόσα κ. τ. λ.». Τὸ σημαῖνον τοὺς μικροὺς κήρυκας, Κηρύκια, τόδε ἐπελθὼν ἕτερος ἔτρεψεν εἰς τὸ Κο-

ρύκια, ὅπερ ἐςὶ μία τῶν παρὰ τῷ Πλινίῳ διαφόρων γραφῶν, εἶτ' ἄλλος εἰς τὸ Κολύκια, καὶ ἄλλος εἰς τὸ Κολούθια, ἢ Κολούλια, καὶ καθεξῆς ἕτεροι εἰς ἕτερα, μέχρις ἠφάνισαν τὴν ἀρχαίαν γραφήν. Προστίθει τούτοις ὅτι καὶ ὁ Τραλλιανὸς Ἀλέξανδρος πολλαχοῦ τοῦ ἰδίου συντάγματος τὴν εὐωδίαν τῶν κηρύκων παραινῶν, πανταχοῦ κηρύκια αὐτοὺς ὀνομάζει, εἴτε ὑποκορίσας τοὔνομα κατ' ἔθος πρακμάζοντος ἑλληνισμοῦ, εἴτε τὸ φύσει μικρομέγεθες τῶν κηρύκων γένος δηλῶσαι βουλόμενος ἐκεῖνο, ὃ καὶ Πλίνιος ἐδήλωσε διὰ τοῦ Muricum generis... sed minora multo.

Τῶν ὁμογενῶν ὁπόσα κ. τ. λ.] Οὐ γραφέων ἁμαρτία ἔοικεν εἶναι, ἀλλὰ συντάξεως ἀνακολουθία, ἀντὶ τοῦ, Τῶν δὲ κολουλίων, ἢ κορυφίων, ἡ προσφορὰ ἐπιτηδειοτάτη πάντων τῶν ὁμογενῶν ἐςιν, ὁπόσα ςρομβοειδῆ, τουτέςι, Τὰ κολούλια, ἢ κορύφια, εὐπρόσφορά ἐςι μάλιςα πάντων τῶν ὁμογενῶν κ. τ. λ.

Γλυκύν.] Ἐξετόπισαν τὴν λέξιν οἱ ἀντιγραφεῖς· ὤφειλε γὰρ τετάχθαι ἀνωτέρω πρὸ τοῦ Εὔςομον. Διὸ καὶ ὁ Λατῖνος μεταφραςὴς, οὐκ ἔχων νοῆσαι τί βούλεται ὧδε τὸ Γλυκύν, ἡρμήνευσεν ἀτυχέςατα Dulcium urinarum motorem, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Γλυκέων κινητικὸν οὖρον, τῷ ἰατρῷ Ξενοκράτει ἀγροικοτάτου σκαπανέως προσριψάμενος λόγους. Τὰ γὰρ γλυκέα οὖρα σύμπτωμα δεινοῦ νοσήματός ἐςι, τοῦ καλουμένου Διαβήτου.

Μικρόσαρκα δὲ, ἀνάλογον κοχλίαις.] Αἱ διάφοροι γραφαὶ εἰσὶν αἵδε· τῶν μὲν πρὸ τῆς ἐμῆς δύο ἐκδόσεων, Μικρόσαρκοι ἀνάλογον κοχλίαις, τῆς δὲ κατὰ Μόσχαν, Μικρόσαρκος ἀναλογῶν κοχλίαις, τῶν δὲ ἀντιγράφων, Μικρόσαρκον ἀνάλογον κοχλίαις καὶ, Μικρόσαρκος ἀνάλογον κοχλίαις. Οὐδεμιᾶς τούτων ἐχούσης συνάπτεσθαι πρὸς τὸ οὐδέτερον πληθυντικὸν Κολούλια, οὐδὲ πρὸς τὰ ἑχόμενα, Εὔθετα, ζεσθέντα τρόφιμα κ. τ. λ. ἔτρεψα τὴν πρώτην λέξειν εἰς τὸ Μικρόσαρκα, προσθεὶς καὶ τὸν σύνδεσμον τοῦ εὐκρινοῦς χάριν· ἀντιτίθησι γὰρ προδήλως τὰ Κολούλια ταῦτα, τουτέςι τοὺς μικροὺς κήρυκας, ἢ μικρὰς πορφύρας, ταῖς ἀνωτέρω μείζοσιν, ὥσπερ καὶ ὁ Δίφιλος (παρ' Ἀθην. σελ. 90) τὰς μικρὰς καὶ λεπτὴν ἐχούσας τὴν σάρκα χήμας ταῖς μείζοσι καὶ παχείαις. Οὐδ' οὕτως μέντοι ἀπήλλακται τὸ χωρίον ὑποψίας· περὶ γὰρ τῶν μικροσάρκων ὄντος τοῦ λόγου, πῶς ἂν ὀρθῶς λέγοιντο ἁπλῶς οὕτως ἀναλογεῖν ταῖς κοχλίαις, ὧν τοὺς μὲν μεγάλους, τοὺς δὲ βραχεῖς, ὑποβὰς εἶναι φήσει. Μήποτε οὖν γραπτέον, Ἀνάλογον βραχέσι κοχλίαις.

Ἀπεργάζεται δὲ καὶ σώματος εὐωδίαν.] Τοῦθ' ἑρμηνεύων ὁ Πλίνιος, οὗ τὴν ῥῆσιν ἤδη παρεθέμεθα (ἀνωτέρ. σελ. 131), εἶπεν Oris halitum custodientia. Ἀκριβέστερον δ' ἂν μετέφρασε, Ori gratum halitum conciliantia, ἢ, ὡς εἴρηκεν ὁ μεταφραστὴς τοῦ Ξενοκράτους, Ori suavem odorem conciliant.

Πρὸς οἰνοποσίαν τε εὔθετα.] Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασι, Πρὸς οἰνοποσίαν δὲ ἄθετα. Τὸ γὰρ Ἄθετα ὑπεναντίον ἐστὶ τῇ πείρᾳ. Τίς γὰρ οὐκ οἶδε τῶν συμποτικῶν, ὅτι πάνθ', ὡς εἰπεῖν, τὰ ὀσρακόδερμα παρορμητικὰ πρὸς οἰνοποσίαν ἐστί; Σημειωτέον δὲ, ὅτι, ὥσπερ, Εὔθετόν τι πρός τι, λέγεται τὸ ἐκείνῳ χρησὸν καὶ ἐπιτήδειον, οὕτως ἐκ τοῦ ἐναντίου καὶ, Ἄθετόν τι πρός τι, τὸ ἐκείνῳ ἄχρηστον καὶ ἀνεπιτήδειον. Καὶ ἔστι τοὔνομα πολὺ παρὰ τῷ Διοσκορίδῃ, καθὰ ἐσημειώσατο ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Τομ. Γ, σελ. 1475). Ἐχρήσατο δὲ τῇ λέξει καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωματ. Ζ, σελ. 718, ἐκδ. 1629), «Ἄθετος οὖν ἡ τοιαύτη τροφὴ πρὸς σύνεσιν » ἀκριβῆ».

Ζεσθέντα τρόφιμα.] Ἴσως γραπτέον, Ζεσθέντα τρυφερά, οὐ μόνον διὰ τὸ προσεχῶς ἀντικείμενον Σκληρά, ἀλλὰ καὶ διὰ τὴν ἀλήθειαν τοῦ πράγματος· τὰ γὰρ ζεσθέντα τουτέστιν ἑψηθέντα, καὶ, ὥσπερ ἡ συνήθεια λέγει, βρασά, μαλακώτερα μὲν τῶν ὀπτῶν καὶ χαλεπῶς ὑπακτικώτερα, ἧττον δὲ τρόφιμα. Φησὶ δὲ καὶ ὁ Ἀθήναιος (σελ. 656) « Τὴν ἕψησιν οὐ μόνον τὴν ὠμότητα περιαιρεῖν, ἀλλὰ καὶ τὰ σκληρὰ » μαλάττειν δύνασθαι». Καὶ πάλιν (σελ. 358), «Χρὴ δὲ, ἐὰν μὲν » τὴν κοιλίαν βούληταί τις ὑπάγειν, ἕψοντα διδόναι· μετρίως δὲ » ἐχούσης, ὀπτηθέντα γίνεται τρόφιμα».

Τρόπον κηρύκων.] Ἴσον τῷ ἐν πλείονι χρῆσει, Δίκην κηρύκων. Ἡ δὲ γραφὴ ἐκ τῆς κατὰ Μόσχαν ἐκδόσεως, ἀντὶ τῆς παρὰ τοῖς ἄλλοις, Ἐν τρόπῳ κηρύκων. Τῷ δὲ τέλει τοῦ παρόντος τμήματος ἐπισυναπτέον ἴσως, καθάπερ εἴκασα ἐν τοῖς πρόσθεν (σελ. 124) τὰ τοῦ περὶ Κηρύκων τμήματος (τμ. μέ) ἀπὸ τοῦ, Καὶ ὁπόσα δὲ αὐτῶν, μέχρι τέλους.

μθ'. Κοχλίαι.] Ἀθήναιος (σελ. 63) τὸν κοχλίαν ὑπὸ τῶν Λακεδαιμονίων Σέμελον καλεῖσθαί φησι πάλαι. Τινὰς δὲ τῶν κοχλιῶν καὶ Σεσίλους λέγεσθαι, καὶ ἑτέρους Κωλυσιδείπνους. Ἡ δὲ παρ' ἡμῖν συνήθεια, Κοχλιοὺς αὐτοὺς ὀνομάζει, ἔτι δὲ καὶ Σαλιάκους, παρὰ τὸ μηκέτι σωζόμενον Σιάλαξ, διὰ τὸ σιελῶδες καὶ γλίσχρον αὐτοῦ τῆς σαρκός. Καθ' Ἡρακλείδην τὸν Ταραντῖνον (παρ' Ἀθην.

σελ. 64), οἱ κοχλίαι σπέρματός εἰσι ποιητικοί. Ἐδήλωσε δὲ καὶ ὁ κωμικὸς Ἄλεξις (παρὰ τῷ αὐτ. σελ. 63) φήσας·

——————Πίννας, κάραβον,
Βολβούς, κοχλίας, κήρυκας, ὠά, 'κροκώλια
Τοσαῦτα. Τούτων ἄν τίς εὕροι φάρμακα
Ἐρῶνθ' ἑταίρας ἕτερα χρησιμώτερα;

Οὕτως γὰρ οἶμαι δεῖν γράφειν καὶ ζίζειν τὰ ἔπη ταῦτα, καὶ οὐχ ὡς φέρεται ἐν ταῖς τοῦ Ἀθηναίου ἐκδόσεσι. Διοσκορίδης δὲ (Β, 11) πλείω λέγει περὶ τῆς τῶν κοχλιῶν δυνάμεως· « Κοχλίας χερσαῖος εὐ-» σόμαχος, δύσφθαρτος. Ἄριστος δὲ ὅ τε ἐν Σαρδῶνι καὶ Λιβύῃ, καὶ » Ἀσυπαλαίᾳ, καὶ Σικελίᾳ, καὶ Χίῳ γεννώμενος, καὶ ὁ ἐν ταῖς κατὰ » Λιγυρίαν Ἄλπεσι Πωματίας καλούμενος. Καὶ ὁ θαλάσσιος δὲ » εὐσόμαχος καὶ εὐέκκριτος. Ὁ δὲ ποτάμιος βρομώδης· καὶ ὁ ταῖς » ἀκάνθαις καὶ τοῖς θαμνίσκοις προσκεκολλημένος ἄγριος, ὃν τινες » Σέσιλον καλοῦσι, ταρακτικός ἐστι κοιλίας, καὶ σομάχου ἐμετο-» ποιός ».

Ὅτῳ καὶ σάλπιγγος κ. τ. λ.] Ἦν πάλαι παρήνουν τροπὴν τοῦ Οὕτω, εἰς τὸ Ὅτῳ, ἐπισώσατο ἡ κατὰ Μόσχαν ἔκδοσις. Περὶ δὲ τῆς εἰς σάλπιγγα χρήσεως τοῦ κοχλίου, φησὶν Ἡσύχιος· « Κόχλος· τοῖς » θαλασσίοις ἐχρῶντο πρὸ τῆς τῶν σαλπίγγων εὑρέσεως· καὶ ὁ σρόμ-» βος ». Καὶ αὖθις, « Στραβήλῳ, τῷ κόγχῳ, ᾧ ἐσάλπιζον ». Ἐλέγετο γὰρ καὶ Κόχλος καὶ Κόγχος, καὶ Στράβηλος ὁ κοχλίας. « Κόγ-» χος, κοχλίας » φησὶν ὁ αὐτὸς Λεξικογράφος, καὶ « Στράβηλοι, » κοχλίαι ». Περὶ δὲ οὗ ἀλλαχοῦ λέγει, « Πιλὸς, κοχλιὸς (γρ. κο-» χλίας) » σκοπητέον τίνες ἦσαν οἱ οὕτως καλοῦντες τὸν κοχλίαν. Ἀλλ' ἴσως γραπτέον διὰ τοῦ η Πηλὸς, ἵν' ᾖ ὄνομα τῶν χερσαίων κοχλιῶν, τῶν καὶ Λειμάκων (Ῥωμ. Limaces) καλουμένων, διὰ τὸ ἐν τοῖς λειμακώδεσι, τουτέστι καθύγροις καὶ πηλώδεσι (Ῥωμ. Limosis) χωρίοις φύεσθαι· οἱ γοῦν Ῥωμαῖοι Γραμματικοὶ οὕτως ἀποδεδώκασι τῶν λειμάκων τὸ ἔτυμον, Limaces cochleæ à limo appellatæ, φησὶν ὁ Φῆστος.

Χολερικόν.] Νόσου τῆς Χολέρας καλουμένης ποιητικόν.

Ἢ χλωροῦ πηγάνου καὶ ὄξους καὶ πεπέρεως.] Εἰς τοῦτο δεῖν τρέπειν ὑπέλαβον τὸ βάρβαρον, Ἢ χλωρῶν πηγάνου τε μετ' ὀξυπε-πέρεος. Τὸ μὲν γὰρ Χλωρῶν προδήλως σόλοικον, ὃ κατανοήσας καὶ ὁ Λατῖνος μεταφραστὴς, ἡρμήνευσε cum foliis viridibus, ὥσπερ

ἂν εἰ ἐγέγραπτο ὀρθώτερον, χλωρῶν φύλλων. Ὀξυπέπερι δὲ συνηθέτως, τὸ μεμιγμένον ὄξει πέπερι, οὐχ ὁμοίως χρηςὸν, ὥσπερ ἐςὶ τὸ Ὀξύμελι, καὶ τὸ Ὀξύγαρον, καὶ τὸ Ὀξέλαιον (τὸ ἐν τῇ συνηθείᾳ Ὀξειδόλαδον).

Ὀξυπύθμενοι, καὶ ὑπ' ἄλλων κληζόμενοι, Ἕλικες, ἢ Ἀκτινοφόροι.] Οὕτως ἔγραψα ἀντὶ τοῦ βαρβάρως συντεταγμένου, Ὀξυπύθμενοί τε τῶν ἄλλων κληζόμενοι κ. τ. λ. Παραβάλωμεν δὲ καὶ τὰ ὀνόματα τοῖς παρὰ τῷ Πλινίῳ φερομένοις ὀνόμασι, Cochleæ, quarum generis Pentadactyli, *Melicembales Echinophoræ* dicuntur, quibus cantant: extra hæc sunt rotundæ, in oleario usu cochleæ (*Plin. lib. XXXII, cap.* 11), ἃ δῆλος ἐςὶν ἐκ τοῦ Ξενοκράτους εἰληφώς· παραπλησίως γὰρ ἐκείνῳ δύο κοχλιῶν γένη τίθησι, τὸ μὲν ἐπίμηκες, ὅτῳ καὶ σάλπιγγος δίκην ἐμφυσῶσι, quibus cantant, τὸ δὲ ςρογγύλον, ᾧ ποὺλαιον ἀναχέουσι, rotundæ in oleario usu. Ἐν τοῖς ἐπιμήκεσι δὲ τάττει, ὥσπερ καὶ Ξενοκράτης τοὺς Πενταδακτύλους, αὐτὴν φυλάξας τὴν λέξιν Pentadactyli· Τὰ λοιπὰ δὲ οὐ συνάδει τοῖς τοῦ Ξενοκράτους, ἐὰν μὴ τὴν ὅλην Πλινιακὴν ῥῆσιν, οὕτως μετακοσμήσῃς, τὸ μὲν ἐκ διαφόρων γραφῶν, τὸ δὲ ἐκ τῆς τοῦ Σνεϊδέρου (Πίνακ. Γεωπονικ. Ρωμαϊκ. λέξ. Cochlea, σελ. 142) εὐτυχοῦς διορθώσεως, Cochleæ, quarum generis Pentadactyli, *item Helices, ab aliis Actinophoræ* dicuntur, quibus, etc.

Ὀπῷ.] Ἐγράφετο ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει, Ὀπτοὶ, ἐν δὲ ταῖς πρὸ τῆς ἐμῆς δυσὶν, Ὄπτοι· ὧν τὸ μὲν βάρβαρον, τὸ δὲ, Ὀπτοὶ ἀνίατρον, διὰ τὸ ἐχόμενον, Ἐκταράξαι κοιλίαν· οὐ γὰρ τοιαύτη τῶν ὀπτῶν ἡ δύναμις (ἴδ. ἀνωτέρ. σελ. 133)· Ἔτρεψα οὖν αὐτὸ εἰς τὸ Ὀπῷ.

Ἐκταράξαι κοιλίαν εὔθετοι.] Ἀντὶ τῆς τελευταίας λέξεως αἱ πρὸ τῆς ἐμῆς δύο ἐκδόσεις φέρουσιν ἑλληνικοῖς γράμμασιν οὐχ ἑλληνικῶς, Ἀνευθοι· ἡ δὲ κατὰ Μόσχαν ἔκδοσις, Ἄνεφθοι, ὅπερ ἔοικεν ἐκ τῆς Λατινικῆς μᾶλλον μεταφράσεως, incoctæ, ἢ τῶν ἀντιγράφων ληφθῆναι. Τὸ γὰρ μὴ ἑψηθὲν Ἕλληνες οὐκ Ἄνεφθον (ὥσπερ οὐδ' Ἄνοπτον τὸ μὴ ὀπτηθὲν) λέγουσιν, ἀλλ' Ἀνέψητον, ἢ μᾶλλον, Ὠμόν. Ἔγραψα τοίνυν, Εὔθετοι.

Εὔφθαρτοι.] Ἔτρεψα τὸ Δύσφθαρτοι εἰς τὸ Εὔφθαρτοι· τοιοῦτοι γὰρ οἱ θαλάσσιοι παραβαλλόμενοι πρὸς τοὺς χερσαίους κοχλίας, ὥσπερ καὶ Διοσκορίδης (ἴδ. ἀνωτέρ. σελ. 134) εὐεκκρίτους αὐτοὺς εἴρηκεν.

Κοῦφοι παρὰ τοὺς χερσαίους.] Τουτέςι κουφότεροι τῶν χερσαίων.

Ἰχθυωδέςεροι.] Τουτέςι μᾶλλον τῶν χερσαίων ἰχθύος φύσιν καὶ χυμὸν ἔχοντες κατὰ τὴν προσφοράν· οὕτως γὰρ προήρηται γράφειν, ἀντὶ τοῦ Ἰσχυρότεροι τῶν πρὸ τῆς ἐμῆς ἐκδόσεων· τὸ γὰρ ἰσχυρὸν ἀντίκειται τῷ μαλακῷ, ὃ καλῶς συνάπτεται τῷ ἰχθυώδει, ὥσπερ εἴρηκε καὶ ἀνωτέρω (τμ. μζ΄) παραπλησίως τούτοις περὶ τῶν πυθμένων τῶν πορφυρῶν.

Κοχλίαι δύσπεπτοι.] Εἰς οὐδὲν χρήσιμος ὧδε ἡ τοῦ τῶν κοχλιῶν ὀνόματος ἐπανάληψις οὖσα, ὑπονοεῖν παρέχει, μήποτε ἐξερρύη τι τοῦ χωρίου, τῆς ἀρχαίας γραφῆς οὕτως ἴσως ἐχούσης, Κοχλίαι χερσαῖοι δύσπεπτοι, ἵνα συνάδῃ τῷ Διοσκορίδῃ λέγοντι τοὺς χερσαίους κοχλίας εὐσομάχους τε καὶ δυσφθάρτους εἶναι (ἴδ. ἀνωτέρ. σελ. 134).

ΠΑΡΑΦΡΑΚΤΙΚΟΙ, ΟΞΕΙ κ. τ. λ.] Τὸ Παραφρακτικοὶ εἴη ἂν ἐνθάδε, εἰ ὅλως σημαίνει τι, ἴσον τῷ, Μικρὸν, ἢ ὀλίγον, ἐμφρακτικοί. Ἴσως ἡ γνησία Ξενοκράτους γραφὴ ἦν, ΠΑΡΟΡΜΗΤΙΚΟΙ ΟΡΕΞΕΩΣ, ΟΞΕΙ κ. τ. λ. τουτέςι, παρορμῶσιν εἰς ὄρεξιν ἐσθιόμενοι μετ' ὄξους καὶ ὀποῦ καὶ νάπυος· ὥσπερ κἀν τοῖς ἑξῆς (τμ. οη΄) ἐρεῖ περὶ τῶν θυννείων ταρίχων, Παρορμητικὰ ὀρέξεως, νάπυος παραπλοκῇ. Εἰ δὲ μὴ οὕτως, γραπτέον, καθὰ πάλαι διώρθουν, ΤΑΡΑΚΤΙΚΟΙ, ΟΞΕΙ κ. τ. λ. τουτέςιν ὑπακτικοὶ τῆς γαςρὸς, ἐσθιόμενοι μετ' ὄξους καὶ τῶν λοιπῶν, ἢ μᾶλλον ὁ ἀπ' αὐτῶν χυλὸς σκευασθεὶς οὕτως εἰς ζωμὸν, ὥς φησι Γαληνός.

Ὄξει καὶ ὀπῷ ἢ νάπυϊ ἐσθιόμενοι.] Ἡ μὲν τῶν πρὸ τῆς ἐμῆς δύο ἐκδόσεων γραφὴ, Ὄξει καὶ ὀπῷ ποιῇ ἵνα ἐσθιόμενοι, καὶ βάρβαρος καὶ παντάπασιν ἄπορος· ἡ δὲ τῆς κατὰ Μόσχαν ἐκδόσεως, Ὄξει καὶ ὀπῷ ΙΝΑ ΠΟΙΗ ἐσθιόμενοι, οὐδὲν μᾶλλον οὖσα χρηςὴ, τοῦτό γε χρηςὸν ἔσχηκεν, ὅτι με εἰς τὴν γνησίαν Ξενοκράτους γραφὴν ἐχειραγώγησεν, Ὄξει καὶ ὀπῷ, Ἢ ΝΑΠΥΪ, ἐσθιόμενοι.

ν΄. Λεπάδες.] Οἱ μὲν τῶν Φωκαέων ἄποικοι Μασσαλιῶται ἔτι καὶ νῦν τῷ αὐτῷ ὀνόματι Lepada καλοῦσι τὸ ὀςρακόδερμον τόδε· ἡμεῖς δὲ Πατελίδα, ὡς φέρεται παρὰ τῷ σχολιαςῇ τοῦ Ὀππιανοῦ (Ἁλιευτ. Α, 138), ἢ μᾶλλον, Πεταλίδα, ὡς γράφεται ἐν τοῖς τοῦ Βελλωνίου (σελ. 392), οὐ παρὰ Ῥωμαίων εἰληφότες (διὰ τοῦ Patella γὰρ ἡρμήνευσεν ὁ Θεόδωρος τὴν λεπάδα), ἀλλὰ πολλῷ μᾶλλον ἀμφοτέρων τῶν ὀνομάτων τὸ ἀναπεπταμένον καὶ ἐκπέταλον τοῦ ὀςράκου δηλούντων. Ἐπεὶ παρ' ἐκείνοις ἡ Patella ὥσπερ καὶ ἡ Patina, τὴν

συγγενῶς τῇ λεπάδι καλουμένην λοπάδα, τρυβλίον καὶ αὐτὴν οὖσαν ἐκπέταλον, κυρίως σημαίνει. Αἱ λεπάδες οὕτως ἰσχυρῶς προσκολλῶνται ταῖς πέτραις, ὥςε, καθά φησιν Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. ς', 55) « Οὐκ ἂν ἀποσπάσκις αὐτὰς, οὐδ' εἰ λάβοις δακτύλοις τοῦ Μίλωνος... » ξυομένη δὲ σιδήρῳ σχίζεται ἀπὸ τῆς πέτρας ὀψέ ». Ταύτην αἰνιττόμενος ὁ κωμικὸς τοῦ ζώου τὴν ἰδιότητα, ἔσκωψέ τι (Πλούτ. 1095) γραΐδιον μὴ καθ' ἡλικίαν νεανιευόμενον,

Ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γράδιον,
Ὥσπερ λεπάς, τῷ μειρακίῳ προσίσχεται.

Ἔν τισι δὲ μείζους.] Προσέθηκα τὸν σύνδεσμον, ὃν ἐξέφρασε καὶ ὁ Λατῖνος μεταφραστής.

Σκληραὶ δ' ἄλλως καὶ ΟΛΙΓΟΧΥΜΟΙ, δυσκατέργαστοί τε καὶ δυσέκκριτοι· ἐφθαὶ δὲ συναρτυόμεναι, ΕΥΣΤΟΜΟΙ.] Παραβάλλων ταῦτα οἷς φησι Δίφιλος (παρ' Ἀθην. σελ. 91), οὐδέτερα ἀναμαρτήτως ἂν ὑπολάβοις γεγράφθαι. Λέγει δὲ ἐκεῖνος· « Τῶν λεπάδων τινὲς μέν εἰσι » μικραὶ, τινὲς δὲ καὶ ὀστρέοις ἐοικυῖαι. Εἰσὶ δὲ σκληραὶ καὶ ὀλιγό» χυλοι, καὶ οὐκ ἄγαν δριμεῖαι· ΕΥΣΤΟΜΟΙ ΔΕ ΚΑΙ ΕΥΚΑΤΕΡΓΑ» ΣΤΟΙ. Ἐφθαὶ δὲ, ποσῶς ΕΥΣΤΟΜΟΙ ». Ἴσως ἐςὶν ἑκάτερον ἐκ θατέρου διορθοῦν, παρὰ μὲν τῷ Ξενοκράτει γράφοντας, ὀλιγόχυλοι, παρὰ τῷ Διφίλῳ δὲ, ΕΥΣΤΟΜΟΙ ΤΕ ΚΑΙ ΔΥΣΚΑΤΕΡΓΑΣΤΟΙ, (ὡς διώρθουν πάλαι), παρ' ἀμφοτέροις δὲ, μεταποιοῦντας τὴν τελευταίαν λέξιν εἰς τὸ ΕΥΣΤΟΜΑΧΟΙ. Λείπεται δέ τις ἀπορία ἐν τῷ τοῦ Ξενοκράτους Συναρτυόμεναι· ἡ γὰρ πρόθεσις ὑπονοεῖν παρέχει μήποτε τῶν γραψάντων ἀβλεψίᾳ ἐξερρύη τοῦ χωρίου τὸ ὄνομα τοῦ ᾧ παραγγέλλει συναρτύειν τὰς λεπάδας, ὃν τρόπον ἐν τοῖς ἑξῆς (τμ. νή) ἐρεῖ περὶ τῶν τηθέων, « Ὀπῷ τε Κυρηναϊκῷ καὶ πηγάνῳ, ἅλμῃ τε καὶ ὄξει συναρτύεται ». Ἴσως οὖν κάνταῦθα ἐγέγραπτο, Ἐφθαὶ δ' ὄξει συναρτυόμεναι.

νά. Μύακες.] Τῶν μυῶν (τῶν παρ' ἡμῖν ὀνομαζομένων νῦν Μυδίων, κατὰ συγκοπὴν τοῦ ὑποκοριστικοῦ Μυΐδίων) οἱ μέγιστοι ἐκαλοῦντο Μύακες ἐπιτατικῶς, ὥσπερ λέγομεν καὶ Πλούτακας τοὺς μέγα πλουσίους.

Ἁλμυροὶ, βρομώδεις... ταρακτικοὶ δὲ κοιλίας καὶ διουρητικοὶ, οὐκ εὔσομοι, δύσπεπτοι, ἐμφρακτικοὶ, παχέος αἵματος φλέγματός τε γόνιμοι... δυσδιαχώρητοι, πολύδιψοι, βαρεῖς... Τμ. νϐ'. Μυΐσκαι σρογγυλώτεραι μέν εἰσι μυάκων, μικρότεραι δὲ καὶ δασεῖαι, ὄσρακά τε λεπτὰ φέ-

ρουσαι, τὰς σάρκας τε ἁπαλώτεραι καὶ γλυκύτεραι, τοὺς χυμοὺς διαφορώτεραι. Οἱ αὐτοὶ ἀτροφώτεροι, δηκτικοὶ σόματος καὶ φάρυγγος, ἀναδάκνοντες τὴν κατάποσιν, καὶ τὴν φωνὴν δασύνοντες, ἢ ἀποκόπτοντες, τῶν πολλοὺς φαγόντων, ξηρᾶς τε κινητικοὶ βηχὸς καὶ βράγχης. Οὐκ ἀγαθοὶ δὲ οἱ ἀμμώδεις, ἢ ἐν ὀςράκοις κεραμίων, οἵ τε ἀπὸ τῶν πετρῶν ἢ φυκίων· δριμεῖς γὰρ οἵδε.] Ἁπάσας τὰς ὑπὸ Ξενοκράτους παραδεδομένας τῶν μυάκων δυνάμεις ἐπαναλαβεῖν ἐνθάδε δεῖν ἔγνων, ἵνα μᾶλλον καταφανὴς γένηται ἡ πρὸς τὰς ἐκτεθείσας ὑπὸ τοῦ Πλινίου ἐναντίωσις. Ὅτι μὲν οὖν ὁ πάνθ', ὡς εἰπεῖν, ἐξ Ἑλλήνων παρειληφὼς Πλίνιος, ἐναντία πολλάκις τοῖς Ἕλλησι λέγει, ἢ μὴ συνεὶς αὐτοὺς, ἢ κακῶς εἰς ἓν συμφορήσας τὰς ὑπ' ἐκείνων διαφόροις ὑποκειμένοις διαφόρους παρὰ τόπους καὶ χρόνους ἀνατεθείσας ἰδιότητας, δῆλόν ἐςι τοῖς ὁπωσοῦν σπουδάσασι περὶ τὰ τοιαῦτα. Ἀλλ' οὐδὲν οὐδαμοῦ τῶν τοῦ Πλινίου βιβλίων εὑρήσει τις, οἶμαι, ἐπὶ τοσοῦτον ἐκείνων ἐξηλλαγμένον, ὥσπερ ἃ λέγει περὶ μυάκων, Purgant et MYACES... acervantur muricum modo, vivuntque in algosis, gratissimi autumno, et ubi multa dulcis aqua miscetur mari, ob id in Ægypto laudatissimi. Procedente hyeme amaritudinem trahunt, colorem que rubrum. Horum jus traditur alvum et vesicas (*γρ.* vesicam) exinanire, interanea destringere, omnia adaperire, renes purgare, sanguinem adipemque minuere... Fauces tantum vexant, vocemque obtundunt... Degenerant in duas species : in MITULOS, qui salem virusque resipiunt; MYISCAS, quæ rotunditate differunt, minores aliquanto atque hirtæ, tenuioribus testis, carne duriores (*Plin. lib. XXXII, cap.* 9). Ταῦτα ὁ Πλίνιος· καὶ πρῶτον μὲν ἐρευνήσωμεν αὐτῶν ἃ συνᾴδει τῷ Ξενοκράτει. Ἁλμυροὺς καὶ βρομώδεις εἴρηκε Ξενοκράτης τοὺς μύακας· τοῦτο Πλίνιος τοῖς Μίτλοις (ὀνομάσω γὰρ οὕτως ὥσπερ ὠνόμασε καὶ Ἀθήναιος, σελ. 85) προσέθεικε, mitulos, qui salem virusque resipiunt. Ταρακτικοὺς κοιλίας καὶ διουρητικοὺς, ὁ Ξενοκράτης· alvum et vesicam exinanire ὁ Πλίνιος. Τὰς Μυΐσκας, στρογγυλωτέρας μικροτέρας τε τῶν μυάκων, δασείας, λεπτὰ φερούσας ὄςρακα, ἁπαλωτέρας τε καὶ γλυκυτέρας, ὁ Ξενοκράτης· τὰ αὐτὰ κατὰ λέξειν εὑρήσεις καὶ παρὰ Πλινίῳ, Myïscas, quæ rotunditate differunt, minores aliquanto atque hirtæ, tenuioribus testis, carne *duriores*, ἐὰν μόνον τὴν τελευταίαν ταύτην λέξιν τρέψῃς εἰς τὸ *dulciores*, καθὰ παρήνεσαν

οἱ κριτικοί. Δηκτικοὺς ὀσμάτος καὶ φάρυγγος, ἀναδάκνοντας τὴν κατάποσιν, καὶ τὴν φωνὴν δασύνοντας ἢ ἀποκόπτοντας κ. τ. λ. ὁ Ξενοκράτης· τὰ αὐτὰ βραχυτέρως μέν, ὁμοφώνως δέ, καὶ ὁ Πλίνιος, fauces tantum vexant, vocemque obtundunt. Καὶ ταῦτα μὲν τὰ συνάδοντα. Τῶν δὲ διαφωνουμένων ἐστὶ τὸ, Ἐμφρακτικοί, παχέος αἵματος φλέγματός τε γόνιμοι, ᾧ Πλίνιος ἅπαν τοὐναντίον ἀντιβάλλει, interanea destringere, omnia adaperire, renes purgare, sanguinem adipemque minuere, τουτέστιν, ἐντέρων ἀποσμηκτικοί, πάντων ἐκφρακτικοί, νεφρῶν καθαρτικοί, αἵματος καὶ πιμελῆς μειωτικοί· ἔνθα παροδικῶς σημειωτέον, ὅτι ἀντὶ τοῦ omnia adaperire πάντων ἐκφρακτικοί, ἴσως ἐγράφετο omenta adaperire ἐπιπλόων ἐκφρακτικοί. Ἀλλὰ τοῦτο μὲν ἐάσθω ὡς ἔχει· ἐκεῖνο δὲ ἀπορώτερον, πόθεν εἴληφεν αὐτὰ ὁ Πλίνιος, ἐπεὶ οὔτ' ἐν οἷς μετ' ὀλίγα παραθήσομαι ἔκ τε τοῦ Ἱκεσίου καὶ τοῦ Διφίλου εὕρηται, καὶ τοῖς τοῦ Ξενοκράτους ἐκ διαμέτρου ἀντιφέρεται. Οὐδ' ἔστιν εἰπεῖν, ὡς συνάδειν αὐτὸν ποιήσομεν τῷ Ξενοκράτει, τὸ παρὰ τούτῳ ἐμφρακτικοὶ τρέψαντες εἰς τὸ ἐκφρακτικοί· οὐ γὰρ ἐνδέχεται τοιαύτην τροπὴν τὰ ἑπόμενα. Λείπεται τοίνυν ὑποθέσθαι τὸν Πλίνιον ὄντως τοιαύτῃ γραφῇ (ἐκφρακτικοὶ) ἐντυχεῖν, ἀναγνόντα πρὸς τούτοις προπαροξυτόνως πάχεος, ἢ συνηρημένως πάχους (τουτέστι πιμελῆς), ἀντὶ τοῦ παχέος, τουτέστι πιμελώδους, καὶ ἄλλο τι, οὐκ οἶδ' ὁποῖον, ἀντὶ τοῦ γόνιμοι· εἶτα δὲ καὶ συγχέαι τὰς δυνάμεις τῶν μυάκων καὶ τῶν μυϊσκῶν, οὐδ' αὐτοῦ Ξενοκράτους παντάπασιν ὄντος ἀναιτίου τῆς τοιαύτης συγχύσεως. Καὶ τοῦτο μέν ἐστι τὸ πρῶτον τῶν διαφωνουμένων· ἕτερον δὲ τὸ ἑξῆς. Ξενοκράτης μὲν ἀποδοκιμάζων, τοὺς ἀμμώδεις, καὶ τοὺς ἐν ὀστράκοις κεραμίων, ἢ πέτραις ἢ φυκίοις φυομένους μύακας, ἐμφαίνεταί πως χώραν ἀπολείπων τοῖς πηλώδεσιν, ὥσπερ ὀνομάζει αὐτοὺς ὁ Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. ε, 13, § 9, σελ. 208 ἐκδ. Σνειδήρ.), τουτέστι τοῖς ἐν ἰλύϊ φυομένοις. Πλίνιος δὲ δῆλός ἐστιν οὐκ ἀποδοκιμάζων τοὺς ἐν τοῖς φυκίοις τῷ φάναι πάντας ἐν αὐτοῖς γίγνεσθαι, vivuntque in algosis. Προσίθει τοῖς διαφωνουμένοις καὶ τὸ ἐν Αἰγύπτῳ γίνεσθαι τοὺς ἀρίστους μύακας, οὐχ ὡς οὕτως ἔχειν ἀδύνατον ὄν, ἀλλ' ὡς ἐνδεχόμενον ἐκ τοῦ προσεχοῦς τμήματος τὸ περὶ ὀστρέων εἰρημένον τῷ Ξενοκράτει, ῥεμβασμῷ τινι διανοίας, εἰς τὸ περὶ μυάκων μετενεγκεῖν τὸν Πλίνιον· ὃ γὰρ λέγει, ubi multa dulcis aqua miscetur mari, ob id in Ægypto laudatissimi, οὐδὲν ἄλλ' ἐστὶν ἢ λεξικὴ μετάφρασις τοῦ περὶ ὀστρέων

εἰρημένου, ἐπικιρναμένῃ γλυκέσι θαλάσσῃ... Διὸ κάλλιστα τὰ κατὰ τὰς ἐκβολὰς τοῦ Νείλου ἐν Αἰγύπτῳ. Καὶ Ξενοκράτης μὲν παρέλιπεν ὅλως τὸ δηλῶσαι τὸν τόπον, ἔνθα γίνονται οἱ ἄριστοι μύες· τῶν ἄλλων δὲ, ὁ μὲν Ἰκέσιος καὶ ὁ Δίφιλος τοὺς Ἐφεσίους ἐπαινοῦσι, Διοσκορίδης δὲ τοὺς Ποντικούς. Καὶ ταῦτα μὲν περὶ τῆς διαφωνίας τοῦ Πλινίου. Ὥρα δὲ καὶ τὰ ἐπὶ μέρους τοῦ κειμένου ἐξετάσαι συμπληρώσαντας πρῶτον τοῦ περὶ μυάκων τμήματος τὰς διορθώσεις.

Νάπυϊ, εὐζώμῳ, καρδάμῳ.] Ἀντὶ τοῦ ἐν δυσὶ λέξεσι τῶν πρὸ ἐμοῦ, Νάπυϊ, εὐζώμῳ· τὸ γὰρ καρδάμῳ διάφορον ἡγήσαντο γραφὴν τοῦ Εὐζώμῳ. Ἡμῖν δὲ μᾶλλον ἤρεσεν ὡς τρίτον ὄνομα ἐξερύνηκὸς ἀναλαβεῖν εἰς τὸ κείμενον. Τῶν δριμέων γὰρ καὶ τὸ κάρδαμον, ὥσπερ καὶ τὸ εὔζωμον καὶ τὸ νάπυ, Ξενοκράτης τε πλεῖσα πολλάκις τῶν τοιούτων μνημονεύει, ἵν' ᾖ χρῆσθαι ἑνί γέ τινι τούτων τῷ παρόντι, ἢ τῷ μάλιστα εὐπορίστῳ.

Ἧττον ὄντες βρομώδεις.] Εἰς τοῦτο μετεποίησα τὸ πρὸ ἐμοῦ, Ἧττον τοὺς βρομώδους.

Στρομβώδεσι.] Ἔγραψα στρομβώδεσι, ὡς καὶ πάλαι διώρθουν, συμφώνως τῇ Λατινικῇ μεταφράσει (turbinati), ἀντὶ τοῦ Τρομμώδεσι. Στρομβώδη δ' ἐκάλουν τῶν μονοθύρων τὰ ἑλικοειδῶς στρεπτά.

νδ'. Μυΐσκαι, στρογγυλώτεραι μέν εἰσι μυάκων.] Τὸ μὲν Μυάκων ἐκ διαφόρων ἐστὶ γραφῶν, ἀντὶ τοῦ Μυῶν· διὰ τί δὲ καὶ Μυΐσκαι στρογγυλώτεραι ἔγραψα ἀντὶ τοῦ, Μύες καὶ στρογγυλώτεραι, αὐτίκα δηλώσω, παραβαλὼν πρῶτον αἷς φησὶ Ξενοκράτης μυῶν δυνάμεσι, τὰς ὑφ' ἑτέρων παραδεδομένας. Κατὰ μὲν οὖν τὸν Ἰκέσιον (παρ' Ἀθην. σελ. 87) « Τῶν μυῶν, οἱ μὲν Ἐφέσιοι, καὶ οἱ τούτοις » ὅμοιοι, τῇ εὐχυλίᾳ τῶν μὲν κτενῶν βελτίους, τῶν δὲ χημῶν λει- » πόμενοι· οὐρητικώτεροι δὲ μᾶλλον, ἢ ἐπὶ τὴν κοιλίαν φερόμενοι. » Εἰσὶ δ' αὐτῶν ἔνιοι καὶ σκιλλώδεις, κακόχυλοί τε καὶ πρὸς τὴν » γεῦσιν ἀπειθεῖς. Οἱ δ' ἐλάσσονες τούτων, καὶ δασεῖς ἔξωθεν, οὐ- » ρητικώτεροι μέν εἰσι καὶ εὐχυλώτεροι τῶν σκιλλωδῶν· ἀτροφώτεροι » δὲ, διά τε τὸ μέγεθος, καὶ τῷ γένει ὄντες τοιοῦτοι ». Κατὰ δὲ τὸν Δίφιλον (παρὰ τῷ αὐτ. σελ. 90), « Οἱ μύες μέσως εἰσὶ τρόφιμοι, » διαχωρητικοὶ, οὐρητικοί· κράτιστοι δὲ οἱ Ἐφέσιοι, καὶ τούτων οἱ » φθινοπωρινοί. ΑΙ ΔΕ ΜΥΕΣ, ΚΑΙ τῶν μυῶν οὖσαι μικρότεραι, » γλυκεῖαί τε καὶ εὔχυλοί εἰσι, καὶ προσέτι καὶ τρόφιμοι ». Ἔνθα σημειωτέον πρῶτον μέν, ὅτι οὐθέτερος τούτων ἐμνημόνευσε Μυάκων, ὥσπερ Ξενοκράτης, καὶ Διοσκορίδης, καὶ Γαληνός. Ὁ μὲν γὰρ Διοσκορίδης

(Β, 7) φησὶ, « Μύακες διαφέρουσιν οἱ Ποντικοί... Ἡ δὲ σὰρξ αὐτῶν » κυνοδήκτοις ἐπιτίθεται ὠφελίμως », Μυῶν οὐδ' ὅλως μνημονεύσας. Γαληνὸς δὲ (Περὶ τῆς τῶν ἁπλ. φαρμάκ. δυνάμ. ιά, σελ. 142) τὴν ἐπιτιθεμένην τοῖς ὑπὸ κυνὸς γεγονόσιν ἕλκεσι τῶν μυάκων σάρκα οὐδεμίαν ἐξαίρετον δύναμιν ἔχειν εἰκότως ὁρισάμενος, οὐδ' αὐτὸς Μυῶν ἐμνημόνευσεν. Ἔπειθ', ὅτι μόνος ὁ Δίφιλος ἀῤῥένων καὶ θηλειῶν μνημονεύει μυῶν· ὅπερ ἄτοπον ἔδοξε τοῖς νεωτέροις, οἰομένοις πιθανῶς πάνυ τοὺς μύας ἅπαντας ἑρμαφροδίτους εἶναι. Ἀλλ' οὐδὲν ὅλως τοιοῦτον εἰρηκότες φανήσονται, οὔτε Δίφιλος, οὔτε Ξενοκράτης, εἰ παρὰ μὲν τούτῳ γράφοις, ὥσπερ ἔγραψα, « ΜΥΐΣΚΑΙ γρογγυλότεραι » ἀντὶ τοῦ, « ΜΎΕΣ ΚΑΙ γρογγυλώτεραι » παρὰ δὲ τῷ Διφίλῳ, « Αἱ ΔΕ » ΜΥΐΣΚΑΙ, τῶν μυῶν οὖσαι μικρότεραι ». Αἱ Μυΐσκαι τοίνυν (ἃς ἕτεροι ἀρσενικῶς Μυΐσκους ὠνόμασαν) ὄνομα κοινοῦ γένους ἐστὶν, ὥσπερ ἡ Κνίδη, ἡ Χήμη, ἡ Πορφύρα, οὐδὲν μᾶλλον τὴν θήλειαν τοῦ ζώου σημαῖνον, ἢ ὁ μῦς ἢ μύαξ, τὸν ἄῤῥενα. Ταύτας ὁ μὲν Δίφιλος Μυΐσκας, ὥσπερ καὶ Ξενοκράτης ὠνόμασεν, Ἰκέσιος δὲ Ἐλάσσονας μύας, τοὺς Μύακας, οὗτος μὲν ὑπὸ τῷ τῶν Μειζόνων μυῶν ὀνόματι τάξας, ἐκεῖνος δὲ Μύας ἁπλῶς ὀνομάσας. Οὐκ ἔφθην ἀμφότερα τὰ χωρία ταῦτα διωρθωκὼς, τὸ τοῦ Ξενοκράτους φημὶ καὶ τὸ τοῦ Διφίλου, καὶ ἔγνων ὅτι καὶ Σνεϊδέρος ἐν τῷ Πίνακι ὧν ἐξέδωκε Ῥωμαϊκῶν γεωπονικῶν (λέξ. *Mituli*, Τόμ. 4, σελ. 253) τὰς αὐτὰς ἐμοὶ παρηνέγκει διορθώσεις· πλὴν ὅτι ἐκεῖνος, παραθέμενος ἃ καὶ ἡμεῖς ἀνωτέρω (σελ. 138) παρεθέμεθα ἐκ τοῦ Πλινίου, ἀπορεῖ, μήποτε παρὰ τῷ Πλινίῳ γραπτέον Myïscos, καὶ παρὰ τῷ Ξενοκράτει Μυΐσκοι, ἀντὶ τοῦ θηλυκοῦ Μυΐσκαι, διὰ τὸ ἀλλαχοῦ τὸν αὐτὸν τοῦτον Πλίνιον ἀρσενικῶς προενεγκεῖν τοὔνομα, Mys, mitulus, myïscus (*Plin. lib. XXXII, cap.* 11). Ἀλλ' εἰ παρὰ τῷ Ξενοκράτει γραπτέον οὕτως, χρὴ καὶ εἰς τὰ τοῦ Διφίλου τὴν αὐτὴν εἰσενεγκεῖν γραφὴν, ἣν ἀποσῴζεται τὰ παρ' ἑκατέρῳ ἑπόμενα θηλυκοῦ γένους ἐπίθετα. Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς Πλίνιος θηλυκῷ ἐπιθέτῳ hirtæ τὸ τοῦ Ξενοκράτους δασεῖαι ἡρμήνευσεν. Εἰ δὲ ἀλλαχοῦ καὶ Μυΐσκους ὠνόμασε τὰς Μυΐσκας, ὑποληπτέον, ὅτι ἀδιαφόρως ἐχρῶντο ἀμφοτέροις τοῖς ὀνόμασιν· ἐπεὶ οὐδὲν ἧττον ἄπορόν ἐστι διά τί καὶ Μύας (Mys) ἐκάλεσεν, οὓς πρότερον Μύακας εἴρηκε.

Δασεῖαι, ὄσρακά τε λεπτὰ φέρουσαι, τὰς σάρκας τε ἁπαλώτεραι καὶ γλυκύτεραι, τοὺς χυμοὺς κ. τ. λ.] Ἔταξα τὰς λέξεις, ὥσπερ εἰσὶ τεταγμέναι ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει, ἀντὶ τῆς παρὰ τοῖς λοιποῖς

ἀτάκτου ταύτης γραφῆς καὶ ςίξεως, Δασεῖαι. Τὰς σάρκας τε ἁπαλώτεραι καὶ γλυκύτεραι, ὅςρακά τε λεπτὰ φέρουσαι, τοὺς χυμούς.

Οἱ αὐτοὶ ἀτροφώτεροι.] Ὁ κατὰ Μόσχαν ἐκδότης τὰς τρεῖς ταύτας λέξεις λείπειν μὲν φησὶν ἐν τῷ κειμένῳ τοῦ ἰδίου ἀντιγράφου, προσγεγράφθαι δ' ἔξωθέν ὡς διόρθωσιν. Καὶ ἔςι μὲν χειρίςη ἡ διόρθωσις· καὶ παραλειφθείσης μέντοι οὐδὲν μᾶλλον συναρτηθήσεται τὰ ἑπόμενα τοῖς ἡγουμένοις, διὰ τὴν διαφορὰν τοῦ γένους. Τούτοις προςίθει, ὅτι, εἰ μὲν τὰς μυΐσκας, τουτέςι τοὺς ἐλάσσονας μύας, ἀτροφωτέρους λέγει, συνᾴδει μὲν τῷ Ἱκεσίῳ, διαφωνεῖ δὲ πρὸς τὸν Δίφιλον, καὶ αὐτὸς δὲ ἑαυτῷ ἀντιφάσκει, ἃς πρὸ μικροῦ γλυκυτέρας εἴρηκε, νῦν σηκτικὰς σόματος καὶ φάρυγγος εἶναι λέγων. Ἴσως ἀντὶ τοῦ, ΟΙ ΑΥ̓ΤΟΙ, γραπτέον ΟΙ ΛΟΙΠΟΙ· ἴσως καὶ ὅλον τοῦτο τὸ μέρος τοῦ κειμένου μέχρι τοῦ Βράγχης, ἀβλεψίᾳ τῶν γραψάντων ἐξετοπίσθη τῆς οἰκείας χώρας, δέον ἀμέσως μετὰ τὸ ἀνωτέρω (τμ. νά), καρδάμῳ, ἢ γοῦν μετὰ τὸ Στρομβώδεσι, γεγράφθαι.

Βράγχης.] Ἐκ τῆς κατὰ Μόσχαν ἐκδόσεως τοὔνομα, ἀντὶ τοῦ ἐν τοῖς λοιποῖς φερομένου Βροχῆς. Ὁ βράγχος, Τὸ βράγχος, ἢ Ἡ βράγχη (τριγενῶς γὰρ λέγεται), ἐςὶ τὸ ἐν τῇ συνηθείᾳ Βραχνίασμα, ῥηματικὸν τοῦ Βραχνιάζω, ὅπερ οἱ ἀρχαῖοι Βραγχιάω καὶ Βραγχάω ἔλεγον. Ὅθεν διορθωτέον τὸν Ἡσύχιον « Βράγχοντος, βρόχοις » ἁλόντος.—Βραγχῶν, φλεγμῶν ἢ πνευμόνων », τρέποντας εἰς τὸ, « Βραγχῶντος, βράγχοις ἁλόντος.—Βράγχον, φλεγμονὴν πνευμόνων ».

Ἢ ἐν ὀςράκοις κεραμίων, οἵ τε ἀπὸ τῶν πετρῶν κ. τ. λ.] Εἰς τοῦτ' ἔτρεψα τὸ παρ' ἅπασιν Ἢ ὀςράκοισι κεραμέων, τούς τε ἀπὸ τῶν πετρῶν. Ὁ δὲ Σνειδέρος παρήνει γράφειν, Ἢ ἐπ' ὀςράκοισι κεραμέων, οὔτε οἱ ἀπὸ τῶν πετρῶν. Καὶ τοῦτο μὲν ἀδιάφορον· προσέδοξε δέ μοι καὶ κεραμίων γράφειν ἀντὶ τοῦ κεραμέων· » Κεράμιον τὸ τοῦ οἴνου ἢ ὕδατος χαμνίον » φησὶν Ἡσύχιος. Οὐδὲν γὰρ πρὸς ἔπος ἐνθάδε οἱ κεραμεῖς. Τὰ δὲ κεράμια, ἀγγεῖα ἐκ πηλοῦ εἰσι, ὧν τοῖς ὀςράκοις, τουτέςι τοῖς κλάσμασι, τοῖς ἐκ τῶν παραθαλασσίων πόλεων, καὶ τῶν ἐν αὐταῖς ὁρμιζομένων νηῶν ῥιπτομένοις εἰς θάλασσαν, ἐπιφύονται ὀςρακοδέρμων γένη διάφορα· οἷόν ἐςιν ὃ φησιν Ἀριςοτέλης περὶ τοῦ Ῥοδίων λιμένος (Περὶ ζ. γενέσ. Γ, 11), « Παρα- » βαλόντος ναυτικοῦ ςόλου, καὶ ἐμβληθέντων (γρ. ἐκβληθέντων) κε- » ραμίων εἰς τὴν θάλασσαν, χρόνου γενομένου, καὶ βορβόρου περὶ » αὐτὰ συναλισθέντος, ὅςρεα εὑρίσκονται (γρ. εὑρίσκοντο) ἐν αὐτοῖς ».

νγ'. Ὄσρεα τὰ πελάγια... ὑπὸ ἡλίου.] Κατὰ λέξιν σχεδὸν ὁ Πλίνιος ἡρμήνευσε ταῦτα, Ostrea... pelagia parva et rara sunt... Grandescunt... ubi sol penetret in vada. Hæc videtur causa, quare minora in alto reperiantur (*Plin. XXXII*, 6). Τὰ δὲ ὄσρεα ἐκαλεῖτο Ἀττικώτερον ὄσρεια· «Ὄσρεια, σὺν τῷ τ μᾶλλον» φησὶν ὁ Φώτιος. Ὅθεν τὸ ἐν τῇ συνηθείᾳ καθ' ὑποκοριστικὸν τύπον, Ὀσρείδια. Οὕτως δ' ἐκλήθησαν κατ' ἐξοχήν, ὡς ἄρισα, ἢ γοῦν μάλισα σπουδαζόμενα, τῶν συνωνύμως τοῖς ὀστρακοδέρμοις καλουμένων ὀστρέων.

Χαίρει γὰρ ἐπικερναμένῃ γλυκέσι θαλάσσῃ.] Εἰς τοῦτο ἔτρεψα τὸ ἀδιανόητον, Χαίρει γὰρ ἐπικιρνάμενον γλυκέσι κράσει. Ὁ Δίφιλος (παρὰ τῷ Ἀθην. σελ. 92) «Τὰ δὲ ὄσρεα (φησὶ) γεννᾶται » μὲν καὶ ἐν ποταμοῖς, καὶ ἐν λίμναις, καὶ ἐν θαλάσσῃ. Κράτιστα δὲ » τὰ θαλάττια, ὅταν λίμνη, ἢ ποταμὸς παρακέηται· γίνε» ται γὰρ εὔχυλα καὶ μείζονα καὶ γλυκύτερα. Τὰ δὲ πρὸς ἠόσι καὶ » πέτραις, ἰλύος καὶ ὕδατος ἀμιγῆ, μικρά, σκληρά, θηκτικά. Τὰ δὲ » ἐαρινὰ ὄσρεα, καὶ τὰ κατὰ τὴν τοῦ θέρους ἀρχήν, κρείσσονα, » πλήρη, θαλασσίζοντα μετὰ γλυκύτητος, εὐζόμαχα, εὐέκκριτα. Τὰ » δὲ συνεψόμενα μαλάχῃ, ἢ λαπάθῳ, ἢ ἰχθύσιν, ἢ καθ' (γρ. ἢ καὶ » καθ') αὑτὰ, τρόφιμα καὶ εὐκοίλια». Κατὰ δὲ τὸν Μνησίθεον (παρὰ τῷ αὐτ.) «Ὄσρεα καὶ κόγχαι καὶ μύες καὶ τὰ ὅμοια, τὴν μὲν σάρκα » δυσκατέργαστά ἐστι, διὰ τὴν ὑγρότητα τὴν ἐν αὐτοῖς ἁλυκήν. Διόπερ » ὠμὰ μὲν ἐσθιόμενα, κοιλίας ἐστὶν ὑπακτικὰ, διὰ τὴν ἁλυκότητα· » τὰ δὲ ἑψόμενα ἀφίησιν ἤτοι πᾶσαν ἢ τὴν πλείστην ἅλμην εἰς τὴν » συνέψουσαν αὐτὴν ὑγρότητα. Διόπερ αἱ μὲν ὑγρότητες ἐν αἷς ἂν » ἑψηθῇ τι τῶν ὀστρέων, ταρακτικαὶ καὶ ὑπακτικαὶ κοιλίας εἰσὶν· αἱ » δὲ σάρκες τῶν ἑψομένων ὀστρέων ψόφους ποιοῦσιν, ἐστερημέναι τῶν » ὑγρῶν. Τὰ δὲ ὀπτὰ τῶν ὀστρέων, ἐάν τις αὐτὰ καλῶς ὀπτήσῃ, ἁλυ» ποτάτην ἔχει διάθεσιν· πεπύρωται γάρ· διὸ οὐχ ὁμοίως τοῖς ὠμοῖς » ἐστι δύσπεπτα, καὶ τὰς ὑγρότητας ἐν αὐτοῖς ἔχει κατεξηρασμένας, » δι' ὧν ἔκλυτος ἡ κοιλία γίνεται. Τροφὴν δὲ δίδωσιν ὑγράν τε καὶ » δύσπεπτον ἅπαν ὄστρεον, καὶ πρὸς τὰς οὐρήσεις ἐστὶν οὐκ εὔοδα». Μνημονεύει δὲ ὁ Ἀθήναιος (σελ. 88) καὶ τῶν καλουμένων Ἀγρίων ὀστρέων, ἃ φησιν εἶναι πυλύτροφα, βρομώδη, καὶ τὴν γεῦσιν εὐτελῆ· καὶ εἶεν ἂν ἴσως ταῦτα τὰ παρ' ἡμῖν καλούμενα Γαδαρόποδα. Ὁ δὲ Ῥονδελέτος παρὰ τῷ Γεσνήρ. (Περὶ ἐνύδρ. σελ. 761) τὰ παρ' ἡμῖν νῦν Γαδαρόποδα, τοὺς ὑπὸ τοῦ Γαληνοῦ καὶ ὑφ' ἑτέρων καλουμένους

Σπονδύλους οἴεται εἶναι. Καὶ Τρίδακνα δέ τινα ὄγρεα ὠνομάζετο, κατὰ τὸν Πλίνιον, διὰ τὸ τηλικαῦτα τῷ μεγέθει εἶναι, ὥστε μὴ ἔχειν τὸν τρώγοντα μιᾷ φαγεῖν ἐνθέσει, ἀλλὰ τριῶν χρήζειν δήξεων, Tridacna adpellavit : tantæ amplitudinis intelligi cupiens ut ter mordenda essent (*Plin. lib. XXXII, cap.* 6). Ταῦτά φησιν ὁ Βελλώνιος (σελ. 418) ἐν τῇ ἐρυθρᾷ γεννᾶσθαι θαλάσσῃ, κατὰ τὴν Τὸρ πόλιν (ἥ ἐστιν ἡ Ῥαΐθοὺ) καὶ καλεῖσθαι ὑπὸ μὲν τῶν χυδαίων Γραικῶν Ἀγανά, ὑπὸ δὲ τῶν ἐκεῖ καλογήρων Τρίδακνα.

Κάλλιστα τὰ κατὰ τὰς ἐκβολὰς κ. τ. λ.] Τῶν καλλίστων τούτων ἐοίκασιν εἶναι καὶ ἃ ἰδίως ὠνόμαζον Καλλιβλέφαρα, Calliblephara, ὥς φησι Πλίνιος (XXXII, 6).

Ἃ εἰς καταβόλους τίθεται.] Προσέθηκα τὴν ἀντωνυμίαν ἀναγκαίαν οὖσαν εἰς τὴν συνάρτησιν· ἔστι δὲ γράφειν καὶ Οὗ, τοπικῶς, ἢ Ὅπου. Τὸ δὲ Τίθεται, ἐκ τῆς τοῦ Ματθαίου εἰκασίας, ἀντὶ τοῦ Τιθέντες. Καταβόλους (Γαλλ. Parcs) ἐνθάδε νοητέον ἐν γένει τοὺς τόπους, ἐν οἷς εἰώθασι καταβάλλειν, καὶ περιείργειν ὄγρεα, μύας, καὶ τὰ ὄμφια, ὅπου παχύνεται καὶ βελτιοῦται τὴν γεῦσιν· εἰδικῶς δὲ καὶ τὰ ἰχθυοτροφεῖα (ἴδ. ἀνωτέρ. σελ. 101), τουτέστιν ἐν οἷς τοὺς λεπιδωτοὺς ἰχθῦς καταβάλλουσι. Ὠνόμαζον δὲ αὐτοὺς καὶ, Συσάδας θαλάσσης, οἷόν ἐστι τὸ παρὰ τῷ Στράβωνι (σελ. 773) περὶ τῶν ἰχθυοφάγων Ἀράβων, « Ἔνιοι δὲ τὰς κόγχας ἐχούσας τὴν σάρκα σι-» τεύουσι, ΚΑΤΑΒΑΛΛΟΝΤΕΣ εἰς χαράδρια καὶ συσάδας θαλάττης· » εἶτ' ἰχθύδια παραῤῥιπτοῦντες τροφὴν αὐτοῖς, χρῶνται ἐν τῇ τῶν » ἰχθύων σπάνει ». Ὁ δὲ Κατάβολος τοῦ παρακμάζοντός ἐστιν ἑλληνισμοῦ, καθ' ὃν καὶ αὐτοὺς τοὺς λιμένας, ἢ τὰ ἐπίνεια, Καταβόλους ἐκάλουν. Ὁ γὰρ τοῦ Θουκυδίδου (Α, 30) σχολιαστὴς, τὸ ἐπίνειον ἑρμηνεύων φησίν· « Ἐπίνειον ἐστὶ πόλισμα παραθαλάσσιον, ἔνθα τὰ » νεώρια τῶν πόλεων... δύνασαι δὲ ἐπὶ παντὸς ἐμπορίου καὶ παρα-» θαλασσίου χρήσασθαι τῷ ὀνόματι, ὃ νῦν οἱ πολλοὶ Κατάβολον » καλοῦσι ».

Αὔξεται.] Τῷ μεγέθει, ἀλλ' οὐ τῷ πλήθει, ὥς φησιν Ἀριστοτέλης (Περὶ ζ. γενέσ. Γ, 11), « Ἐπεὶ γὰρ Χῖοί τινες ἐκ Πύῤῥας τῆς ἐν » Λέσβῳ τῶν ὀγρέων διεκόμισαν ζῶντα, καὶ εἰς τόπους τῆς θαλάσ-» σης τινὰς εὐριπώδεις καὶ βορβορώδεις ἀφίεσαν (γρ. ἀφεῖσαν), » πλείω μὲν τῷ χρόνῳ οὐδὲν ἐγένετο, τὸ δὲ μέγεθος εἰς αὔξησιν » ἐπέδωκε ». Οὕτως γὰρ γραπτέον ταῦτα, ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ.., εὐρωτιώδεις καὶ ὀμόρους... ἀπέδωκε.

Ἔαρι

Ἔαρι δὲ... χυμῷ γαλακτώδει.] Τοῦτο Πλίνιος οὕτως ἐξέφρασε, Circa initia æstatis multo lacte prægnantia (*Plin. lib. XXXII, cap.* 6).

Κατά τε πόλιν Βρεντέσιον.] Προσέθηκα τὴν πρόθεσιν καὶ τὸν σύνδεσμον, τρέψας καὶ τὸ Πάλιν εἰς τὸ Πόλιν, ἵνα σημαίνῃ τι τὸ παντάπασιν ἀδιανόητον, Πάλιν Βρεντέσιον. Τὸ δὲ Βρεντέσιον καλεῖται νῦν τοῖς Ἰταλοῖς Brindisi.

Ταρακῶνα.] Τῆς Ἰβηρίας (τῆς νῦν καλουμένης Ἱσπανίας) ἡ Ταρακών, ἢ Ταρράκων, τὰ νῦν ὑπὸ τῶν Ἱσπανῶν καλουμένη Tarragona.

Ναρβῶνα.] Πόλις Γαλλίας, Narbone ὀνομαζομένη.

Δικαιαρχίαν ἐν Λουκρίνῳ λάκκῳ.] Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 118) σημειωθέντα περὶ τῆς Δικαιαρχίας καὶ τοῦ Λουκρίνου λάκκου· οἷς προσίθει καὶ τὰ ἐκ τοῦ Στράβωνος (σελ. 245) « Ὁ δὲ Λοκρῖνος » κόλπος... ἐνορμίσασθαι μὲν ἄχρηστος, τῶν ὀστρέων δὲ θήραν ἔχων » ἀφθονωτάτην ».

Χελιδονίας.] Νῆσοι τρεῖς οὕτως καλούμεναι, ἐξαδίον ἀφεστηκυῖαι τῆς Λυκιακῆς παραλίας, ὡς φησι Στράβων (σελ. 636).

Λευκάδα.] Νῆσος παρακειμένη τῇ Ἀκαρνανίᾳ, καλουμένη κοινῶς Ἁγία Μαύρα.

Ἄκτιον.] Κατὰ τὸν Ἀμβρακικὸν κόλπον, ἐπίσημον διὰ τὴν τοῦ Αὐγούστου κατ' Ἀντωνίου νίκην. Azio καλοῦσι νῦν αὐτὸ οἱ Ἰταλοί.

Καὶ κόλπον Λιβυκὸν τοῦτον τὸν τρόπον γίνεται.] Προσέθηκα ταῦτα ἐκ διαφόρων γραφῶν διορθώσας. Λιβυκὸν δὲ κόλπον ἔοικε λέγειν τὴν τῆς Λιβύης μικρὰν λεγομένην Σύρτιν (Golfe de Gabés) καθ' ἣν Λέπτις (τανῦν Lepta) πόλις, μικρὰ καὶ αὐτὴ ἐπονομαζομένη, ὅθεν τὰ ὑπὸ τῶν παρὰ Ῥωμαίοις ὀψοφάγων ἐπαινούμενα Λεπτικὰ ὄστρεα. Τὸ δὲ, Τοῦτον τὸν τρόπον γίνεται, σημαίνει, Εἰς καταβόλους τίθεται.

νδ'. Πελωρίδες, ἢ μελανίδες, κάλλισται αἱ ἐμφερεῖς ὀστρέοις... διαχωρητικαὶ μετρίως.] Ἐκτετόπισται ἴσως καὶ τοῦθ' ὅλον τὸ κεφάλαιον, ὥσπερ καὶ τὸ ἀνωτέρω (τμ. μγ'), τῆς οἰκείας χώρας (κατωτέρ. τμ. ξ-ξά), ὅπου περὶ πελωρίδων καὶ γλυκυμαρίδων ὁ λόγος· πλὴν εἰ μή τις φαίη, διὰ τὸ ἐμφερεῖς ὀστρέοις, ὑποτετάχθαι τῷ περὶ ὀστρέων λόγῳ. Καὶ ἀνωτέρω μὲν (σελ. 116) ἐκ τοῦ Ἀθηναίου λαβόντες ἐλέγομεν ὅτι τῶν χημῶν γένος τι, αἱ Πελωρίδες, καὶ Βασιλικαὶ ἐκαλοῦντο· Μελαινίδας δὲ Σώφρων παρὰ τῷ αὐτῷ Ἀθηναίῳ (σελ. 86) ὠνόμασε τῶν κογχῶν τινας, τὰς αὐτάς, ὡς ἐοικε συλλογίσασθαι ἐκ τοῦ Ξενο-

κράτους, οὖσας ταῖς Πελωρίσιν, οὕτως δὲ κληθείσας πρὸς ἀντιδιαστολὴν τῶν λευκῶν, οἵας ἔφησεν (τμ. μγ΄) εἶναι τὰς γλυκυμαρίδας, ὥσπερ Βασιλικὰς καὶ Πελωρίδας, διὰ τὸ ὀρρέοις ἐοικέναι τὸ μέγεθος. « Αἱ δὲ πελωρίδες ὠνομάσθησαν παρὰ τὸ πελώριον· μεῖζον γάρ ἐστι » χήμης καὶ παρηλλαγμένον », φησὶν ὁ Ἀθήναιος (σελ. 92), ὃς (σελ. 90) καὶ τὴν δύναμιν αὐτῶν ἐκτίθησιν ἐκ τοῦ Ἰκεσίου· « Αἱ δὲ παχεῖαι » [χῆμαι], Βασιλικαὶ δὲ πρός τινων καλούμεναι, Πελώριαί τε λε- » γόμεναι, τρόφιμοι, δυσέκκριτοι, εὔχυλοι, εὐρόμαχοι, καὶ μάλιστα » αἱ μείζους ». Ταύτας ὁ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 316) Ὀρυκτὰς καλεῖσθαι λέγει ὑπὸ τῶν Γραικῶν, παρὰ τὸ Ὀρύσσω ἐξηγούμενος τοὔνομα, διὰ τὸ ἐξορύσσεσθαι ὑπὸ τῶν κογχυλιευτῶν ἐκ τῆς ἰλύος· ἀλλ' οἶμαι τὸν Γεσνῆρον συγκεχυκέναι τὴν λέξιν τῷ Ὀρεκταὶ ἢ Ὀρεκτικαί. Παρὰ γὰρ τῷ Φορσκωλίῳ (*Description. animal. pag. XXXI*) γένει τινὶ χημῶν πελωρίδων τῷ ὑπὸ τοῦ Λινναίου καλουμένῳ Venus gallina, ὄνομα χυδαῖον προσγέγραπται, Ὀρεχτίκες, ὅ ἐστιν Ὀρεκτικαί, τουτέστιν ὀρέξεως παρορμητικαί. Ὁ δ' αὐτὸς Φορσκώλιος τὴν μὲν τοῦ Λινναίου Venus literata, Ῥοχτικοαχιβάδα φησὶ καλεῖσθαι ὑπὸ τῶν Γραικῶν, τὴν δὲ Venus pectinata ἁπλῶς Ἀχιβάδαν, τὴν δὲ Venus verrucosa, Κιδόνια (πληθ. καὶ οὐδετέρ.).

Ἐν τέλμασιν ἰλύϊ τε βορβορώδει κ. τ. λ.] Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Ε, 15) πάντα φησὶ τὰ ὀστρακόδερμα γίνεσθαι ἐν τῇ ἰλύϊ, κατὰ τὴν διαφορὰν τῆς ἰλύος ἕτερα· ἐν μὲν τῇ βορβορώδει τὰ ὄστρεα, ἐν δὲ τῇ ἀμμώδει κόγχας καὶ χήμας καὶ σωλῆνας καὶ κτένας, περὶ δὲ τὰς σήραγγας τῶν πετρῶν τήθυα καὶ βαλάνους καὶ λεπάδας καὶ νηρίτας. Ἐμνημόνευσεν ἁπάντων τούτων ὁ Ξενοκράτης, πλὴν τῶν Νηριτῶν, οἳ καὶ Ἀναρῖται καὶ Ἀνάρται ἐκαλοῦντο, ὥς φησιν ὁ Ἀθήναιος (σελ. 86)· καὶ Νήριτοι δὲ παρ' Ἡσυχίῳ, « Νήριτος, ὁ Νηρίτης, » ὅ ἐστι κογχύλιον κοχλιῶδες, ποικίλον ». Εἰσὶ γὰρ τῶν στρομβωδῶν, ἢ δῆλον ἐκ τοῦ Ἀριστοτέλους (Περὶ ζ. μορ. Δ, 4) συγκαταλέγοντος αὐτοὺς τοῖς κήρυξι καὶ ταῖς πορφύραις. Καὶ ὁ μὲν Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 418) τοὺς νεωτέρους Ἕλληνας, ὠμοὺς φησὶ κατεσθίειν τοὺς Νηρίτας, καὶ παρορμητικοὺς ὀρέξεως εἶναι νομίζειν· ὁ Γίλλιος δὲ (Παρὰ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 739) καὶ αὐτὸ τῶν Νηριτῶν τοὔνομα σώζεσθαι παρὰ τοῖς παροικοῦσι τῷ Ἰονίῳ κόλπῳ Γραικοῖς. Καὶ ταῦτα μὲν παρεκβατικῶς περὶ τῶν Νηριτῶν· ἐπανίωμεν δ' ἐπὶ τὸ προκείμενον.

Ταύταις χρῶνται ἐζωμοποιημέναις.] Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασι

κακῶς γραφόμενον, Ταύταις χρῶ καὶ ἐζωμοποιημέναις. Αἱ δ' ἐζωμοποιημέναι εἰσὶν ἃς ἡ συνήθεια Βρασὰς καλεῖ.

νέ. Ἐκ τῶν τεναγωδῶν.] Ὥσπερ ἂν εἰ καὶ τελματωδῶν ἔλεγε. Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 95) σημειωθέντα.

Τῷ τε γὰρ μὴ βλάπτεσθαι... οἵ τε πιννοφύλακες.] Οὕτως διορθοῦν δεῖν ἔγνωκα τὸ χωρίον, προσθεὶς τοὺς δύο πρώτους συνδέσμους, Τε γάρ, ὧν τὸν μὲν δεύτερον ἐξέφρασε καὶ ὁ Λατῖνος μεταφραστής· τοῦ πρώτου δὲ ἡ παράληψις ἐπάναγκες ἀπήτει καὶ τὴν τοῦ, Οἱ δὲ, τροπὴν εἰς τὸ, Οἵ τε. Περὶ δὲ τῶν Πιννοφυλάκων, οὓς καὶ Πιννοτήρας καλοῦσι, τάδε λέγει ὁ Ἀριστοτέλης (Περι ζ. ἱστορ. Ε, 15), « Αἱ δὲ » πίνναι φύονται ἐκ τοῦ βυσσοῦ ἐν τοῖς ἀμμώδεσι καὶ βορβορώδεσι. » Ἔχουσι δ' ἐν αὐταῖς πιννοφύλακα, αἱ μὲν καρίδιον, αἱ δὲ καρ- » κίνιον· οὗ ζερισκόμεναι διαφθείρονται θᾶττον... ἐμφύονται δ' ἐν » ἐνίοις τῶν ὀστρακοδέρμων καρκίνοι λευκοὶ, τὸ μέγεθος μικροὶ πάμ- » παν, πλεῖστοι μὲν ἐν τοῖς μυσὶ τοῖς πηλώδεσι, ἔπειτα καὶ ἐν ταῖς » πίνναις οἱ καλούμενοι πιννοτῆραι. Γίγνονται δὲ καὶ ἐν τοῖς κτεσὶ » καὶ ἐν τοῖς λιμνοζρέοις· αὔξησιν δ' οὐδεμίαν οὗτοι ἐπίδηλον λαμ- » βάνουσι. Φασὶ δὲ αὐτοὺς οἱ ἁλιεῖς ἅμα συγγίγνεσθαι γιγνομένοις ». Καὶ μικρὸν ὑποβάς· « Τὸ δὲ καρκίνιον γίγνεται μὲν τὴν ἀρχὴν ἐκ τῆς » γῆς καὶ ἰλύος, εἶτα εἰς τὰ κενὰ τῶν ὀστράκων εἰσδύεται, καὶ αὐξα- » νόμενον μετεισδύνει πάλιν εἰς ἄλλο μεῖζον ὄστρακον, οἷον εἴς τε τὸ » τοῦ νηρίτου καὶ τὸ τοῦ στρόμβου καὶ τῶν ἄλλων τῶν τοιούτων· » πολλάκις δὲ καὶ εἰς τοὺς κήρυκας τοὺς μικρούς. Ὅταν δὲ εἰσδυῇ, » συμπεριφέρει τοῦτο (γρ. συμπεριφέρεται τούτῳ), καὶ ἐν τούτῳ » τρέφεται· πλὴν καὶ αὐξανόμενον πάλιν εἰς ἄλλο μετεισδύνει μεῖζον ».

Ἐν τοῖς γαληνιζομένοις εὐαγροῦσι τῇ πίννῃ.] Ἐκ τῆς κατὰ Μόσχαν ἐκδόσεως ἡ γραφὴ Γαληνιζομένοις, ἀντὶ τοῦ, ληνιζομένοις. Ὁ νοῦς, Γαληνῆς οὔσης τῆς θαλάσσης, ὁ πιννοτήρης εὐχερέστερον πορίζει τὴν ἄγραν τῇ πίννῃ. Φαίνεται γὰρ ὁ Ξενοκράτης ὁμολογεῖν τοῖς οἰομένοις τῶν ἀρχαίων τὸν Πιννοτήρην, προσιόντων ἰχθυδίων, μηνύειν τῇ πίννῃ τὴν ἄγραν· διὸ καὶ παρ' ἑτέροις οὐ Πιννοτήρης, ἀλλὰ Πιννοθήρης ὀνόματι ἀμφιβολόγῳ καλεῖται τὸ καρκίνιον. Συμβαίνει δὲ τοῦτο, ὡς φησι Χρύσιππος (παρὰ τῷ Ἀθην. σελ. 89) τὸν ἑξῆς τρόπον· « Ἡ πίννη καὶ ὁ πιννοτήρης συνεργὰ ἀλλήλοις, κατ' ἰδίαν » οὐ δυνάμενα συμμένειν. Ἡ μὲν οὖν πίννη ὄστρεόν ἐστιν· ὁ δὲ πιννο- » τήρης, καρκίνος μικρός. Καὶ ἡ πίννη διασήσασα τὸ ὄστρακον, ἡσυ- » χάζει, τηροῦσα τὰ ἐπεισιόντα ἰχθύδια· ὁ δὲ πιννοτήρης, παρεζὼς,

» ὅταν εἰτέλθῃ τι, δάκνει αὐτὴν, ὥσπερ σημαίνων. Ἡ δὲ δηχθεῖσα » συμμύει, καὶ οὕτως τὸ ἀπολῃφθὲν ἔνδον κατεσθίουσι κοινῇ ». Τὰ αὐτὰ ἱστόρηκε καὶ Αἰλιανὸς (Περὶ ζ. ἰδιότ. Γ, 29). Πλούταρχος δὲ (Πότερ. τῶν ζ. φρονιμώτερ. κ. τ. λ. § 30) ἐπιτιμᾷ Χρυσίππῳ πολλαχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων τὸν περὶ πιννοτήρου παρενείραντι λόγον, οὐ μὲν οὖν αὐτὸς ἀπιστῶν, ἀλλὰ τὴν κατάχρησιν δυσχεραίνων· « Ὁ τὸ πλεῖστον ἐξαναλώσας Χρυσίππου μέλαν πιννοτήρας, ἐν παντὶ » καὶ φυσικῷ βιβλίῳ καὶ ἠθικῷ προεδρίαν ἔχων ». Καὶ ὅτι μὲν καρκίνιον καὶ ἐν πίννῃ καὶ ἐν ἑτέροις ὀστρακοδέρμοις ἐνοικεῖ πολλάκις, μαθεῖν ἔστιν ἐκ τῆς πείρας· ὅτι δὲ καὶ ἔργον ἔχει τὸ συλλαμβάνεσθαι τῇ πίννῃ τῆς ἄγρας, τοῦθ' οὔτ Ἀριστοτέλης εἶπε διαῤῥήδην (εἰ καὶ τῷ ὑπὸ τῆς τῶν πολλῶν ὑπολήψεως τεθέντι ὀνόματι τοῦ Πιννοφύλακος ἐχρήσατο), καὶ τῶν νεωτέρων οἱ πλεῖστοι ἐν τοῖς μυθώδεσιν ἔταξαν.

Πηλώδεσιν ὑφεσήκασι.] Οὕτω διορθοῦν παρήνει ὁ Ματθαῖος, ἀντὶ τοῦ, Πιννώδεσιν ὑπεσήκασι (ἄλλ. ὑπεσάκασι).

Καὶ γλυκεῖαι τηνικαῦτα γίνονται.] Οὕτως διώρθωκα τὴν παρ' ἅπασι φερομένην βάρβαρον γραφὴν, Καὶ γλυκεῖαι εἰσὶ, τοινικαύτοι (ἄλλ. τηνικαῦτα) γὰρ γίνονται. Ταύτην δὲ σχεδὸν τὴν διόρθωσιν ἡρμήνευσε καὶ ὁ Λατῖνος μεταφραστής. Ἔστι δὲ καὶ οὕτως διορθοῦν, Καὶ γλυκεῖαί εἰσιν αἱ τηνικαῦτα γίνονται.

Μεγέθους δὲ ἕνεκεν, αἱ μὴ μεγάλαι κρείττους.] Ταὐτὰ οἷς μικρὸν ἀνωτέρω εἴρηκε, Μεγέθους δ' ἕνεκα, αἱ μικραὶ τῶν μειζόνων ἀπαλώτεραι. Ἢ ταῦτα τοίνυν, ἢ ἐκεῖνα διαγραπτέον.

Τράχηλοι μὲν γὰρ... εὐφθαρτότερον.] Φησὶν ὁ Δίφιλος (παρ' Ἀθην. σελ. 91) « Αἱ δὲ πίνναι, οὐρητικαὶ, τρόφιμοι, δύσπεπτοι, δυσα- » νάδοτοι ».

Γλυκεῖ, ἐλαίῳ.] Διέσησα τὰς κακῶς εἰς ἓν συνημμένας δύο λέξεις Γλυκελαίῳ.

Οἴνῳ ὁμοίως. Καὶ τῶν κ. τ. λ.] Πλεονάζει τὸ Ὁμοίως ἐνθάδε. Ἴσως ἡμάρτηται καὶ ἡ γραφὴ καὶ ἡ σίξις, δέον γράφειν, Οἴνῳ. Ὁμοίως δὲ καὶ τῶν. Ἀλλ' οὐδὲ τοῦτο πιθανὸν, τῶν ἑξῆς οὐδὲν ἧττον ἀπόρων ὄντων.

Καὶ τῶν ἐξ ὕδατος ἀνεζεσμένων μετὰ νάπυος ἔξω τῶν κογχυλιωδῶν φύσεως ἡ χρῆσις.] Οὔθ' ὁ νοῦς εὔπορος, οὔθ' ἡ γραφὴ ἀνύποπτος· Ἴσως ἐγέγραπτο, Καὶ τῶν ἐξ (ἢ, Τῶν δ' ἐξ) ὕδατος ἀνεζεσμένων μετὰ νάπυος ἔξω τῶν κογχυλίων φυσώδης ἡ

χρῆσις, τοῦ μὲν ἀνωτέρω, Ἐψῶνται δὲ γλυκεῖ κ. τ. λ., ἐπὶ τῶν ἐν τοῖς ἰδίοις ὀσράκοις ἑψωμένων πιννῶν, ἐκλαμβανομένου, ὥσπερ εἴρηκε (τμ. μέ) καὶ περὶ τῶν κτενῶν, τοῦ δὲ, Ἔξω τῶν κογχυλίων, ἐπὶ τοῦ ἐκτὸς τῶν ὀσράκων. Ὅτι δὲ τὸ Κογχύλιον, ὥσπερ καὶ ἡ Κόγχη, οὐ μόνον γένος ἐξαίρετον ὀσρακοδέρμων ἐδήλου, ἀλλὰ καὶ ἁπάντων ἁπλῶς τῶν ὀσρακοδέρμων αὐτὸ τὸ ὄσρακον, ἀντιδιῃρημένως πρὸς τὸ σαρκῶδες τοῦ ζώου, ἐδίδαξεν ἀποχρώντως ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Πίνακ. σελ. 1246)· ὅθεν καὶ οἱ Γάλλοι μετενεγκόντες εἰς τὴν ἰδίαν φωνὴν coquilles (κογχύλια) καλοῦσι τὰ τῶν ὀσρακοδέρμων καλύμματα, τὰ δὲ τῶν ὠῶν καὶ τῶν καρύων καὶ coquilles, καὶ coques (κόγχας). Ἐπανίωμεν δ' ἐπὶ τὸ προκείμενον. Εἴη ἂν φυσώδης ἡ χρῆσις τῶν μὴ ἐν τοῖς ὀσράκοις σκευασθεισῶν πιννῶν, ἀλλ' ἐξ ὕδατος ἀνεζεσμένων, διὰ τὸ καθ' ἑαυτὰς δίχα τοῦ ζωμοῦ λαμβάνεσθαι, παραπλησίως τοῖς ἄλλοις ὀσρέοις, περὶ ὧν φησι Μνησίθεος (παρ' Ἀθην. σελ. 92) « Αἱ μὲν ὑγρότητες, ἐν αἷς ἂν ἑψηθῇ τι τῶν ὀσρέων, ταρα-» κτικαὶ κοιλίας εἰσίν· αἱ δὲ σάρκες τῶν ἑψομένων ὀσρέων ψόφους » ποιοῦσιν ἐσερημέναι τῶν ὑγρῶν ». Τὸ γὰρ ψόφους ποιεῖν ταυτὸν δύναται τῷ φυσώδει. Ἔχει μέντοι ἀπορίαν καὶ ἡ τοιαύτη διόρθωσις διά τε τὴν ἐξῆς ἐπανάληψιν τοῦ Φυσώδης, καὶ διὰ τὸ Νάπυος· τοῦτο γὰρ κολάζει τὰ φυσώδη.

νς΄. Στρόμβοι.] Οὕτως ὀρθῶς ἡ κατὰ Μόσχαν ἔκδοσις, ἀντὶ τοῦ Σκόμβροι. Στρόμβοι ἢ Σρομβώδη, ἐν γένει καλοῦνται τὰ κοχλιώδη ὀσρακόδερμα, καὶ ἐπικαλύμματι τὸ σόμα ἐπιπωματιζόμενα, παραπλησίως τοῖς κήρυξι, ταῖς πορφύραις καὶ τοῖς ὁμοίοις, οἷς καὶ συνῆψε τοὺς σρόμβους ὁ Ὀππιανὸς (Ἁλιευτ. Α, 315),

> Νηρῖται, σρόμβων τε γένος, καὶ πορφύραι αὐταὶ,
> Κήρυκές τε. ———————————————

Ἓν εἶδει δὲ Στρόμβοι λέγονται τὰ κωνοειδῆ καὶ ἐπιμήκη τῶν ὀσρακοδέρμων, ἅπερ οἱ Γάλλοι κογχυλιολόγοι Toupies (Ῥόμβους ἢ Βέμβικας) καὶ Trompes (σάλπιγγας) ὀνομάζουσι, τὸ μὲν διὰ τὸ Ῥόμβῳ ἢ Βέμβικι ἐοικέναι, ὃν ἡ παρ' ἡμῖν συνήθεια Στρόβαν, Σβούραν ἢ Ἀσβούραν καὶ Ἀσγαβάδαν ὀνομάζει, τὸ δὲ, διὰ τὸ ἀντὶ σάλπιγγος χρῆσθαι τοὺς ἀρχαίους τοῖς σρόμβοις, ὥσπερ καὶ τοῖς κήρυξι (ἀνωτέρ. σελ. 125) καὶ τοῖς κοχλίαις (σελ. 134)· καὶ αὐτὸ γὰρ τὸ Trompe καὶ Trompette εἰκὸς παρὰ τὸν ἑλληνικὸν Στρόμβον παρῆχθαι, ᾧ προσομοιότερον ἡ παρὰ τοῖς Ἰταλοῖς Tromba καὶ Trombetta.

« Στρόμβος (φησὶν Ἡσύχιος), δῖνος, κόχλος, ῥόμβος, συσροφὴ ἀνέμου, » περιφερὴς λίθος », συσροφὴν ἀνέμου λέγων, ἣν οἱ Γάλλοι Trombe, ἡμεῖς δὲ Σίφωνα ὀνομάζομεν, ῥόμβον δὲ τὸν βέμβικα, τὸν καὶ δῖνον καὶ κῶνον λεγόμενον, ἢ δῆλον ἐξ ὧν ἀλλαχοῦ φησι « Κῶνοι... οἱ σρόμβοι » « καὶ Κώνα, βέμβιξ ». Φέρεται δὲ παρὰ τῷ αὐτῷ Ἡσυχίῳ καὶ « Ἰσκάν- » διον, σαλπίγγιον.—Ἰσκανδωτὸν, σαλπιγγωτόν »· παρ' ὃ ἴσως ἡ παρ' ἡμῖν Ἀσγαβάδα, πλὴν εἰ μή τις παρὰ τὸ Σκαμβὰς, οἱονεὶ Σκαμβάδα τινα, τουτέσι σκαιὰ βαίνουσαν, βούλοιτο παράγειν· τὸ γὰρ ᾱ πλεοναστικόν ἐσιν ἐν τούτοις, ὥσπερ καὶ ἐν τῷ ὠνοματοπε- ποιημένῳ παρὰ τὸν ἦχον, Σβούρα, καὶ Ἀσβούρα. Ἀλλ' ἐπανίωμεν ἐπὶ τὸν Ξενοκράτην. Ἔσωσεν ἡ συνήθεια τοὔνομα, Στρομβάκιον καλοῦσα ἐκεῖνο τοῦ θαλασσίου σρόμβου τὸ εἶδος, τὸ ὑπὸ τοῦ Λιν- ναίου ὀνομαζόμενον Strombus Gallus· τὸ γὰρ παρὰ τῷ Φορσκωλίῳ (*Description. animal., pag. XXXIII*) Στρομπᾶκ γραφόμενον τῆς Γραικῶν φωνῆς ἐσι, τουρκικῶς ἐσχηματισμένον. Ὁ δὲ τὸν Ὀππιανὸν, οὗ τὸ μαρτύριον ἀνωτέρω (σελ. 149) παρεθέμην, σχολιάσας τὸ παρ' ἐκείνῳ Στρόμβων, εἰς τὴν καθ' ἡμᾶς φωνὴν ἑρμηνεύων φησὶ « Τῶν » λιβαδίων, ἢ ΤΩΝΩΤΟΝΙΩΝ ». Καὶ τὴν μὲν τελευταίαν λέξιν τρεπ- τέον ἴσως εἰς τὸ, ΤΩΝ ΩΤΙΩΝ, ὄνομα ὀσρακοδέρμου, οὗ Ξενοκράτης μέμνηται ἐν τῷ παρόντι τμήματι, καὶ μεμνήσεται ἐν τοῖς ἑξῆς (τμ. ξϛ'), καὶ ᾧ τὸν σχολιασὴν εἰκὸς, οἷα πολλάκις φιλεῖ, συγχέαι τοὺς σρόμ- βους· Τοῦ δὲ, Λιβαδίων, ἀγνοῶ τὴν παρ' ἡμῖν χρῆσίν τε καὶ ση- μασίαν, εἰ μὴ καὶ τούτου ἡμάρτηται ἡ γραφὴ ἀντὶ τοῦ Χηβαδίων· οὐδὲ γὰρ θαυμασὸν εἰ ταῖς χήμαις τοὺς σρόμβους συνέχεεν ὁ καὶ τούτου ἀτοπώτερα ἄλλα φήσας σχολιασής.

Μᾶλλον δ' οἱ τῶν ὠτίων μείζους.] Προσέθηκα τὸ πρῶτον τῶν ἄρ- θρων. Ἀπορήσειε δέ τις περὶ τῆς πρὸς τὰ Ὠτία συγκρίσεως. Εἰ γὰρ ταὐτά ἐσι τοῖς ὠτίοις ὧν ἐν τοῖς ἑξῆς (τμ. ξϛ') μεμνήσεται, οὐδὲν ἔχουσι κοινὸν πρὸς τοὺς σρόμβους· ἐκεῖνα γὰρ ταῖς λεπάσι μᾶλλόν ἐσιν ἐμφερῆ, δι' ὃ καὶ λεπάδες ἄγριαι ὠνομάσθησαν ὑπ' Ἀριστοτέλους. Ὑποληπτέον ἕτερόν τι γένος ὀσρακοδέρμου εἶναι σρομβώδους ὁμωνύ- μως Ὠτίον καλούμενον, ὡς ὑπονοεῖν παρέχει καὶ ὃ φθὰς παρεθέμην ἐκ τοῦ τὸν Ὀππιανὸν σχολιάσαντος ὅμοιον ὄνομα, ἴσως ὃ οἱ Γάλλοι κογχυλιολόγοι Οὖς Ἀρτέμιδος, Strombe oreille de Diane, κα- λοῦσι (ἴδ. *Nouveau Dictionnair. d'Histoir. natur. Tom. XXI, pag.* 253). Οὕτως γὰρ καὶ νῦν τῷ τροπικῷ τῶν Ὀμματίων ὀνόματι

εἶδός τι τῶν σρόμβων σημαίνομεν, ἴσως αὐτὸ τοῦτο, ὃ οἱ κατὰ Ξενοκράτην Ὠτία ἐκάλουν.

νζ'. Σωλῆνες, ἢ αὐλοί, ἢ δόνακες.] Ἐφύλαξε τὴν πρώτην ὀνομασίαν ἡ συνήθεια, τὸ γένος μόνον ἐναλλάξασα, Τὰς σωλῆνας γάρ, θηλυκῶς, καὶ οὐ Τοὺς σωλῆνας, λέγει. Μετηνέχθη δὲ τοὔνομα ἀπὸ τῶν ἐν ταῖς τῶν οἰκιῶν σέγεσι σωλήνων, ἃ κοινῶς καλοῦμεν Σωληνάρια, ὥσπερ καὶ τῶν ἐχομένων δύο τὸ μὲν ἀπὸ τοῦ γνωσοῦ πᾶσιν αὐλοῦ, τὸ δὲ ἀπὸ τοῦ δόνακος, τουτέσι τοῦ καλάμου, διὰ τὸ σχῆμα τοῦ ζώου· ὥσπερ γὰρ ἐν σωλῆνι, ἢ ἐν αὐλῷ, ἢ ἐν καλάμῳ κεκρυμμένην ἔχει τὴν σάρκα. « Σωλῆνες (φησὶν Ἡσύχιος), οἱ σεγασῆρες· καὶ » τῶν ὀσρακοδέρμων τι γένος κογχυλίων. Τάσσεται δὲ καὶ ἐπὶ τῶν » μορίων ». Ὄνυχες δὲ, ὠνομάσθησαν διὰ τὸ πρὸς τοὺς ὄνυχας ἐμφερὲς τοῦ ὀσράκου. Ἐκάλουν δὲ παρὰ ταῦτα καὶ Δακτύλους τοὺς σωλῆνας, ὡς δηλοῖ Πλίνιος Solen, sive aulos, sive donax, sive onyx, sive dactylus (*Plin. XXXII*, 11). Σωλήνων δὲ διαφορᾶς τε καὶ δυνάμεις ὁ Δίφιλος (παρ' Ἀθην. σελ. 90) ταύτας εἶναι λέγει· « Οἱ δὲ σωλῆνες μὲν πρός τινων καλούμενοι, πρός τινων δὲ » καὶ αὐλοί, καὶ δόνακες, καὶ ὄνυχες, πολύχυλοι, κακόχυλοι » κολλώδεις. Καὶ οἱ μὲν ἄῤῥενες αὐτῶν ῥαβδωτοί εἰσι καὶ οὐ μονο» χρώματοι· εἰσὶ δὲ τοῖς λιθιῶσι καὶ ἄλλοις δυσουροῦσιν εὔθετοι. Οἱ » δὲ θήλεις μονοχρώματοί τέ εἰσι, καὶ γλυκύτεροι. Λαμβάνονται δὲ » ἑφθοὶ καὶ τηγανισοί· κρείττονες δ' εἰσὶν οἱ μέχρι τοῦ χανεῖν ἐπ' » ἀνθράκων ὀπτώμενοι ».

Ἄῤῥενές εἰσι.] Ἴσως γραπτέον μετὰ τοῦ συνδέσμου, ὡς φέρεται ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει· Ἄῤῥενες δ' εἰσὶ, μικρὸν ἀλλοιώσαντας τὴν σίξιν.

Αἱ καλοῦνται ὄνυχες.] Τὰς θηλείας καὶ ὁ Πλίνιος ὄνυχάς φησι καλεῖσθαι, τῶν αὐλῶν καὶ τῶν δονάκων τοὔνομα τοῖς ἄῤῥεσιν ἀποκληρώσας, ex his mares alii *donacas*, alii *aulos* vocant : feminas, *onychas*. Urinam mares movent. Dulciores feminæ sunt, et unicolores (*Plin. XXXII*, 9).

Μεγάλοι, μελανοράβδωτοι καθ' ἑτερόχροιαν, ἄῤῥενες.] Τὸ, Κατὰ τὴν ἑτερόχροιαν, ἔτρεψα εἰς τὸ Καθ' ἑτερόχροιαν, διαγράψας τὸ ἄτοπον ἐνθάδε ἄρθρον· δύναται γὰρ ταυτὸν καὶ τὸ Κατὰ ποικιλίαν ἢ ποικίλως ῥαβδωτοί. Διόπερ ἴσως καὶ τὸ Μελανοράβδωτοι τρεπτέον εἰς τὸ ἁπλοῦν Ῥαβδωτοὶ, ὡς φέρεται παρὰ τῷ Διφίλῳ, ἢ γοῦν διαιρετέον, εἰς τὸ, Μέλανες ῥαβδωτοὶ, ἵνα νοῆται

μελαντέρους μὲν εἶναι τῶν θηλειῶν τοὺς ἄῤῥενας σωλῆνας, φέρειν δὲ ῥάβδους ἐπὶ τοῦ ὀσράκου ποικίλας, οὐδὲ μονοχρόους εἶναι, ὥσπερ τὰς θηλείας.

Ἐμφερῶς τευθίσι πρὸς πότον παρασκευάζονται.] Πρὸς πότον ἐκ τῆς κατὰ Μόσχαν ἐκδόσεως καὶ τοῦ Λατίνου μεταφραστοῦ (ad potum), ἀντὶ τοῦ, Πρὸς ποταμόν, ὅπερ ἴσως ἦν, Πρόσφατοι μόνον, καθὰ πάλαι διώρθουν. Ἡ τευθὶς ἐστι τὸ νῦν παρ' ἡμῖν λεγόμενον Καλαμάριον, περὶ οὗ ταῦτα παραινεῖ Ἀρχέστρατος (παρ' Ἀθην. σελ. 326),

Τευθίδες ἐν Δίῳ τῷ Πιερικῷ παρὰ χεῦμα
Βαφύρα. Καὶ ἐν Ἀμβρακίᾳ δὲ παμπληθέας ὄψει.

Τὸ δὲ παρασκευάζεσθαι ἐμφερῶς τευθίσι, τοιοῦτον ἂν εἴη. Ἡ τῶν τῆς τευθίδος σκευασιῶν ἐπισημοτάτη, ἡ νῦν παρ' ἡμῖν, Καλαμάριον παραγεμιστὸν, καλουμένη, Τευθὶς σακτὴ, ἢ ὠνθυλευμένη, πάλαι ἐλέγετο, διὰ τὰ ἡδύσματα, ἢ ὀνθυλεύματα, οἷς ἔσαττον, τουτέστιν ἐγέμιζον, αὐτήν. «Ὠνθυλευμένον τὸ διασεσαγμένον ἄρτυμα» (γρ. ἀρτύμασι) κ. τ. λ.» φησὶν Ἡσύχιος. Εἰκὸς οὖν παραπλησίᾳ τινὶ σκευασίᾳ καὶ τοὺς σωλῆνας τὸ πάλαι σκευάζεσθαι. Ἡ τῶν Σακτῶν σωλήνων παρ' ἡμῖν σκευασία τοιαύτη ἐστίν· ἐξελόντες αὐτοὺς τῶν ὀσράκων, εἰς λεπτὰ κατακόψαντες καὶ ὀρύζῃ μίξαντες, ἔκ τε τοῦ μίγματος τούτου τὰ ὄσρακα αὖθις πληρώσαντες, καὶ μίτῳ περισήσαντες, ἑψῶμεν. Καλοῦμεν δὲ τοὺς οὕτως ἐσκευασμένους Παραγεμιστούς.

Μονόχροοι.] Εἰς τοῦτ' ἔτρεψα τὸ Μονόχροιαι· τὸ γὰρ ἐπίθετον Μονόχροιος, ἢ Μονόχροος (ὅπερ Ἀριστοτέλης Ὁμόχροον καλεῖ), κοινοῦ γένους ἐστὶ, καὶ οὐκ ἔχει θηλυκόν. Τὸ δὲ Μονόχροιαι (παρὰ τὸ Μονόχροια) οὐσιαστικὸν ἐστι σημαῖνον τὴν τοῦ μονοχρόου ποιότητα, ὥσπερ ἡ ἑτερόχροια τὴν τοῦ ἑτεροχρόου.

νή. Τήθεα.] Παρὰ τὴν εὐθεῖαν Τῆθος, ὡς φέρεται καὶ παρ' Ὁμήρῳ (Ἰλιάδ. Π, 746).

Εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε, τήθεα δίφῶν·

ἔνθα τὸ Τήθεα οὐ πάνυ σαφῶς, οἱ μὲν ὄστρεα, οἱ δὲ εἶδος ὀστρέων ἐξηγοῦνται. Παρὰ δὲ τῷ Ἀριστοτέλει γράφεται Τήθυα παρὰ τὴν εὐθεῖαν Τήθυον. Ἐπίχαρμος δὲ (παρὰ τῷ Ἀθην. σελ. 85) καὶ Τηθυνάκια, ὑποκοριστικῶς αὐτὰ καλεῖ. Εἰσὶν αἱ παρ' ἡμῖν νῦν καλούμεναι τοῖς μὲν, Φοῦσκαι, τοῖς δὲ Σβουρδοῦκλοι, ἢ ὥς φησιν ὁ

Γίλλιος (παρὰ τῷ Γεσνήρ. σελ. 1145) Σφερδόκλοι. Καὶ τὸ μὲν Φούσκα πρόδηλον ἔχει τὸ ἔτυμον παρὰ τὸ Φύσκη· ἐμπεφυσημένον γάρ ἐςι τὸ ὄρακον, καὶ μαζοειδὲς, ὅθεν ἔοικε τυχεῖν καὶ τοῦ ὀνόματος Τήθεα, παρὰ τὴν Τηθὺν, τουτέςι τὴν θηλάζουσαν (ἴδ. Εὐςάθιον εἰς τὴν Ἰλιάδ. σελ. 1084). Τὸ δὲ Σβουρδοῦκλοι οὔπω μοι ἔγνωσαι· οὐδὲ πείθομαι τῷ Γεσνήρῳ, παρὰ τὸ σφαιροειδὲς εἰκάζοντι οὕτως ὠνομάσθαι τὰ τήθεα. Ἡσύχιος δὲ συνέχεε τὰ τήθεα, ἢ τήθη, τοῖς Στήθεσι. « Τηθύα, τενάγη ἃ προχέουσιν (γρ. προσχοῦσιν) οἱ » ποταμοί· καὶ εἶδος ὀςρέων ». Τὸ μὲν γὰρ εἶδος τῶν ὀςρέων, καλεῖται, Τηθύα, καὶ Τήθεα καὶ κατὰ συναίρεσιν Τήθη· τὰ δὲ τενάγη (Γαλλ. bas-fonds), οὔτε Τηθύα, οὔτε Τήθεα, ἀλλὰ Στήθη (καὶ κατὰ διάλυσιν Στήθεα) ὡς αὐτὸς ἐν ἄλλοις ἐδίδαξε, « Στῆθος, τὸ » ἐν τῇ θαλάσσῃ πρόσχωμα κ. τ. λ. » Λέγει δὲ καὶ Στράβων (σελ. 50) « Καὶ γὰρ νῦν ἤδη τεναγίζειν τὰ ἐν ἀριςερᾷ τοῦ Πόντου, τόν τε » Σαλμυδησσὸν καὶ τὰ καλούμενα Στήθη ὑπὸ τῶν ναυτικῶν ». Περὶ δὲ τῆς δυνάμεως, πολύτροφα φησὶν Ἰκέσιος (παρ' Ἀθην. σελ. 88) εἶναι τὰ τήθεα.

Φυκιοφόροις ἀκταῖς.] Περὶ τὰς σήραγγας τῶν πετρῶν, ὥς φησιν Ἀριςοτέλης (Περὶ ζ. ἱςορ. Ε, 13).

Ἐν βρύοις καὶ πράσοις καὶ φυκίοις.] Τὸ μὲν Βρύον διάφορον φησὶν εἶναι Πλίνιος τοῦ Φυκίου, τοῦτο δὲ, ταὐτὸν ὂν τῷ Πράσῳ, καλεῖσθαι προσέτι καὶ Ζωςῆρα, quod Græci vocant Phycos... quod quidem Prason vocant, alii Zostera... Aliud genus fruticum Bryon vocatur (*Plin. lib. XIII, cap.* 25). « Φύκος (φησὶν Ἡσύ- » χιος) τὸ προσβρασσόμενον ἀπὸ τῆς θαλάσσης τῇ γῇ, ὅπερ ἔνιοι καὶ » Πράσον καλοῦσιν κ. τ. λ. ».

Ἔοικε γὰρ φυτῷ θαλαττίῳ.] « Ἔνια γὰρ τῶν ἐν τῇ θαλάττῃ δια- » πορήσειεν ἄν τις πότερον ζῶον ἢ φυτόν ἐςιν... Ἡ δὲ τοῦ σώματος » ἐνίων σαρκώδης ἐςὶ φύσις, οἷον τά τε καλούμενα τήθυα, καὶ τὸ τῶν » ἀκαληφῶν γένος (Ἀριςοτέλ. Περὶ ζ. ἱςορ. Η, 1) ».

Δυσέκρυπτον.] Ταύτην τῆς κατὰ Μόσχαν ἐκδόσεως τὴν γραφὴν προειλόμην τῆς παρὰ τοῖς λοιποῖς Δυσέκνιπτον, οὐχ ὡς ἕτερόν τι σημαίνουσαν, ἀλλ' ὡς πιθανῶς ἀμεληθεῖσαν τοῖς ἀντιγραφεῦσι διὰ τὸ ἧττον εἶναι γνωςὴν τῆς ἑτέρας. Δι' ὃ οὐδὲ ἐν τοῖς Λεξικοῖς πω κατακεχώρισαι τὸ Δυσέκρυπτος.

Ποιότητα.] Ἴσως γραπτέον, Ποιότητα, ὥσπερ εἴκαζε καὶ ὁ Ματθαῖος. Ἐλαιώδη γάρ τινα τοῖς ψαύουσιν ὑγρασίαν προσρίβεται τὰ τήθεα.

Μάλιστα δ' αὐτῶν τὰ δερματώδη κ. τ. λ.] Πάντα μὲν τὰ τήθεα δέρματι παραπλήσιον ἔχει τὸ ὄστρακον, ὡς φησιν Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Δ, 6), « Τὸ δ' ὄστρακόν ἐστι μεταξὺ δέρματος καὶ ὀστράκου· » διὸ καὶ τέμνεται ὥσπερ βύρσα σκληρά ». Ἔστι μέντοι γένος αὐτῶν τι μαλακώτερον τῶν λοιπῶν, ὃ καλοῦμεν ἁπλῶς Φούσκας· καὶ ταύτας ἴσως ἐννοεῖ Ξενοκράτης διὰ τοῦ Δερματώδη. Τὰς δὲ σκληροτέρῳ περιεχομένας ὀστράκῳ, καὶ μᾶλλον εὐπροσφόρους τῶν ἄλλων, Πετροφούσκας ὀνομάζομεν.

Ἅλμῃ τε καὶ ὄξει.] Ἡ κατὰ Μόσχαν ἔκδοσις, Ἅλμῃ καὶ ὄξει.

Ἢ προτρόπου.] Ἐγράφετο κακῶς Καὶ πρὸ τρόπου. Πρότροπος οἶνος, καὶ Πρότροπος ἁπλῶς ἐκαλεῖτο, τὸ τῆς ςαφυλῆς, πρὶν ἢ τραπῆναι, ὅ ἐστι πατηθῆναι, αὐτομάτως ἐκρέον γλεῦκος. Protropum : ita appellatur a quibusdam mustum sponte defluens antequam calcentur uvæ (*Plin. lib. XIV, cap.* 9). Ἴδε καὶ τὸν Διοσκορίδην (Ε, 9) περὶ τοῦ Προτρόπου. Ἀθήναιος δὲ (σελ. 30) φησὶν, ὅτι, « Μιτυληναῖοι τὸν παρ' αὐτοῖς γλυκὺν οἶνον, » Πρόδρομον καλοῦσιν· ἄλλοι δὲ Πρότροπον ».

νθ'. Τελλίναι, ἢ ξιφύδρια.] Ἐπίχαρμος δὲ (παρὰ τῷ Ἀθην. σελ. 85) καὶ Τέλλιν (παρὰ τὴν Τέλλις εὐθεῖαν) καλεῖ τὴν Τελλίναν, καὶ Σκιφύδριον Αἰολικῶς, ἀντὶ τοῦ Ξιφύδριον. Τῶν κογχῶν ἢ χημῶν τὰς ἐλαχίστας εἶναί φησιν ὁ Βελλώνιος (σελ. 402) τὰς παρὰ τοῖς ἀρχαίοις καλουμένας Τελλίνας· καὶ παρὰ μὲν τοῖς Ἐνετοῖς ἔτι καὶ νῦν τῷ αὐτῷ καλεῖσθαι ὀνόματι Telline, παρὰ δὲ τοῖς τὸν Ἀγκῶνα οἰκοῦσι Calcinelli, παρὰ δὲ τοῖς νῦν Μιτυληναίοις Ἕλλησι Χινάδας Chinades (ὅπερ οἶμαι τυπογραφικῶς ἡμαρτῆσθαι ἀντὶ τοῦ Χιβάδας Chivades, ἢ μᾶλλον Χηβάδας, ὅ ἐστι Χήμας). Ὁ δὲ Φορσκώλιος (*Description. animal. pag. XXX*) Καλόγνομην φησὶ καλεῖσθαι παρὰ τοῖς νῦν Ἕλλησι τὴν τοῦ Λινναίου Tellina incarnata· οὐκ ὀρθῶς οἶμαι. Καὶ γὰρ ὁ αὐτὸς Φορσκώλιος αὖθις (*pag. XXXI*) Καλογνῶμαν λέγει ὀνομάζεσθαι καὶ τὴν τοῦ Λινναίου Arca Noæ. Περὶ δὲ τῆς δυνάμεως ὁ μὲν Δίφιλος (παρὰ τῷ Ἀθην. σελ. 90) φησί· « Τελλίναι γίνονται μὲν ἐν Κανώβῳ πολλαὶ, καὶ ὑπὸ τὴν τοῦ Νείλου » ἀνάβασιν πληθύουσιν. Ὧν λεπτότεραι μέν εἰσιν αἱ βασιλικαὶ, διαχωρητικαί τε καὶ κοῦφαι, ἔτι δὲ καὶ τρόφιμοι· αἱ δὲ ποτάμιαι γλυκύτεραι ». Κατὰ δὲ τὸν Διοσκορίδην (Β, 8) « Τελλίναι δὲ νεαραὶ, » εὐκοίλιαι (γρ. εὐκοίλιοι), μάλιστα δὲ ὁ ἐξ αὐτῶν ζωμός· ταριχηραὶ » δὲ, καεῖσαι καὶ τριβεῖσαι λεῖαι, μετὰ κεδρίας ἐπισαζόμεναι τὰς

» ἐκτιλθείσας τῶν βλεφάρων τρίχας οὐκ ἐῶσιν αὖθις φυῆναι». Ταῦτα δὲ Πλίνιος τοὺς κτένας, οὐ τὰς τελλίνας, ποιεῖν φησιν, εἴτε πλανηθεὶς περὶ τὴν τοῦ Διοσκορίδου ἀνάγνωσιν, εἴτε τὰς τελλίνας τοῦ τῶν κτενῶν γένους εἶναι νομίσας. Μετὰ γὰρ τὸ εἰπεῖν ὅτι ὁ θαλάσσιος λαγωὸς καεὶς καὶ τριβεὶς τὰς ἐκτιλθείσας τῶν βλεφάρων τρίχας κωλύει φυῆναι, cinis ejus in palpebris pilos inutiles, evulsos cohibet, ἐπάγει, Item pectunculi salsi triti cum cedria (*Plin. XXXII*, 7). Ἱπποκράτης μέντοι (Περὶ διαίτ. Β, § 19, σελ. 221), ὡς καὶ ἕτεροι ἐσημειώσαντο, οὐ συνέχεε τοὺς κτένας ταῖς τελλίναις· « Τὰ δὲ κογ- » χύλια, οἷον πίνναι, πορφύραι, λεπάδες, κήρυκες, ὄστρεα, αὐτὰ μὲν » ξηρά, οἱ δὲ ζωμοὶ τούτων διαχωρητικοί· μύες δὲ καὶ κτένες καὶ » τελλίναι τουτέων μᾶλλον διαχωρέουσιν· αἱ δὲ κνίδαι μάλιστα ».

Γίνονται δὲ ἐν.] Ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει ἀσυνδέτως· Γίνονται ἐν.

Μετ' ὀξελαίου καὶ ἡδυόσμου.] Ἐγράφετο, Μετ' ὀξελαίου ἡδυόσμου· ἐν δὲ τῇ κατὰ Μόσχαν ἐκδόσει, Μετ' ὀξελαίου ἢ ἡδυόσμου, σὺν τῷ διαζευκτικῷ, ὃν ἔτρεψα εἰς τὸν συμπλεκτικόν.

ξ′. Τῶν δὲ χημῶν τὰς τραχείας, γλυκυμαρίδας κ. τ. λ.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 116) σεσημειωμένα περὶ τῶν Γλυκυμαρίδων προσαγορευομένων χημῶν· οἷς προσθετέον, ὅτι ἡ παρὰ τῷ Λινναίῳ καλουμένη Arca glycymeris ὀνομάζεται νῦν παρ' ἡμῖν, ὡς φησιν ὁ Φορσκώλιος (*Descript. animal. pag. XXXII*) Μεθισραχιβάδα, ὃ τρεπτέον εἰς τὸ Μεθυσραχηβάδα· οὕτως γὰρ καλέσαι τοὺς φιλοίνους εἰκὸς τῶν χημῶν τὸ γένος τοῦτο, ὑπολαβόντας μᾶλλον τῶν ἄλλων πρὸς οἰνοποσίαν καὶ μέθην εὔθετον εἶναι.

Κατὰ μὲν τὴν τρῆσιν... πυέλοις.] Καθ' ὃν τέμνονται, τουτέστιν ἀνοίγονται, διὰ τῆς μαχαίρας τόπον, ἔοικε λέγειν, ὥσπερ ἐξεδέξατο καὶ ὁ Σνεϊδέρος (Ῥωμαϊκ. γεωπονικ. Πίνακ. λέξ. Conchæ, σελ. 148). Τὸ δὲ, Πυέλοις, ἀντὶ τοῦ Πτελέαις, ἐκ τῆς τοῦ Σνεϊδέρου διορθώσεώς ἐστι. Πτελέα γὰρ (ἡ παρ' ἡμῖν νῦν Φτελέα, καὶ Φτηλία, καλουμένη), οὐ μέρος δένδρου, ἀλλ' ὅλον ἐστὶ δένδρον, διάφορον τῆς δρυός. Ὅτι δὲ ἄτοπον τὸ Πτελέαις, μαρτυρεῖ καὶ τὸ παράλληλον χωρίον (τμ. μγ′) ἔνθα περὶ τῶν αὐτῶν τούτων γλυκυμαρίδων τὸν λόγον ποιούμενος εἴρηκε, « Τραχεῖαι, βαλάνοις ἐοικυῖαι δρυΐναις, » ἐμφερῶς φηγοῖς τὸν ἐχῖνον φερόμεναι ». Καὶ πάλαι μὲν ὑπετόπαζον οὐκ ἐπιτυχῶς εἰς τὸ, Τελέως, τρέπειν τὸ Πτελέαις, εἶτά μοι πιθανώτερον ἔδοξεν ἐξερρυηκέναι τι τοῦ χωρίου, οὕτωσί πως ὀφεῖλον ἀναπληροῦσθαι, « Τραχύτητας ἔχουσι προσεοικυίας ταῖς τῶν δρυΐνων

» ἤλων, ἢ τῶν ἐν ταῖς πτελέαις » ἵν ᾖ ὁ νοῦς, Τραχύτητας ὁμοίας ταῖς τραχύτησι τῶν ἐν ταῖς δρυσὶν ἢ πτελέαις φυομένων ὄζων· ἢ καὶ οὕτως... ταῖς τῶν δρυΐνων ἤλων ἢ τῶν ἐν ταῖς ἐλαίαις. Αἱ γὰρ ὀζώδεις τραχύτητες ἄλλοις ἐπ' ἄλλων δένδρων ἐκαλοῦντο ὀνόμασιν, οἷον κράδαι, ἧλοι, μύκητες, γόγγροι κ. τ. λ., ᾗ δῆλον ἐκ τοῦ Θεοφράστου (Περὶ φυτ. ἱστορ. Α, 13, σελ. 41), « Ἀεὶ δὲ ἐν ἅπασιν οἱ κλάδοι » φαίνονται πολυοζότεροι... ἐνίοις δὲ καὶ οἷον κράδαι γίνονται, » καθάπερ ΠΤΕΛΕΑ καὶ ΔΡΥΙ... ἔνια δὲ καὶ ἴσχει τοὺς καλουμένους » ὑπό τινων γόγγρους, ἢ τὸ ἀνάλογον, οἷον ἡ ΕΛΑΙΑ. Κυριώτατον » γὰρ ἐπὶ ταύτης τοῦτο τοὔνομα, καὶ πάσχειν δοκεῖ μάλιστα τὸ » εἰρημένον. Καλοῦσι δ' ἔνιοι τοῦτο πρέμνον, οἱ δὲ, κροτώνην, » οἱ δὲ, ἄλλο ὄνομα ». Καὶ πάλιν ὁ αὐτὸς (Δ, 16, σελ. 494), Ἡ » δὲ ἐλαία... φύει καὶ ἧλον· οἱ δὲ μύκητα καλοῦσιν, ἔνιοι δὲ, » λοπάδα »· ἅπερ οὕτως ἡρμήνευσεν ὁ Πλίνιος, Olea... clavum etiam patitur, sive fungum placet dici, vel patellam (*Plin. lib. XVII, cap.* 24). Ὅθεν ἴσως ἐχὶ διορθοῦν καὶ τὸν Ἡσύχιον· « Λοπάς, τὸ τήγανον· καὶ ΛΙΘΟΣ ΕΝ ΕΛΛΑΔΙ »· τὸν γὰρ ἐν Ἑλλάδι τοῦτον λίθον ὁποῖός τίς ἐχι λίθος οὐδείς πω τῶν κριτικῶν ἡμῖν ἐξηγήσατο. Τρεπέσθω τέως, ἕως ἄν ἕτεροι πιθανωτέραν εὕρωσι λύσιν τοῦ ζητουμένου, ἐνθάδε μὲν, ΗΛΟΣ ΕΝ ΕΛΑΙΑ, παρὰ δὲ τῷ ταὐτὰ λέγοντι Σουΐδᾳ, « Ὁ ἐν τῇ ΕΛΑΙΑ γινόμενος ΗΛΟΣ ». Εὕρηται δὲ παρ' Ἡσυχίῳ καὶ τὸ συνώνυμον, « Μύκης... ὁ ἐν ταῖς ἐλαίαις ἐκγεν- » νώμενος (γρ. ἐγγενώμενος) ἧλος ». Καὶ ταῦτα μὲν πάλαι· νῦν δὲ ἀπεδεξάμην μακρῷ πιθανωτέραν ἐγνωκὼς τὴν τοῦ Σνεϊδέρου διόρθωσιν, Πυέλοις. Λέγεται γὰρ καὶ πύελος τὸ περικάλυμμα τῆς βαλάνου· « Κυτ- » ταρος, ἡ τῆς βασάνου (γρ. βαλάνου) πυελίς, κ. τ. λ. » φησὶ Φώτιος· ὥσπερ καὶ ἐφ' ἑτέρων καρπῶν, οἷον λέγει ὁ Διοσκορίδης (Δ, 165) τὸν τοῦ χαρακίου τιθυμάλλου, « Ἐπ' ἄκρων δὲ τῶν καυλῶν κόμη σχοινοειδῶν » ῥαβδίων, καὶ ὑπ' (γρ. ἐπ') αὐτῶν ὑπόκοιλα, ὅμοια πυέλοις, ἐν οἷς » ὁ καρπός ».

Ἐφθῶν δὲ ὁ ζωμὸς λύει κοιλίαν.] Οὐ τούτων μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν ὀξυκοδέρμων, ὡς αὐτός τε Ξενοκράτης ἀλλαχοῦ φησὶ (τμ. μά, μβ', μς', νδ'), καὶ ὁ Διοσκορίδης (Β, 9) μαρτυρεῖ· « Καὶ ὁ ἐκ » τῶν χηνῶν δὲ καὶ τῶν ἄλλων κογχαρίων ζωμὸς κοιλίαν κινεῖ ἑψόμε- » νος μετὰ ὀλίγου ὕδατος· μετ' οἴνου δὲ λαμβάνεται ».

ξά. Λειοξράκων κογχῶν.] Οὕτως διώρθουν πάλαι, ἀντὶ τοῦ, Λείων ὀξυκάων κόγχων.

Διαλλάττουσι... ὡς πελωρίδες, ΚΑΙ ΧΥΜΩ̃ ΚΑΙ ποικιλίᾳ καὶ σχηματισμῷ.] Αἱ ἐκδόσεις φέρουσι, Διαλλάττουσι... ὡς πελωρίδες ΚΑΙ ΧΗΜΑΙ ποικιλίᾳ καὶ σχηματισμῷ. Ὁ Λατῖνος μεταφραστὴς ἡρμήνευσε, Differunt... ut pelorides, varietate ac figura, τουτέστι, Διαλλάττουσι... ὡς πελωρίδες, ποικιλίᾳ καὶ σχηματισμῷ, παραλιπὼν τὸ παρ' ἅπασι βαρβάρως γραφόμενον ὀξείᾳ τάσει ἐπὶ τῆς ληγούσης Χημαὶ, ὅπερ ἔτρεψα εἰς τὸ Χυμῷ. Ἡ δὲ τροπὴ αὕτη ἐπάναγκες ἦτει καὶ τὴν προσθήκην τοῦ δευτέρου συνδέσμου, Καί. Ἀπορήσειε δ' ἄν τις, διὰ τί οὐ μᾶλλον ἔτρεψα τοὔνομα εἰς τὸ Χῆμαι, ἄλλως τε καὶ τοῦ παραλλήλου χωρίου (τμ. μγ΄) μαρτυροῦντος, ὅτι καὶ ἐνθάδε τὰς χήμας ταῖς πελωρίσι συνάπτειν ἔδει. Ἀλλ' ἐκεῖ μὲν, ἐπεὶ πολὺ ἦν τὸ ἐν μέσῳ τῆς ἀρχῆς τοῦ κεφαλαίου, Γλυκυμαρίδες προφέρουσι, καὶ τῶν κατωτέρω, Γίγνεται δὲ καὶ γένη, ἐπαναλαβεῖν ἔγνω τοὔνομα τῶν γλυκυμαρίδων, καταχρηστικῶς τῷ γενικῷ τῶν χημῶν ὀνόματι καλέσας αὐτάς· ἐνταῦθα δὲ οὐ μακρὰν ἀλλήλων κεχώρισαι τὰ ὀνόματα, Γλυκυμαρίδες... ἧττους δὲ πελωρίδων. Διαλλάττουσι δὲ κατὰ τόπους τοῖς εἴδεσιν, ὡς πελωρίδες. Ἔπειτα τὸ προσεχῶς ἑπόμενον, Ἄρισαι, ἀποχρώντως εἰκοτολογεῖ τὸ Χυμῷ· παρὰ φυσιολόγοις μὲν γὰρ, ἢ καὶ ἄλλως φιλοθεάμοσι τῶν τῶν τῆς φύσεως ἔργων, καλῶς ἂν λέγοιτό τι ἄρισον διὰ τὸ ποικίλον καὶ κομψὸν τοῦ σχήματος· παρὰ δὲ τοῖς ἐξετάζουσι τὴν γεῦσιν ἢ δύναμιν τῶν ἐδεσμῶν, ἄρισα λέγονται τὰ ἡδέα καὶ εὔχυμα.

Ἄρισαι.] Τουτέστι, γλυκεῖαι καὶ εὔχυλοι, ὥσπερ ἀνωτέρω (τμ. μγ΄) εἴρηκε περὶ τῶν αὐτῶν. Εἰ δὲ μὴ καλῶς εἶχε τὸ τῆς ἐμῆς διορθώσεως χυμῷ, τότ' οὐκ ἂν ἄρισαι, ἀλλὰ ποικίλαι καὶ σρογγύλαι, εἶπεν, ὥσπερ ἐκεῖ.

Τραχεῖαι.] Ἐξερρύη τι τοῦ χωρίου. Ἴσως γραπτέον, Τραχεῖαι, σκληραὶ καὶ δριμεῖαι, ὥσπερ ἀνωτέρω (τμ. μγ΄), ἢ, Τραχεῖαι, δριμεῖαι, μόνον. Τὸ γὰρ τραχεῖαι τὴν τοῦ ὀσράκου τραχύτητα σημαίνει· τὸ δὲ σκληραὶ καὶ δριμεῖαι τὴν τῆς σαρκὸς δύναμιν, ἀντικειμένως πρὸς τὸ Ἄρισαι.

ξϐ'. Τὰ δὲ καλούμενα ὠτία.] Καλεῖται Ὠτία, καὶ Ὠτάρια, τρόφιμα μὲν, οὐκ εὐέκκριτα δὲ κατὰ τὸν Ἰκέσιον· Δίφιλος δὲ, «δύσ-» πεπτα, τρόφιμα δὲ μᾶλλον τηγανιζόμενα» φησὶν αὐτὰ εἶναι, παρὰ τῷ Ἀθηναίῳ (σελ. 87 καὶ 91), παρ' ᾧ σεσημείωται καὶ ὅτι ὑπὸ ΑΙΟΛΕΩΝ τὸ ὄσρεον τοῦτο Οὖς Ἀφροδίτης ἐκαλεῖτο· ὅθεν καὶ τὸν Ἡσύχιον ἐπεβάλοντο διορθοῦν οἱ κριτικοὶ, ἐν οἷς φησιν· «Οὖς

» Ἀφροδίτης. Οἱ ἁλιεῖς ὄρρεόν τι οὕτω καλοῦσιν », τρέποντες τὸ ἁλιεῖς εἰς τὸ Αἰολεῖς. Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Δ, 4) δ' αὐτὸ ἀγρίαν λεπάδα ὀνομάζει· « Τῇ δ' ἀγρίᾳ λεπάδι, ἣν τινες καλοῦσι θαλάττιον » οὖς, ὑποκάτω τοῦ ὄρρακου ἡ περίττωσις ἐξέρχεται ». Ἴσως δὲ συνέχεεν ὁ Ἀθήναιος τὸ παρὰ Ἀριστοτέλει θαλάττιον οὖς τῷ παρὰ τοῖς ἁλιεῦσιν, ἢ Αἰολεῦσι, τῆς Ἀφροδίτης ὠτί· τοῦτο μὲν γὰρ οὐκ ἀπεικότως ταὐτὸν ἄν τις ὑπονοήσειεν εἶναι τῷ παρὰ τοῖς Γάλλοις καλουμένῳ, Ἀρτέμιδος ὠτὶ Oreille de Diane, τοῦ τῶν στρομβωδῶν ὄντι γένους· τὸ δὲ θαλάσσιον οὖς λεπάδι μᾶλλον προσέοικεν, ὡς ἐσημειωσάμεθα ἐν τοῖς πρόσθεν (σελ. 150).

Διαχωρητικά.] Προειλόμην τοῦ Διαφορητικὰ τὴν τῆς κατὰ Μόσχαν ἐκδόσεως γραφὴν, Διαχωρητικά. Τοιαῦτα γὰρ τὰ κακοσόμαχα, οἷον καὶ μικρὸν ὑποβὰς (τμ. ξγ΄) ἐρεῖ περὶ τῶν ταρίχων, « Κακοσό- » μαχοι... ταρακτικοὶ κοιλίας », καὶ τελευταῖον (τμ. ογ΄) περὶ τῶν ἐλαχίστων ταριχίων, « Κακοσόμαχα... κοιλίας ὑπαγωγά ».

Ἀπὸ τηγάνου.] Ἐκ τῆς αὐτῆς ἐκδόσεως καὶ ἡ γραφὴ αὕτη, ἣν πιστοῦται τὸ ἀνωτέρω (σελ. 157) παρατεθὲν ἐκ τοῦ Διφίλου μαρτύριον. Αἱ λοιπαὶ τῶν ἐκδόσεων, Ἀπὸ πηγάνου, ἦν ὡς ταυτόσημον τῇ Μετὰ πηγάνου, ἢ Σὺν πηγάνῳ, ἡρμήνευσε καὶ ὁ Λατῖνος μεταφραστὴς, cum ruta. Καλεῖται γὰρ Ruta τοῖς Ῥωμαίοις ὥσπερ καὶ τοῖς νῦν Ἰταλοῖς τὸ πήγανον (Γαλλ. Rue), ἀπὸ τῆς ἀρχαίας Πελοποννησίων διαλέκτου· Ῥυτὴν γὰρ ἐκεῖνοι αὐτὸ ὠνόμαζον, καθὰ ἐσημειώσατο ὁ σχολιάσας τὸν Νίκανδρον. Μνημονεύει τῆς Ῥυτῆς καὶ ὁ Ἀρεταῖος (σελ. 79 καὶ 131). Φώτιος δὲ, Ῥυτὸν, οὐδετέρως, ὥσπερ καὶ τὸ πήγανον, αὐτὸ καλεῖ. « Ῥυτὰ, πήγανα· οὕτως Κρατῖνος »· ᾧ συνᾴδει καὶ ὁ Ἡσύχιος, « Ῥυτὰ, σέμφυλα, καὶ πήγανον λευκόν κ. τ. λ. ». Τὸ δὲ πήγανον, ἀρσενικῶς ἐν τῇ καθ' ἡμᾶς φωνῇ, Ὁ πήγανος, καὶ μετὰ τοῦ πλεονασικοῦ α, Ὁ ἀπήγανος, ἐκφέρεται.

Μεγάλα.] Εἰς τοῦτο δεῖν τρέπειν ἔγνων τὸ Μεγάλαι· περὶ γὰρ τῶν ὠτίων ὁ λόγος, οὐ περὶ τῶν γλυκυμαρίδων, περὶ ὧν πέπαυται λέγων, καὶ ὧν τὴν σκευασίαν παρέλιπε διὰ τὸ τὴν αὐτὴν εἰκότως εἶναι τῇ τῶν λείων χηρῶν δι' ὀπτοῦ καὶ νάπυος σκευασίᾳ.

Συμπληρώσασι τὸν περὶ τῶν ὀστρακοδέρμων λόγον τοῦ Ξενοκράτους ὥρα καὶ ἣν ἀνωτέρω (σελ. 120) ὑπεσχόμεθα ῥῆσιν Ἀρχεσράτου περὶ αὐτῶν παραθεῖναι, ἔχουσαν οὕτως (παρ' Ἀθην. σελ. 92),

Τοὺς μῦς Αἶνος ἔχει μεγάλους, ὄστρεια δ' Ἄβυδος,
Τὰς ἄρκτους Πάριον, τοὺς δὲ κτένας ἡ Μιτυλήνη·

Πλείσους δ' Ἀμβρακία παρέχει, κάπρους τε μετ' αὐτῶν.
Μεσσήνη δὲ πελωριάδες ζενοπορθμίδι κόγχαι.
Κἀν Ἐφέσῳ λήψῃ τὰς χήμας οὔτι πονηράς.
Τήθεα Καλχηδών. Τοὺς κήρυκας δ' ἐπιτρίψαι
Ὁ Ζεύς! ———————————

ἧς τὸ λειπόμενον κατεχωρίσαμεν ἐν τῷ περὶ τῶν κηρύκων λόγῳ (σελ. 125). Ἐνταῦθα δὲ σημειωτέον, πρῶτον μέν, ὅτι αἱ μὲν Ἄρκτοι τῶν ὀστρακοδέρμων μέν εἰσιν, οὐ μὴν τῶν σκληροστράκων, ὥσπερ οἱ μύες, τὰ ὄστρεα, οἱ κτένες, αἱ χῆμαι, τὰ τήθεα, καὶ οἱ κήρυκες, ἀλλὰ τῶν μαλακοστράκων, οὗ γένους εἰσὶν οἱ ἀζακοὶ οἱ κάραβοι καὶ οἱ καρκίνοι, ὧν οὐδὲν εὕρηται ἐν τοῖς Ξενοκράτους. Ἔπειτα, ὅτι τῶν Κάπρων, οὐδὲν ἐχόντων πρὸς τὰ ὀστρακώδη κοινὸν, ἐν παρέργῳ δηλονότι Ἀρχέστρατος ἐμνημόνευσεν· εἰπὼν γὰρ ὅτι πλείσους κτένας Ἀμβρακία παρέχει, ἀνεμνήσθη καὶ τῶν ἐκεῖ Κάπρων, περὶ ὧν ἀλλαχοῦ ἰδίως εἴρηκε (παρὰ τῷ Ἀθην. σελ. 305),

Αὐτὰρ ἐς Ἀμβρακίαν ἐλθὼν εὐδαίμονα χώραν,
Τὸν κάπρον γ' ἂν ἐσίδῃς, ὠνοῦ, καὶ μὴ κατάλειπε,
Κἂν ἰσόχρυσος ἔῃ· μή σοι νέμεσις καταπνεύσῃ
Δεινὴ ἀπ' ἀθανάτων. Τὸ γάρ ἐσιν νέκταρος ἄνθος.
Τούτου δ' οὐ θέμις ἐσὶ φαγεῖν θνητοῖσιν ἅπασιν,
Οὐδ' ἐσιδεῖν ὅσσοισιν, ὅσοι μὴ πλεκτὸν ὕφασμα
Σχοίνου ἐλειοτρόφου κοῖλον χείρεσσιν ἔχοντες,
Εἰώθασι δονεῖν ψήφους αἴθωνι λογισμῷ.

Ἔζι δὲ ἡ μὲν Ἄρκτος κατὰ μὲν τὸν Βελλώνιον παραπλήσιος τοῖς ἀζακοῖς καὶ ταῖς καρίσι τῷ σχήματι, κατὰ δὲ τὸν Ῥονδελέτον, ζρογγυλωτέρα, καὶ τοῖς παγούροις μᾶλλον προσεοικυῖα (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 195). Ὡσάυτως δὲ καὶ περὶ τοῦ κάπρου ἰχθύος οὐχ ὁμολογοῦσιν ἀλλήλοις οἱ ἰχθυολόγοι.

ξγ΄. Οἱ δὲ τάριχοι... κοιλίας.] Περὶ τῶν ταρίχων ἐν γένει ταῦτα λέγει Δίφιλος (παρ' Ἀθην. σελ. 120)· « Τὰ ταρίχη τὰ ἐκ τῶν θαλασσίων καὶ λιμναίων καὶ ποταμίων γινόμενα ἐσὶν ὀλιγότροφα, ὀλιγόχυλα, καυσώδη, εὐκοίλια, ἐρεθιζικὰ ὀρέξεως ». Εἶτα ἐχομένως καὶ εἴδη ταρίχων καταλέγει τάδε· « Κράτιζα δὲ τῶν μὲν ἀπιόνων, κύβια, καὶ ὡραῖα, καὶ τὰ τούτοις ὅμοια γένη· τῶν δὲ πιόνων, τὰ θυννάϊα, καὶ κορδύλη. Τὰ δὲ παλαιὰ κρείσσονα καὶ δριμύτερα, καὶ μάλιζα

» τὰ Βυζάντια. τὸ δὲ Θύννιον γίνεται ἐκ τῆς μείζονος πηλαμύδος, » ὧν τὸ μικρὸν ἀναλογεῖ τῷ κυβίῳ, ἐξ οὗ γένους ἐστὶ καὶ τὸ ὡραῖον. » Ἡ δὲ σάρδα προσέοικε τῷ κολίᾳ μεγέθει. Ὁ δὲ σκόμβρος, κοῦφος, » καὶ ταχέως ἀποχωρῶν τοῦ σομάχου. Ὁ κολίας δὲ κολλώδης, σκιλ- » λωδέστερος, θηκτικώτερος καὶ κακοχυλώτερος, τρόφιμος. Κρεῖσσων » δὲ ὁ Ἀμυκλανὸς, καὶ Ἱσπανὸς, ὁ Σαξιτανὸς (ἴσ. γρ. καὶ τῶν Ἱσπα- » νῶν ὁ Σαξιτανὸς) λεγόμενος· λεπτότερος γὰρ καὶ γλυκύτερος »· οἷς συμφέρεται καὶ Διοκλῆς, λέγων (παρὰ τῷ αὐτ. σελ. 116), « Τῶν » ταρίχων τῶν ἀπιμέλων κράτιστα εἶναι τὰ ὡραῖα, τῶν δὲ πιόνων, » τὰ Θύννεια ». Ἱκέσιος δὲ (παρὰ τῷ αὐτ.) φησὶν, « Οὐκ εἶναι εὐεκ- » κρίτους κοιλίας, οὔτε πηλαμύδας, οὔτε τὰ ὡραῖα· τὰ δὲ νεώτερα » τῶν Θυννείων ἀναλογίαν ἔχειν τοῖς κυβίοις, μεγάλην τε εἶναι δια- » φορὰν πρὸς πάντα τὰ ὡραῖα λεγόμενα, ὁμοίως καὶ τῶν Βυζαντίων » ὡραίων πρὸς τὰ ἀφ' ἑτέρων τόπων λαμβανόμενα· καὶ οὐ μόνον τῶν » Θυννείων, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἁλισκομένων ἐν Βυζαντίῳ ». Ἀρχέστρατος δὲ (παρὰ τῷ αὐτ. 117) παραινεῖ,

Ἂν δ' ἀφίκῃ κλεινοῦ Βυζαντίου εἰς πόλιν ἀγνὴν,
Ὡραίου φάγε μοι τέμαχος πάλιν· ἔξι γὰρ ἐσθλὸν,
Καὶ μαλακόν. ———————

Λεπτυντικοὶ καὶ ταρακτικοὶ κοιλίας.] Κατὰ γὰρ τὸν Ἱπποκράτην (Περὶ διαίτ. Β, § 19, σελ. 222) « Οἱ τάριχοι ξηραίνουσι καὶ ἰσχναί- » νουσι· τὰ δὲ πλείονα (γρ. πίονα) καὶ διαχωρέει ἐπιεικῶς. Ξηρό- » τατοι μὲν τῶν ταρίχων οἱ θαλάσσιοι, δεύτεροι οἱ ποτάμιοι· ὑγρό- » τατοι δὲ οἱ λιμναῖοι. Αὐτέων δὲ τῶν ταρίχων οἱ λεγόμενοι πέρκαι » ἰχθύες ἰσχυρῶς ξηρότεροι ». Δίφιλος δὲ (παρ' Ἀθην. σελ. 356) ἰδίως περὶ τῆς πηλαμύδος, « Ταριχευθεῖσα δὲ κυβίῳ ὁμοίως εὐκοίλιος » καὶ λεπτυντική ».

Ὧν οἱ μὲν παλαιοὶ, ἐπιτεταμένοι.] Ὅτι μὲν εὐλόγως ἔτρεψα τὸ, Ὧν οἱ πελάγιοι, εἰς τὸ, Ὧν οἱ μὲν παλαιοὶ, μαρτυρεῖ ἀποχρώντως τὰ ἑπόμενα. Ἐνδέχεται μέντοι καὶ πλεῖόν τι τούτου ἡμαρτῆσθαι ἐν τῇ γραφῇ, ἐκρυέντος ἴσως ὀνόματός τινος σημαντικοῦ ποιότητος ἢ δυνάμεως, ἵν' ᾖ τὸ, Ἐπιτεταμένοι (ἐλλειπτικῶς τοῦ, χρόνῳ) συνώ- νυμον τῷ παλαιοὶ, οὕτως, Ὧν οἱ μὲν παλαιοὶ καὶ ἐπιτετα- μένοι, δύσφθαρτοι, ἢ σκληροὶ, ἤ τι ἕτερον τοιοῦτον. Οὕτως Ξενοφῶν (Λακεδαιμον. πολιτ. β', 5) εἴρηκεν, « Ἀπὸ τοῦ αὐτοῦ σίτου » πλείω χρόνον ἐπιταθῆναι »· ὅθεν καὶ διορθοῦν ἐστι τὸν Ἡσύχιον·

« ΕΠΙΤΑΛΟΝ,

« ΕΠΙΤΑΛΟΝ, πολυχρόνιον », τρέποντας τὴν πρώτην λέξιν εἰς τὸ ΕΠΙΤΑΤΟΝ. Εἰ δὲ προαιρῇ ἐᾶν τὸ ἐπιτεταμένοι, ὥσπερ νῦν ἔχει, μηδὲν προσιϑεὶς, ἐκδέχου ἐπὶ τοῦ ϑριμύτερα καὶ εὐστομώτερα, ὥσπερ καὶ Δίφιλος ἔλεγε (ἴδ. ἀνωτέρ. σελ. 159) τὰ παλαιὰ τῶν ταρίχων κρείσσονα καὶ ϑριμύτερα εἶναι. Εἰκὸς δὲ τοῦϑ' οὕτως ἔχειν μάλιστα ἐπὶ τῶν πιόνων· ἡ γὰρ τούτων σὰρξ, ὅσῳ πλείω καὶ παχυτέραν ἐν ἑαυτῇ ἔχει παρεσπαρμένην ὑγρότητα, τοσῷδε μᾶλλον ἀμείνων γίνεται ταριχευομένη, ὡς φησι Γαληνός (ἴδ. ἀνωτέρ. σελ. 41). Καὶ αὐτὸς δὲ Ξενοκράτης ἐν τοῖς ἑξῆς, (τμ. ξϑ'.) τὸν ὄρκυνον παλαιούμενον ἧττον δύσφϑαρτον γίνεσϑαί φησι.

Νεαλεῖς] Οὐκ ἐπὶ τῶν νεωστὶ ἁλόντων (σημαίνει γὰρ καὶ τοῦτο), ἀλλ' ἐπὶ τῶν νεωστὶ ἁλισϑέντων. Διὸ καὶ Ἡσύχιος· « Νεαλεῖς, πρόσφατοι· κυρίως δὲ ἐπὶ τῶν ἁλσὶ παττομένων ».

Μεσοχρόνιοι.] Εἰς τὸ μήπω καταχωρισϑὲν ἐν τοῖς Λεξικοῖς τοῦτο συνῆψα τὰς δύο λέξεις, Μέσοι, χρόνιοι. Ἔστι δὲ καὶ μὴ συνάψαντα γράφειν, Μέσοι χρόνῳ.

ξϑ'. Κολίαι] Τῶν μὲν νεαρῶν κολιῶν ἐκτέϑεινται ἀνωτέρω (τμ. ιή, σελ. 64), αἱ δυνάμεις· ἐνταῦϑα δὲ περὶ τῶν ταριχευομένων, ὥσπερ καὶ ἐν τοῖς ἑξῆς περὶ τῶν λοιπῶν ὁ λόγος.

Οἱ Ἰϐηρικοὶ] Τουτέστιν οἱ Ἱσπανικοὶ, οὓς καὶ Σαξιτανοὺς ὠνόμαζον, ὡς ἐσημειώϑη ἀνωτέρω (σελ. 160) ἐκ τοῦ Διφίλου τό τε ὄνομα καὶ ἡ δύναμις.

ξέ. Πηλαμὺς μικρά.] Καὶ ἐνϑάδε, ὥσπερ ἀνωτέρω (τμ. ιή), διακρίνει τοῦ ϑύννου τὴν πηλαμύδα. Μικρὰν δὲ πηλαμύδα λέγει τὴν ἄλλως καλουμένην Κορδύλην, ἢ Σκορδύλην (ἀνωτέρ. σελ. 65), ἢ δῆλον καὶ ἐκ τοῦ Πλινίου, Cordyla, et hæc pelamis pusilla, quum in Pontum e Mæotide exit hoc nomen habet (*Plin. lib. XXXII, cap. II*).

Μαιώταις.] Οὕτως γραπτέον εἶναι εἶκασε καὶ ὁ Ματϑαῖος ἐκ τῆς Λατινικῆς μεταφράσεως ἀντὶ τοῦ ἀνοήτου Μεσογαίαις, ἢ ὡς ἐν ἄλλοις φέρεται, Μεσόταις. Μαιώτας δὲ λέγει τοὺς περὶ τὴν Μαιώτιδα λίμνην οἰκοῦντας· καὶ ἔστι ταυτὸν, ὥσπερ ἂν εἰ καὶ, ἐν τῇ Μαιώτιδι λίμνῃ, ἔλεγεν, ἢ δῆλον ἐξ ὧν φησι. Στράϐων (σελ. 320) περὶ τῆς πηλαμύδος, « Γεννᾶται μὲν οὖν τὸ ζῶον ἐν τοῖς ἕλεσι τῆς Μαιώτιδος· ἰσχύσαν δὲ » μικρὸν, ἐκπίπτει διὰ τοῦ στόματος ἀγεληδὸν, καὶ φέρεται παρὰ » τὴν Ἀσιανὴν ἠϊόνα μέχρι Τραπεζοῦντος καὶ Φαρνακίας. Ἐνταῦϑα δὲ » πρότερον συνίστασϑαι συμϐαίνει τὴν ϑήραν· οὐ πολλὴ δ' ἐστὶν· οὐ

» γάρ πω τὸ προσῆκον ἔχει μέγεθος. Εἰς δὲ Σινώπην προϊοῦσα, » ὡραιοτέρα πρός τε τὴν θήραν καὶ τὴν ταριχείαν ἐστὶν, κ. τ. λ. ».

ξς'. Κύβιον, πηλαμὺς μετὰ τεσσαράκοντα ἡμέρας ἀπὸ Πόντου ἐπὶ Μαιῶτιν λίμνην ὑποστρέφουσα.] Ἐγράφετο πρὸ τῆς ἡμετέρας ἐκδόσεως ἐν μὲν ταῖς ἄλλαις, « Κυβινοπηλαμὺς μετὰ τεσσαράκοντα » ἡμέρας ἐπὶ Πόντῳ μετὰ λίμνην ὑποστρέφουσα »· ἐν δὲ τῇ κατὰ Μόσχαν, « Κύβινον [ΔΓ Κύβιον] πηλαμὺς μετὰ τεσσαράκοντα ἡμέρας » ἀπὸ Πόντου ἐπὶ Μετιλίμνην ὑποστρέφουσα ». Τούτων ἡ διόρθωσις οὐκ ἦν δυσχερὴς, ἄλλως τε καὶ τοῦ Πλινίου λέγοντος, Cybium, ita vocatur concisa pelamis, quæ post XL dies a Ponto in Mæotin revertitur (*Plin. lib. XXXII, cap. II*). Κύβια δ' ἐκαλοῦντο τῶν ταριχηρῶν πηλαμύδων τὰ τεμάχη, ἀπὸ τοῦ σχήματος δηλονότι, ἐμφεροῦς ὄντος τοῖς κύβοις· καὶ ἐοικασι ταὐτὰ εἶναι τοῖς ὑπ' Εὐθυδήμου (παρ' Ἀθην. σελ. 116) καλουμένοις Τετραγώνοις. Φησὶ γὰρ ἐκεῖνος, ὅτι οἱ περὶ τὸν Βόσπορον,

Τμήγοντες τετράγωνα ΤΑ ΧΗΤΡΙΑ τεκταίνονται·

ἔνθα οἱ μὲν ΤΑ ΚΥΒΙΑ, οἱ δὲ, ΤΑ ΙΤΡΙΑ, ἢ ΤΑΡΙΧΗ, γραπτέον εἶναι ὑπειλήφασιν. Ἄμεινον ἴσως ὑποκοριστικῶς γράφειν,

Τμήγοντες τετράγωνα ΤΑΡΙΧΙΑ τεκτάινονται.

ξζ'. Τὸ δὲ ὡραῖον.) Συχνὴ καὶ παρὰ τῷ Ἀθηναίῳ τοῦ Ὡραίου καλουμένου ταρίχου μνήμη· ὃ, καίπερ οὐκ εὔδηλον ἔχον τὸν νοῦν, οὐ συγχυτέον μετὰ τοῦ Οὐραίου. Οὐραῖον μὲν γὰρ ἐπὶ προσφάτου ἰχθύος καλεῖται τὸ πρὸς τῇ οὐρᾷ μέρος αὐτοῦ, οἷον ἀνωτέρω τὸ τῆς θύννης (σελ. 64) καὶ τὸ τοῦ φάγρου (σελ. 105) οὐραῖον σεσημείωται ἐκ του Ἀρχεστράτου, Ὡραῖον δὲ ἐπὶ τῶν ταρίχων, οἱ μὲν τὸ ἐν ἔαρι ἁλισθὲν, ἐπεὶ καὶ κατ' ἐξοχὴν Ὥρα καλεῖται τὸ ἔαρ (ἴδ. Ησύχ. λέξ. Ὡραῖον), οἱ δὲ τὸ ἐξ εὐμεγέθους καὶ ὡραίου, τουτέστι καλοῦ, ἰχθύος τάριχος ἐξεδέξαντο· περὶ ὧν ἔπιθι τὰς σημειώσεις τοῦ τελευταῖον ἐκδόντος τὸν Ἀθήναιον (Σημειώσ. εἰς τὸν Ἀθήν. Τομ. Α, σελ. 51, καὶ Τόμ. Β, σελ. 308 καὶ 313). Καὶ οἱ Ῥωμαῖοι δὲ τὸ Ἑλληνικὸν φυλάξαντες ὄνομα, ἐπὶ ταρίχους ἔταξαν τὸ ὡραῖον· αὐτίκα Πλαῦτος ἐν Αἰχμαλώτοις φησὶ,

Horæum, scombrum et trigonum et cetum,

(*Plaut. Captiv. Act. IV, Sc. II, vers* 71), ἔνθα οἱ σχολιασταὶ

ὡραῖον ἐξηγοῦνται τὴν ἐν ἔαρι ταριχευομένην πηλαμύδα, καί φασιν ὑπὸ τῶν Ἑλλήνων ἀδιαφόρως Ὡραῖον καὶ Οὐραῖον καλεῖσθαι, αὐτοσχεδιάσαντες τοῦτό γε, ἢ τῷ Πλινίῳ πεισθέντες· κἀκεῖνος γάρ, Οὐραῖον καλεῖ τὸ παρὰ τοῖς ἄλλοις Ὡραῖον, εἰ μὴ ἡμάρτηται ἡ γραφή, ὡς ἐν τοῖς ἑξῆς γενήσεται δῆλον. Πρῶτον μὲν γάρ, εἰ ταὐτὸ δηλοῦσιν ἄμφω τὰ ὀνόματα, οὐδὲν ἂν μᾶλλον ἐκ πηλαμύδος, ἢ καὶ ἐξ ἄλλων ἰχθύων εἴη τὰ ὡραῖα, ἐπεὶ καὶ θύννης καὶ φάγρου οὐραῖα εἴρηκεν Ἀρχέστρατος τῶν προσφάτων, τὸ δὲ ὡραῖον ἐπὶ ταρίχου μόνου ἔταξεν, οὐ προσδιορισάμενος τοῦ ἰχθύος τὸ εἶδος. Εὐθύδημος δὲ (παρ' Ἀθην. σελ. 116) καὶ τοὺς θύννους ὡραίους ἔφησεν ἐπιθετικῶς,

Θύννων δ' ὡραίων Βυζάντιον ἔπλετο μήτηρ
Καὶ σκόμβρων βυθίων. ———————

Ἔπειτα, εἰ καὶ Δίφιλος τοῦ τῶν πηλαμύδων γένους (αἰνιγματωδῶς μᾶλλον ἢ διαρρήδην) λέγειν ἔοικε τὰ ὡραῖα, ἀλλ' ὅ γε Ἰκέσιος διακρίνει ταῦτα τῶν πηλαμύδων, ὡς ἐν τοῖς πρόσθεν (σελ. 160) δεδήλωται. Ὁ δὲ, Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 984, 987 καὶ 1165) τὸ μὲν Ὡραῖον ἐν γένει τάριχος σημαίνειν οἴεται τὸ μήτε παλαιότερον μήτε νεώτερον τοῦ προσήκοντος, τὸ Οὐραῖον δὲ μέρος ταρίχους τὸ πρὸς τῇ οὐρᾷ, ὡραῖον καὶ τοῦτο ἐπιθετικῶς πολλάκις εἰρημένον· καὶ ἔοικέ πως εἰκοτολογεῖσθαι ταῦτα ἐξ ἧς ἀνωτέρω (σελ. 161) παρεθέμεθα τοῦ Στράβωνος ῥήσεως, ἐὰν τὸ Ὡραῖον οὐκ ἐπὶ τοῦ χρόνου τῆς ταριχείας, ἀλλ' ἐπ' αὐτοῦ τοῦ ταριχευομένου ἰχθύος ἐκδέχῃ, ὡς εἶναι τάριχος ὡραῖον τὸ ἐξ ὡραίου ἰχθύος, τουτέστι μέσου τῇ ὥρᾳ καὶ τῇ ἡλικίᾳ, κατὰ τὴν τοῦ Στράβωνος ῥῆσιν. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοῦ παρόντος ἐάσθω, οὔθ' ὑπὸ τῶν πρὸ ἐμοῦ ἀκριβῶς ἐξηγηθέντα, οὔτ' ἐμοί πω πιθανῶς ἐγνωσμένα· μεταβῶμεν δὲ ἐπὶ τὰ ἑχόμενα.

Ἄδιψον.] Ἄδιψον νόει μοι ὧδε τὸ μὴ ἐμποιοῦν δίψαν, οὐ τὸ παῦον δίψαν.

ξή. Τρίτομον.] Καὶ τούτου οὐδὲν ἧττον καὶ ὁ νοῦς καὶ ἡ γραφὴ ἠμφισβήτηται. Αἱ μὲν γὰρ πρὸ τῆς ἐμῆς ἐκδόσεις φέρουσι, Τρίτομον· ἀντ' αὐτῆς δὲ ἔνια τῶν ἀντιγράφων Τρίτον, ἕτερα δὲ, Τρίτων. Τὴν τελευταίαν ταύτην γραφὴν τὴν ὁμώνυμον τῷ μυθευομένῳ Τρίτωνι, ἀνθρωπομόρφῳ κήτει (Αἰλιαν. Περὶ ζ. ἰδιότητ. ιγ', 21), δηλός ἐστιν ἀποδεξάμενος καὶ ὁ Πλίνιος ἐκ τῆς κατὰ τὰς πλαγίας κλίσεως· Tritoni γὰρ (Τρίτωνι) σχηματίζει τὴν δοτικὴν, ὡς αὐτίκα ποιήσομεν δῆλον. Ἡμεῖς δὲ προειλόμεθα τὴν ἐκδεδομένην, ὡς συνώνυμον τοῦ

παρὰ τῷ Πλαύτῳ Trigonum [Τρίγωνον (ἴδ. ἀνωτέρ. 162), ἣν ἔχει καὶ ὁ Εὐθύδημος (παρ' Ἀθην. σελ. 116)· μετὰ γὰρ τὸ μνησθῆναι ὧν ἀνωτέρω (σελ. 162) ἐλέγομεν Τετραγώνων ταρίχων, ἐπιφέρει·

Ὀρκύνοιο τρίγωνα, τά τ', ἐν σάμνοισι τεθέντα
Ἀμφαλλὰξ, δείπνοισιν ἐνὶ πρώτοισιν ὀπηδεῖ.

Τρισὶ γὰρ τομαῖς ἀνάγκη χρήσασθαι τὸν βουλόμενον ἐκ μέσου τοῦ σώματος τοῦ ἰχθύος τέμαχος τρίγωνον ἀποσπάσαι. Νῦν δὲ παραθώμεθα καὶ τὰ ἐκ τοῦ Πλινίου περὶ τοῦ τριτόμου ἢ τρίτωνος, εἴπως καταδηλότερον γένηται τὸ περὶ οὗ ὁ λόγος. Καὶ πρῶτον μέν, συμφώνως τῷ Ξενοκράτει, Κύβιον ὀνομάζει τὴν μετὰ τεσσαράκοντα ἡμέρας ὑποσρέφουσαν ἐπὶ τὴν Μαιώτιδα λίμνην πηλαμύδα, καὶ τεμαχιζομένην, Cybium, ita vocatur concisa Pelamis, quæ post XL dies a Ponto in Mæotin revertitur (*Plin. lib. XXXII, cap.* 11). Εἶτα ἐχομένως λέγει Κορδύλην καλεῖσθαι τὴν ΕΛΑΧΙΣΤΗΝ πηλαμύδα, ἡνίκα ἐκ τῆς Μαιώτιδος εἰς τὸν Πόντον ἔξεισι Cordyla, et hæc pelamis PUSILLA quum in Pontum e Mæotide exit, hoc nomen habet. Ἔξι δὲ προδήλως αὕτη, ἣν ἀνωτέρω (σελ. 194) Ξενοκράτης Πηλαμύδα μικρὰν ὠνόμασε, γινομένην ἐν Μαιώταις. Ἔξιν οὖν τὸ κύβιον τοῦτε Πλινίου καὶ τοῦ Ξενοκράτους, ἡ ΜΕΙΖΩΝ πηλαμὺς, ἡ ὑποσρέφουσα ἐπὶ τὴν Μαιώτιδα λίμνην μετὰ τεσσαράκοντα ἡμέρας τῆς ἐκ τῆς λίμνης ἐξόδου, ὡς ἐκδηλότερον Πλίνιος, μικρὸν ὑποβάς, ἐκ τῆς μείζονος πηλαμύδος λέγει γίνεσθαι καὶ τὰ τρίτομα καὶ τὰ κύβια, Triton pelamidum generis MAGNI : ex eo uræa Cybia fiunt (*Plin. ibid.*), τοῦτο διαφέρων Ξενοκράτους καὶ ἑτέρων τῶν μικρὸν ἀνωτέρω μνημονευθέντων, ὅτι τρίτωνα τὸ τρίτομον, ἢ τρίγωνον, ὀνομάζει, καὶ οὐραῖον τὸ ὡραῖον. Συνάδει δ' αὖ πάλιν ἐκ μέρους τῷ Ξενοκράτει ἐν τοῖς περὶ ὀρκύνου, τῶν πηλαμίδων τὴν ΜΕΓΙΣΤΗΝ οὕτω καλεῖσθαι λέγων, τὴν μὴ ὑποσρέφουσκν ἐπὶ τὴν Μαιώτιδα, εἶναί τε τριτόμῳ ὅμοιον, καὶ παλαιούμενον βελτιοῦσθαι, Orcynus : hic est pelamidum generis MAXIMUS, neque redit in Mæotin, similis tritoni, vetustate melior (*Plin. ibid.*). Καὶ τοῦτο δ' ἄν τις ἀπορήσειε περὶ τοῦ τριτόμου, μήποτε οὐ ταυτόν ἐσι τῷ τριγώνῳ· τοῦτο μὲν γὰρ ἐξ ὀρκύνου γίνεσθαι φησὶν ὁ Εὐθύδημος, «Ὀρκύνοιο τρίγωνα», τὸ δὲ τρίτομον διάφορον τοῦ ὀρκύνου ὑποτίθεται καὶ Ξενοκράτης καὶ Πλίνιος. Ἠρτέον, ὅτι καὶ κύβια, καὶ τρίτομα, ἢ τρίγωνα, ὥσπερ ἐκ τῆς καλουμένης

μείζονος πηλαμύδος, οὕτως καὶ ἐκ τοῦ Ὀρκύνου, τουτέστι τῆς μεγίστης πηλαμύδος, ἐγίνοντο· ἢ, ὃ καὶ πιθανώτερον, τὸν αὐτὸν ἰχθὺν τῶν ἀρχαίων ἡγησαμένων, Κορδύλην, πηλαμύδα, θύννον καὶ ὄρκυνον καλεῖσθαι κατὰ τὴν διαφορὰν τῆς ἡλικίας καὶ τοῦ μεγέθους, καθὰ ἐν τοῖς πρόσθεν (σελ. 65) σεσημείωται, οὐ θαυμαστὸν εἴ τινες συνέχεαν καὶ τὰ ὀνόματα καὶ τὰς ἡλικίας, ὀρκύνους ὀνομάζοντες τοὺς ὑφ' ἑτέρων καλουμένους θύννους. Τούτοις προσσημειωτέον, εἰς εὐχερεστέραν τῶν τοῖς ἀρχαίοις εἰρημένων περὶ ταρίχων κατανόησιν, ὅτι ταῖς τῶν μερῶν ὀνομασίαις καὶ ἐπὶ τῶν ὅλων ἰχθύων πολλάκις ἐχρῶντο· οἷον Κύβιον, οὐ μόνον τὸ κυβοειδὲς τέμαχος, ἀλλὰ καὶ τὸν ἐξ οὗ ἐτέμνετο ἰχθύν, ὠνόμαζον. Ταυτὸ χρὴ νοεῖν καὶ περὶ τοῦ Τριτόμου, ἢ Τριγώνου, Ὡραίου τε καὶ Ἀπολέκτου. Ὀππιανὸς δὲ (Ἁλιευτ. Α, 183) Κυβείαν ἀρσενικῶς ὠνόμασε τὸν ἰχθὺν ἐξ οὗ τέμνεται τὰ κύβια·

Ὀρκύνων γενεὴ, καὶ πρηνάδες, ἠδὲ κυβεῖαι·

Πρηνάδας, ἢ μᾶλλον Πρημνάδας, τὰς πηλαμύδας, ἢ γοῦν τὰς θυννίδας, λέγων (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 891).

Τρίτομον δύσφθαρτον, σερεώτερον τοῦ κυβίου, τἆλλα δὲ ἐμφερές.] Ἡ πρὸ τῆς ἐμῆς ἐκδόσεως γραφὴ ἦν, Τρίτομον κύβιον δύσφθαρτον, σερεώτερον τοῦ κυβίου, τἆλλα δὲ ἐμφερές. Ἔν τισι δὲ τῶν ἀντιγράφων φέρεται, Τρίτομον κύβιον δύσφθαρτον, σερεώτερον (ΔΓ, σκληρότερον) τοῦ κυβίου, τὰ δ' ἄλλα ἐμφερὲς καὶ οὐ ῥᾳδίως φθαρτόν. Ἐν οἷς δῆλον ὅτι τῶν δύο τοῦ κυβίου ὀνομάτων θάτερον πλεονάζει, ὥσπερ καὶ αἱ τελευταῖαι τέσσαρες λέξεις, καὶ οὐ ῥᾳδίως φθαρτόν. Ἢ τοίνυν γραπτέον ὡς ἔγραψα, ἢ, Τρίτομον κυβίου δυσφθαρτότερον, σερεώτερον, τἆλλα δὲ ἐμφερές.

ξθ'. Μὴ ὑποσρέφουσα.] Προσέθηκα τὴν ἀπαγόρευσιν, ἣν ἡρμήνευσε καὶ ὁ Λατινος μεταφραστὴς, καὶ πιστοῦται Πλίνιος, οὗ τὴν ῥῆσιν ἀνωτέρω (σελ. 164) παρεθέμην.

Ἐμφερὴς δὲ τῷ τριτόμῳ.] Ἐν ταῖς πρὸ τῆς ἐμῆς ἐκδόσεως ἐγράφετο βαρβάρως, Ὑγιὴς, ὁμοιὴ δὲ τῷ τὸ δὲ τριτόμῳ· ἐν δὲ τῇ κατὰ Μόσχαν ἐκδόσει, Ὑγιὴς, τὸ δὲ τριτόμῳ· ἔν τισι δὲ τῶν ἀντιγράφων, Ὑγιὴς, ὁμοίη δὲ τῷ τῷδε τριτόμῳ. Ὁ Πλίνιος ᾧ κατηκολούθησε καὶ ὁ Λατῖνος μεταφραστὴς, Similis tritoni (ἴδ. ἀνωτέρ. σελ. 164), τουτέστιν ἐμφερὴς τρίτωνι. Ἔνθα σημείωσαι,

ὅτι τὴν πρώτην λέξιν, Ὑγιὴς, παρέλιπεν ὁ Πλίνιος, ὥσπερ τὴν δευτέραν, Ὁμοίη, ὁ κατὰ Μόσχαν ἐκδότης. Ἦν ὅτε τὸ Ὑγιὴς ἐπὶ τοῦ ὁλόκληρος ἐξελάμβανον, πρὸς ἀντιδιαστολὴν τῶν κυβίων καὶ τῶν τριτόμων. Νῦν δέ μοι μᾶλλον ἤρεσε τρέπειν εἰς τὴν συνήθη Ξενοκράτει λέξιν, Ἐμφερὴς, διαγράψαντα τὸ Ὁμοίη, ἄλλως τε καὶ ὕποπτον ὂν διά τε τὸν Ἰωνισμὸν, καὶ διὰ τὴν πρὸς τὸ δυσφθαρτότερος ἀκαταλληλίαν. Ἐμφερὴ δὲ ἢ ὅμοιον τῷ τριτόμῳ διὰ τὸ σχῆμα λέγει· Ὀρκύνου γὰρ τρίγωνα μνημονεύει ὁ Εὐδόξημος, ὡς ἐσημειωσάμεθα ἀνωτέρω (σελ. 164). Καὶ ἴσως τὸ αὐτὸ σχῆμα ἐν μὲν ταῖς μείζοσι τῶν πηλαμύδων, κατὰ συνήθειάν τινα γλώσσης μᾶλλον, ἢ δι' αἰτίαν εὔλογον, Τρίτομον, ἐν δὲ ταῖς μεγίσαις, τουτέσι, τοῖς Ὀρκύνοις, Τρίγωνον ἐκάλουν.

ὁ. Ἀπόλεκτον.] Οὕτως φέρεται ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει ἐν οὐδετέρῳ γένει, Ἀπόλεκτον (ἐλλειπτ. τοῦ τέμαχος), κατὰ τὰ προηγησάμενα, Κύβιον, Ὡραῖον, Τρίτομον· καὶ πιστοῦται ταύτην τὴν γραφὴν καὶ τὰ ἑπόμενα ἐπίθετα κατ' οὐδέτερον ὡσαύτως ἐκπεφρασμένα γένος. Ἐν δὲ ταῖς λοιπαῖς, Ἀπόλεκτος (ἐλλειπτ. τοῦ τόμος), ἣν ἀπεδέξατο καὶ ὁ Πλίνιος, νῦν μὲν τὴν μεγίστην πηλαμύδα συνωνύμως ἀπόλεκτον καλεῖσθαι φάσκων, Pelamis : earum generis maxima apolectus vocatur, tritoni durior (*Plin. lib. XXXII, cap.* 11), νῦν δὲ τεμάχη πηλαμύδος εἶναι λέγων, κυβίων μείζονα, τὰ ἀπόλεκτα, Pelamides in apolectos, particulatimque consectæ in genera cybiorum dispartiuntur (*Idem lib. IX, cap.* 15), ὡς γοῦν ἡρμήνευσάν τινες τὴν τελευταίαν ταύτην ῥῆσιν. Ἀπόλεκτον δὲ οἱ μὲν τὴν ὑπὸ τοῦ Διφίλου Συνοδοντίδα, τουτέστι τὴν μείζονα πηλαμύδα, οἱ δὲ τὴν μεγίστην, τουτέστι τὸν Ὄρκυνον, φασὶν εἶναι (Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 1152). Ἔχει δὲ καὶ τὸ τοῦ ὀνόματος ἔτυμον ἀπορίαν. Ἀπόλεκτον γὰρ ἐπιθετικῶς σημαίνει τὸ ἐκ πολλῶν ἐξῃρημένον καὶ κεχωρισμένον ὡς τιμιώτερον, ὃ ἡ παρ' ἡμῖν συνήθεια Διαλεκτὸν ὀνομάζει, ἢ Ἐκλεκτόν· τοῦτο δὲ τὸ Ἀπόλεκτον τάριχος Πλίνιος μὲν σκληρότερον τοῦ τριτόμου λέγει, Tritoni durior, ἢ οὕτως ἐκλαβὼν τὸ παρὰ τῷ Ξενοκράτει Ψαφαρώτερον (ἴδ. ἀνωτέρ. σελ. 62-63 καὶ 126), ἢ ἑτέρᾳ διαφόρῳ γραφῇ ἐντυχών· αὐτὸς δὲ Ξενοκράτης, καὶ ἧττον εὔσομον τοῦ τριτόμου φησὶν εἶναι. Ἐν τίνι οὖν ἐστὶ τὸ ἐκλεκτὸν καὶ διάφορον τοῦ ταρίχους τούτου; Ἐνδέχεται τὸν Ξενοκράτην τὸ Ἀπόλεκτον ἐπ' ἐναντίας σημασίας τοῦ ἀπόβλητον τεταχέναι, ὅπερ ἡμεῖς Ἀποδιάλεγμα (χυδ. Ἀποδιαλοῦδι)

φαμὲν διὰ διπλῆς τῆς προθέσεως· ἐπαμφοτερίζει γὰρ ἡ λέξις διὰ τὴν ἐξ οὗ παρῆκται ῥήματος δύναμιν, ἐπεὶ οὐδὲν ἧττον ἀπολέγει ὁ τὰ χείρω τῶν βελτίονων ἐξαιρῶν καὶ ἀποβάλλων, τοῦ τὰ βελτίω τῶν χειρόνων ἀποχωρίζοντος καὶ παραλαμβάνοντος. Ἀλλὰ περὶ τῶν τοιούτων ἐπέχειν ἄμεινον, ἄλλως τε καὶ μὴ ἔχοντας ἀποχρῶσι μαρτυρίοις λῦσαι τὰ ἀπορούμενα· καὶ αὐτὸ γὰρ ἂν τοῦ Ἀπολέκτου ταρίχους τοὔνομα ἠγνοοῦμεν, εἰ μὴ διὰ μόνον τὸν Ξενοκράτην, καὶ τὸν, ὡς εἰκὸς, ἐξ ἐκείνου παρειληφότα Πλίνιον.

Ψαφαρώτερον.] Ὁ μὲν Πλίνιος, ὡς ἔφθην εἰπὼν, ἐπὶ τοῦ σκληρότερον ἐξεδέξατο τὴν λέξιν· ὁ δὲ Λατῖνος τοῦ Ξενοκράτους μεταφραστὴς, ἐπὶ τοῦ ψαθυρώτερον, τουτέστιν εὐθρυπτότερον friabilior.

οά. Σάρδα, πηλαμύς ἐστιν ἐπιμήκης, ὠκεάνιος.] Ἐγράφετο κακῶς, Σάρδα ἡ πηλαμὺς ἐπιμήκης. Πιστοῦται τὴν ἡμετέραν διόρθωσιν ὁ Πλίνιος οὕτως ἑρμηνεύσας τὸ χωρίον, Sarda : ita vocatur pelamis longa, ex oceano veniens (*Plin. lib. XXXII, cap.* 11). Ἡ παρ' ἡμῖν νῦν καλουμένη Σάρδα (Γαλλ. Sardine) καὶ καθ' ὑποκορισμὸν Ἰταλικὸν Σαρδέλλα (Sardella), οὐδὲν ἔχει κοινὸν οὔτε πρὸς τὰς πηλαμύδας, αἷς συγκαταλέγουσιν αὐτὴν ὅ τε Ξενοκράτης καὶ ὁ Πλίνιος, οὔτε πρὸς τὸν κολίαν, ᾧ προσεοικέναι τὸ μέγεθος φησὶ Δίφιλος (ἴδ. ἀνωτέρ. σελ. 160). Πλατύτερον οὖν τὸ παρὰ τοῖς ἀρχαίοις ὄνομα τῆς Σάρδας ἐκληπτέον, ὡς καὶ ὁ Γαληνὸς (Ἴδε ἀνωτέρ. σελ. 36) ὑπονοεῖν παρέχει. Μετὰ γὰρ τὸ εἰπεῖν, ὅτι αἱ ταριχευθεῖσαι πηλαμύδες τοῦ Πόντου, μόνων τῶν ἐκ τῆς Σαρδοῦς νήσου καὶ τῶν ἐξ Ἰβηρίας ἀπολείπονται, ἐπάγει, « Ὀνομάζονται δὲ συνήθως ὑπὸ τῶν » πάντων ἤδη τὰ τοιαῦτα ταρίχη σάρδαι. Μετὰ δὲ σάρδας τε καὶ » πηλαμύδας κ. τ. λ. »· εἶθ' ἑξῆς (ἀνωτέρ. σελ. 42) λέγει, « Κορα» κῖνοι δὲ καὶ μύλλοι, καὶ πηλαμύδες, ἔτι δὲ σάρδαι καὶ σαρδῆναι » καὶ τὰ σαξάτινα καλούμενα, πρὸς ταριχείαν εἰσὶν ἐπιτήδεια ». Καὶ μικρὸν ὑποβὰς (σελ. 43), « Ἄριστα δ' ἐσὶ τῶν εἰς ἐμὴν πεῖραν ἐλ» θόντων, τά τε Σαρδικὰ πρὸς τῶν ἔμπροσθεν ἰατρῶν ὀνομαζόμενα » ταρίχη (σάρδας δ' αὐτὰς καλοῦσι νῦν), οἵ τε ἐκ τοῦ Πόντου » κομιζόμενοι μύλλοι ». Ὅθεν ἐσὶ συλλογίσασθαι, ὅτι πλείσων ἐκ τῆς Σαρδοῦς κομιζομένων πηλαμύδων καὶ ἄλλων ἰχθύων ταριχηρῶν, ἐξενίκησεν ἅπαντα οὐ τὰ ἐκεῖθεν μόνον, ἀλλὰ καὶ τὰ ἀλλαχόθεν κομιζόμενα διαφόρων ἰχθύων ταρίχη, ὧν προεῖχον αἱ πηλαμύδες, ἐνὶ ἐθνικῷ ὀνόματι τῷ τῆς Σάρδας ὀνομάζεσθαι. Καὶ ταῦτα μὲν τὰ κατ' ἐκεῖνο καιροῦ νομιζόμενα. Νῦν δὲ ἡ Σάρδα ὄνομά ἐστιν ἰχ-

θύος τοῦ γένους τῶν καλουμένων τοῖς νεωτέροις ἰχθυολόγοις Κλουπαίων (Clupea), ἡ αὐτὴ, ὡς μέν τινες οἴονται, τῇ τριχίδι, ἢ τῷ τριχίᾳ, ὡς δ' ἕτεροι, τῇ χαλκίδι, ἣν ὁ Ἐπαίνετος (παρὰ τῷ Ἀθην. σελ. 329) καὶ Σαρδίνον, ἀρσενικῶς, καλεῖσθαι φησί· καὶ εἰκὸς οὕτως ὠνομάσθαι διὰ τὸ εὐθηνεῖν μάλιστα τὸν ἰχθὺν τοῦτον περὶ τὴν Σαρδὼ νῆσον, τὴν νῦν καλουμένην Σαρδινίαν. Ἐνδέχεται μέντοι καὶ τοὺς πολλῷ νεωτέρους τοῦ Ξενοκράτους, μέχρι τοῦ βαρβαρισμοῦ τῆς Ἑλλάδος, καὶ πηλαμύδων τι γένος, ἢ πηλαμύδι παραπλησίων ἰχθύων, τῷ τῆς Σάρδας ὀνόματι καλέσαι. Ὁ γοῦν Πτωχοπρόδρομος, ὥσπερ καὶ ὁ Ξενοκράτης καὶ ὁ Πλίνιος, Σαρδέλλας ἔοικεν ὀνομάζειν τὰς πηλαμύδας, ἐν οἷς φησι (Κατὰ Ἡγουμέν. 254-255)·

Ἂν ἀρρώσῳ καὶ κίτομαι, τὴν παλαμήδαν βλέπω,
Τὸ πῶς νὰ ζήσω ἐξαπορῶ μὲ ταύτας τὰς Τζερδέλας.

Ταῖς σάρδαις συγκαταλεκτέον καὶ τὰς καλουμένας ξενικῷ μὲν ὀνόματι Ἀντσόϊας (Ἰταλ. Aciuga, Γαλλ. Anchois), οἰκείῳ δὲ, Χαψία, οἱονεὶ Καψία, παρὰ τὸ κάπτω, ἢ διὰ τὸ μικρὰς οὕτως εἶναι, ὥσε μιᾷ κάψει ἢ ἐνθέσει ἑκάσην αὐτῶν ἐσθίεσθαι, ἢ διὰ τὸ μεγαλόσομον αὐτῶν. Ταύτας οἱ ἀρχαῖοι Ἐγγραύλεις καὶ Ἐγκρασιχόλους ἐκάλουν, πρὸς δὲ καὶ Λυκοσόμους, ὥς φησιν Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. Η, 18), διὰ τὸ μέγισον ἔχειν σόμα ὡς πρὸς τὸ λοιπὸν σῶμα· ἴσως δὲ καὶ Ἴκταρας ἢ Ἰκτάρας. Καὶ σκοπητέον, εἴπου τῆς Ἑλλάδος σώζεται ἔτι, ἐπὶ τῶν Χαψίων, ἢ γοῦν ἐφ' ἑτέρου τινὸς ταριχηροῦ ἰχθυδίου παραπλησίου, κείμενον ὁ Λυκόσομος, ἢ ἡ Ἰκτάρα. Ὁ γὰρ κατὰ τὴν δεκάτην ἕκτην ἑκατονταετηρίδα ἐπιδημήσας ἐν Βυζαντίῳ Γίλλιος, ἀκοῦσαί φησι νεωτέρου Γραικοῦ τὴν Ἀντσόϊαν, Λυκόσομον καλοῦντος. Ὁ δὲ Ῥονδελέτος καὶ τοῦ Ἐγκρασιχόλου τοὔνομα σώζεσθαι ἔτι παρὰ τοῖς Γραικοῖς διαβεβαιοῦται (Ἰδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 78-79). Ἰχθύδιον δ' Ἴκταρ καλούμενον εὕρηται (παρὰ τῷ Ἀθην. σελ. 329) συγκατειλεγμένον τῇ χαλκίδι, καὶ τῷ ἐγκρασιχόλῳ, ὥσπερ ἂν ὁ ἐγκρασίχολος (σελ. 328) τὴ θρίσσῃ καὶ τῇ τριχίδι, περὶ ὧν ἐν τοῖς πρόσθεν (σελ. 56) εἴρηται. Λέγει δὲ καὶ ὁ Εὐσάθιος (Ὀδυσσ. ψ', σελ. 1936) περὶ τῆς Ἰκτάρας, « Ζητητέον τὸ γένος αὐτοῦ, εἴτε ἄρρεν » ἐστὶ, κατὰ τὸ μάκαρ, εἴτε θῆλυ, κατὰ τὸ δάμαρ, εἴτε οὐδέ» τερον κατὰ τὸ νέκταρ... εὐτελέστατον δέ ἐστιν ἰχθύδιον, οὗπερ » ἡ κλῆσις Ἴκταρ. Ἐμφαίνει δὲ τοῦτο ἡ Βυζάντιος παραφθορὰ, Κτά» ρας τὰ τοιαῦτα λέγουσα ». Ὁ δὲ τὸν Ὀππιανὸν (Ἁλιευτ. Α, 767)

σχολιάσας τὴν Ἔγγραυλιν, ἣν ἔφαμεν τὴν αὐτὴν εἶναι τῷ Ἐγκρασιχόλῳ, Ἀκτάραν φησὶν ἰδιωτικῶς καλεῖσθαι. Εὕρηται δὲ καὶ παρ' Ἡσυχίῳ ἐν γένει θηλυκῷ τρισυλάβως Ἰκτάρα, ἰχθύος ὄνομα, καὶ δισυλλάβως, « Κτάρα, ἰχθὺς βραχύτερος πάντων ». Τὸ δὲ τῆς ἐγγραύλεως ὄνομα ἐσώζετο παρὰ τοῖς Βυζαντίοις ἔτι κατὰ τὴν δωδεκάτην ἑκατονταετηρίδα, ὡς ἐςι συλλογίσασθαι ἐκ τοῦ Πτωχοπροδρόμου (Κατὰ Ἡγουμέν. 98),

Σκουμπροπαλαμηδόπας, ἐγγραυλοπαςοφάγος.

Δριμύτητι ΚΥΒΙΟΥ προφέρουσα.] Ἴσως γραπτέον, ΚΟΛΙΟΥ, φήσειεν ἄν τις, ᾧ ἔγωγε οὐκ ἀντιφήσω, μεμνημένος ὧν ἀνωτέρω (σελ. 160) παρεθέμην ἐκ τοῦ Διφίλου.

οϐ΄. Δίψους ποιητικός.] Ἀπεναντίως, τῷ Ὡράιῳ, ὅπερ ἄδιψον εἴρηκεν ἀνωτέρω (τμ. ξζ΄). Καὶ τοιοῦτον εἶναι ἀληθῶς τὸν ταριχηρὸν σκόμβρον ἴσασιν οἱ πεπειραμένοι.

Κράτιςος δὲ ἐν Παρίῳ.] Πάριον, πόλις ἐν Ἑλλησπόντῳ, Παρίων κτίσμα τῶν νησιωτῶν. Καὶ ἡ μὲν νῆσος Πάρος ἐθνικὸν ἔχει τὸν Πάριον· τὸ δὲ Ἑλλησποντιακὸν Πάριον, τὸν Παριανόν. Ἐπίσημα δ' ἦν τὰ τοῦ Ἑλλησπόντου ταρίχη καὶ πάλαι, ὥσπερ νῦν·

Ἐκ δ' Ἑλλησπόντου σκόμβρους καὶ πάντα ταρίχη,

φησὶν Ἕρμιππος (παρὰ τῷ Ἀθην. σελ. 27). Ἐδοκιμάζετο δὲ μάλιςα ὁ ἔναγχος ἡλισμένος, ὡς φησιν ὁ δεινὸς περὶ ὀψοφαγίαν Ἀρχέςρατος (παρὰ τῷ αὐτ. σελ. 117),

Ἀλλὰ τριταῖον ἔχειν σκόμβρον, πρὶν ἐς ἁλμυρὸν ὕδωρ
Ἐλθεῖν ἀμφορέως ἐντὸς, νέον, ἡμιτάριχον.

Καὶ τοὺς Βυζαντίους δὲ σκόμβρους ἐπαινοῦντα παρεθέμεθα ἤδη (σελ. 163) τὸν Εὐθύδημον.

ογ΄. Τὰ δὲ ἐκ θύννων κ. τ. λ.] Διακρίνει τοὺς θύννους τῶν πηλαμύδων (τμ. ξέ-ξς΄) καὶ τῶν ὀρκύνων (τμ. ξθ΄)· καὶ ἐν ἐκείνοις μὲν ἀπὸ τῶν σχημάτων ὠνόμασε τὰ ἐξ αὐτῶν σκευαζόμενα ταρίχη, κύβια καὶ τρίτομα προσαγορεύσας· τούτων δὲ καὶ τὰ μέρη καταλέγει τοῦ σώματος, ὅθεν ἐσκευάζοντο. Τὰ Βυζάντια ταρίχη τῶν θύννων ἐπαινοῦντας ἀνωτέρω (σελ. 160) παρεθέμεθα τὸν Δίφιλον καὶ τὸν Ἰκέσιον. Ἀρχέςρατος δὲ (παρ' Ἀθην. σελ. 116) καὶ τῶν Σικελικῶν ἐμνήσθη·

Καὶ Σικελοῦ θύννου τέμαχος ——————
Τμηθὲν, ὅτ' ἐν βίκοισι ταριχεύεσθαι ἔμελλεν.

Ἔνθα σημείωσαι, ὅτι βίκους λέγει οὓς ἀνωτέρω (σελ. 169) ἀμφορέας εἴρηκεν ὁ αὐτὸς, καὶ στάμνους ὁ Εὐθύδημος ἐν τοῖς πρόσθεν (σελ. 164), ὡς συνωνύμων οὐσῶν τῶν λέξεων. « Βίκος, στάμνος ὦτα ἔχων » φησὶν Ἡσύχιος. Ὁ δὲ Ἀμφορεὺς συγκέκοπται παρὰ τὸν παρ' Ὁμήρῳ (Ἰλιάδ. ψ', 170) Ἀμφιφορέα. « Ἀμφιφορῆας, ἀγγεῖα τὰ ἑκατέρωθεν ὦτα » ἔχοντα », Ἡσύχιος. Ἐκαλοῦντο δὲ καὶ Βύττοι, καὶ Βύττιδες (ἢ Βούττιδες) καὶ Βυττίναι, ὅθεν παρῆχθαι τὸ παρ' ἡμῖν Βουτσίον καὶ ἕτεροι πρὸ ἡμῶν ἐσημειώσαντο, πρὸς δὲ, καὶ τὰ παρὰ τοῖς Ἰταλοῖς Botte καὶ Bottiglia (Γαλλ. Bouteille), ὥσπερ καὶ παρὰ τὸν Βίκον τὸ παρ' ἐκείνοις Bicchiere. « Βυτίνη (γρ. Βυττίνη) λάγυνος, » ἢ ἀμίς. Ταραντῖνοι· ἤγουν σταμνίον, » Ἡσύχιος (Ἰδ. καὶ Δουκαγγίου Λεξικ. σελ. 223).

Αὐχὴν μὲν γὰρ αὐτῶν γίνεται ὠμοτάριχος.] Εἰσὶν οἳ τὸν Ὠμοτάριχον παρὰ τὸν τάριχον καὶ τὸν ὦμον (τὸ περὶ τὸν αὐχένα μέρος τοῦ σώματος) ὑπενόησαν εἶναι (Ἰδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 1165). Ἄμεινον δὲ παρὰ τὸ ὠμὸς ἐπίθετον ἐξηγεῖσθαι τὸν ὠμοτάριχον, τουτέστι τὸν μήπω τελέως κατειργασμένον ὑπὸ τῶν ἁλῶν, ἀλλ' ὠμὸν ἔτι, συνωνύμως τῷ ἀνωτέρω (σελ. 169) ὑπ' Ἀρχεστράτου ὠνομασμένῳ Ἡμιταρίχῳ, καὶ τῷ παρ' αὐτῷ τῷ Ξενοκράτει Νεαλεῖ (τμ. ξγ'), Ἀκροπάστῳ (τμ. ος'), ἢ Ἡμινήρῳ (τμ. οζ'). ἔοικε δ' ὁ Ὠμοτάριχος ἰδίως εἰρῆσθαι ἐπὶ τοῦ Θυννείου ταρίχου, ὡς φησι Διοσκορίδης (Β, 33), « Ὁ δὲ ὠμοτάριχος λεγόμενος σάρξ ἐστι Θύννου τεταριχευμένου ». Δίφιλος δὲ (παρ' Ἀθην. σελ. 121) τὸ ὠμοτάριχον οὐδετέρως εἴρηκεν, ὃ καὶ κήτημα τινὰς καλεῖν φησι· εἶναι δὲ « βαρὺ καὶ γλοιῶδες, » προσέτι δὲ καὶ δύσπεπτον ». Καὶ δῆλον ἐντεῦθεν, ὃ καὶ ἐν τοῖς πρόσθεν (σελ. 65 καὶ 162-165) ἐσημειωσάμεθα, τὸ δυσχερὲς τῆς τῶν ὀνομάτων τούτων διακρίσεως· τὸ γὰρ κήτημα ἐπὶ τοῦ ὀρκύνου προσφυέστερον ἂν λεγόμενον, ὁ Δίφιλος ὡς συνώνυμον τοῦ ὠμοταρίχου, τουτέστι τοῦ Θύννου, παραδέδωκε. Τοῦτο δ' εἰκὸς συμβῆναι διὰ τὸ ἀθιόριστον τοῦ χρόνου, καθ' ὃν ὁ Θύννος ἤρχετο καλεῖσθαι ὄρκυνος, ὅπερ ἐθήλωσε καὶ Ἀρχέστρατος, ἐν οἷς ἤδη (σελ. 63) παρεθέμεθα ἔπεσι, τὸν Θύννον λέγων ὑφ' ἑτέρων καλεῖσθαι ὄρκυνον, ὑπ' ἄλλων δὲ κῆτος. Καταδηλότερον δ' ἔτι γενήσεται καὶ ἐκ τῶν ἑξῆς. Ἃ γὰρ Ξενοκράτης, καὶ ὁ τούτῳ ἐν τοῖς πλείστοις ἀκολουθήσας Πλίνιος, περὶ τοῦ αὐχένος, τῆς κοιλίας καὶ τῶν μελανδρύων τοῦ Θύννου λέγει, ταῦτα ὁ Δίφιλος τοῦ ὀρκύνου φησὶν εἶναι μέρη, οὐκ ἀντιφάσκοντες ἀλλήλοις, ἀλλὰ διαφόροις ὀνόμασι τὸν αὐτὸν καλοῦντες ἰχθύν. Παραθώμεθα δὲ

πρῶτον τὰ τοῦ Πλινίου, Thynni membratim cæsi, cervice et abdomine commendantur atque clidio, recenti duntaxat, et tum quoque gravi ructu : cetera parte plenis pulpamentis sale adservantur. Melandrya vocantur, cæsis quercus assulis simillima. Vilissima ex his quæ caude proxima, quia pingui carent : probatissima quæ faucibus : at in alio pisce circa caudam exercitatissima, (*Plin. lib. IX, cap.* 15). Δίφιλος δὲ (παρ' Ἀθην. σελ. 357) μετὰ τὸ διδάξαι τὰς δυνάμεις τῆς τεταριχευμένης πηλαμύδος ἐπάγει, « Ὁ δὲ ὄρκυνος βορβορώδης (γρ. βρομώδης)· » καὶ ὁ μείζων προσέοικε τῷ χελιδονίᾳ κατὰ τὴν σκληρότητα. Τὰ δὲ » ὑπογάστρια αὐτοῦ καὶ ἡ Κλεὶς, εὔστομα καὶ ἁπαλά· οἱ δὲ » κοσταὶ λεγόμενοι, ταριχευθέντες εἰσὶ μέσοι ». Ἀλλὰ τὰ μὲν περὶ τῶν ὀνομάτων τοῦ ὅλου ἰχθύος ἐάσθω· ἐξετάσωμεν δὲ τὰς τῶν μερῶν παρ' ἑκάστῳ προσηγορίας. Τὸν μὲν γὰρ παρὰ Ξενοκράτει αὐχένα, Πλίνιος κατὰ λέξιν φράσας Cervicem εἶπε· τὴν δὲ κοιλίαν (ἣν μικρὸν ὑποβὰς Ξενοκράτης ὑπογάστριον, ὥσπερ καὶ ὁ Δίφιλος, ἀλλαχοῦ δὲ [τμ. ς'] νηδὺν καλεῖ), Abdomen, τὰ δὲ Μελάνδρυα, ἀπαραλλάκτως Melandrya ὠνόμασε. Λείπεται τὸ παρ' αὐτῷ Clidium, κλειδίον, ὃ κλεῖν Δίφιλος ἐκάλεσε, προσθεὶς καὶ τοὺς ὑπόπτους καὶ τῇ γραφῇ καὶ τῷ γένει, μηδ' ὑφ' ἑτέρου τινὸς μνημονευθέντας κοστὰς, ἢ κόστας. Καὶ τὸ μὲν πρῶτον οὐδὲν μᾶλλον σαφὲς ποιήσει Ἡσύχιος, λέγων, « Κλειδία, » τάριχος »· ἔοικε μέντοι τὰ περὶ τὴν κεφαλὴν τοῦ ἰχθύος σημαίνειν ὥσπερ καὶ ὁ αὐχὴν, ἀπὸ μεταφορᾶς τῶν ἐχόντων αὐχένα ζώων καὶ κλεῖδας, τουτέστιν ὀστᾶ δύο τὰ ταῖς πλευραῖς ἐπικείμενα καὶ συνάπτοντα τὸ στέρνον ταῖς ὠμοπλάταις, ἅπερ ἔτι καὶ νῦν κλειδία καλοῦμεν. Οἱ γὰρ ἰχθύες οὔτ' αὐχένα κυρίως οὔτε κλεῖδας ἔχουσιν, ἀμέσως αὐτῶν τῆς κεφαλῆς ἐπικειμένης τῷ λοιπῷ σώματι. Ταῦτα οὖν τὰ περὶ τὴν κεφαλὴν μέρη, τῶν μὲν αὐχένα, ὥσπερ Ξενοκράτης, τῶν δὲ κλεῖν ἢ κλειδία, ὥσπερ Δίφιλος, προσαγορευσάντων, ὁ Πλίνιος, μὴ ἐπιστήσας, οἷα πολλάκις φιλεῖ ἐν τῇ τῶν Ἑλληνικῶν χρήσει καὶ μεταφράσει, ὡς διάφορα δύο μέρη τοῦ ἰχθύος ἐξεδέξατο. Οἱ δὲ Κοσταὶ, ἢ μᾶλλον αἱ Κόσται, αἱ αὐταὶ εἰοίκασιν εἶναι τοῖς Μελανδρύοις· καὶ γὰρ ἔν τισι τοῦ Ξενοκράτους ἀντιγράφοις ἀντὶ τοῦ Μελάνδρυα, φέρεται, Μελανδρύαι, μετὰ προσγεγραμμένης λέξεως ἑτέρας, Κοσταί· ὧν ἡ μὲν διάφορός ἐστι γραφὴ (ἐλέγετο γὰρ τὸ Μελάνδρυον οὐδετέρως, καὶ ὁ Μελανδρύας ἀρσενικῶς, ὡς αὐτίκα δηλώσομεν), ἡ δὲ, ἐξήγησις μᾶλλόν ἐστι, σημαίνουσα ὅτι Κοστὰς ἕτεροι ἐκάλουν τὰ Μελάνδρυα.

Ἀλλὰ τίνος φωνῆς ὄνομά ἐστι τὸ Κοσταί; Τῆς μὲν οὖν τῶν Ἑλλήνων οὐ δοκεῖ· παρ' ἐκείνοις γὰρ τὸ Κοσταὶ συνώνυμόν ἐστι τῷ κριθαὶ, ὡς ἐξηγεῖται Ἡσύχιος, ἐξήγησιν οὐδ' ὁμολογουμένην ὑπὸ τῶν ἀρχαίων κριτικῶν, καὶ οὐδὲν, κἂν εἰ ὑφ' ἁπάντων ὡμολογοῦτο, κοινὸν ἔχουσαν πρὸς τὰ Μελάνδρυα. Οὐδ' ὁ Κασωβὼν πιθανὸς, τὸ παρ' Ἡσυχίῳ « Κο- » στίας, κοιλίας, κόμαρος » τρέπων εἰς τὸ Κόστας, κολίας, ἢ κάμμαρος, καὶ προσαρμόζων ταῖς παρὰ τῷ Διφίλῳ Κόσταις· ὁ μὲν γὰρ κολίας ἕτερός ἐστι τοῦ θύννου, ὁ κάμμαρος δὲ καὶ ἀλλοιότερος, τοῦ γένους ὢν τῶν μαλακοστράκων. Ἦν ἂν ἴσως μακρῷ πιθανώτερον τὸ γοῦν κοιλίας ἐᾶν κατὰ χώραν, ἐπὶ τῆς κοιλίας τοῦ θύννου ἐκλαμβάνοντας, εἰ μὴ Δίφιλος ἐδεδηλώκει διὰ τῶν ὑπογαστρίων αὐτήν. Πιθανώτατον οὖν ἔμοιγε δοκεῖ τῆς τῶν Ῥωμαίων φωνῆς εἶναι τοὔνομα· Costæ γὰρ παρ' ἐκείνοις κυρίως μὲν αἱ πλευραὶ λέγονται, μεταφορικῶς δὲ καὶ τῶν ῥαβδίων τὰ λεπτὰ καὶ εὐλύγιστα, οἷς πλέκουσι τοὺς κοφίνους. Εἰκὸς οὖν καὶ τὰ τεμάχια τοῦ θύννου τὰ καλούμενα Μελάνδρυα Costas κόστας καλέσαι, ἢ δῆλον ἐξ αὐτοῦ τοῦ Πλινίου, ὃς αὐτὰ σχίδαξι δρυῶν quercus assulis παρεικάζει. Ἐκ τοιούτων δὲ σχιδάκων ἢ σχιζῶν, εἰσὶ καὶ αἱ ἐν ταῖς τῶν οἰκιῶν στέγαις ταῖς δοκοῖς προσηλούμεναι σανίδες, ἃς οἱ Ἱσπανοὶ costaneras καλοῦσι παρὰ τὸ Ῥωμαϊκὸν costa. Προσσημειούσθω τούτοις, ὅτι καὶ Μέσα ἐκάλουν τὰ περὶ τὴν κοιλίαν τοῦ ἰχθύος, ἃ ἡ παρ' ἡμῖν συνηθεια Μεσάδια καλεῖ· τὰ δὲ παρὰ ταύτην, τὰ περὶ τὴν κεφαλὴν δηλονότι καὶ τὰ μελάνδρυα, ὡς πολλῷ λεπόμενα τοῦ ὑπογαστρίου, τῷ τῆς Γρυμαίας, ἢ Γρυταίας, ἐδήλουν κοινῷ ὀνόματι, εὐτελές τι σημαίνοντι καὶ ἀπόβλητον, ἀπὸ μεταφορᾶς τῶν εὐτελῶν σκευαρίων, ἢ καὶ τετριμμένων ἱματίων. Ὁ γοῦν κωμικὸς Σωτάδης (παρ' Ἀθην. σελ. 293) ἐπὶ τούτου ἐχρήσατο τῷ ὀνόματι,

——— Γαλεὸς εἴληπται μέγας·
Ὤπτησα τὰ μέσα, τὴν δὲ λοιπὴν γρυμέαν
Ἕψω, ποιήσας τρίμμα συκαμίνινον.

Ὅθεν ἴσως ἐστὶ διορθοῦν μέρος γέ τι τῶν Εὐθυδήμου ἀπόρων ἐπῶν (παρ' Ἀθην. σελ. 116), ἔνθα περὶ τῶν ταριχευτῶν ἰχθύων ὁ λόγος·

Ἄμφακες μὲν πρῶτον σόμα, καὶ ΚΡΙΤΑΙΑΝ καὶ θιόην,
Γναθμῶν ΗΝΔΑΞΑΝΤΟ δυσείμονες ἰχθυβολῆες
Οἷς ὁ ταριχόπλεως ἅδε Βόσπορος κ. τ. λ.

Τῶν ἐπῶν τούτων ἐν μὲν τῷ πρώτῳ γραπτέον εἶναί μοι δοκεῖ, ΓΡΥ-

ΤΑΙΑΝ, ἐν τῷ δευτέρῳ ἴσως ΗΥΔΑΞΑΝΤΟ· τὰ δὲ λοιπὰ ἐξηγείσθωσαν οἱ βουλόμενοι καὶ δυνάμενοι. «Γρυμαία, ἐσθής... καὶ τὰ λεπτὰ σκευάρια, » ἃ καὶ Γρύτην λέγομεν » φησὶν Ἡσύχιος. Ἔστι δ' ἡ Γρυμαία, ἢ Γρυταία (παρὰ τὸ Γρύμη καὶ Γρύτη, ὥσπερ, Σελήνη, Σεληναία), ἡ τῶν Ῥωμαίων, τροπῇ τοῦ πρώτου στοιχείου, καὶ προσθήκη τοῦ σ, Scruta, ἣν ὁ ἰδιώτης λαὸς παρ' ἡμῖν Τσάντσαλα καλεῖ, παρὰ τὸ Ἰταλικὸν Cenci καὶ Cenciaja.

Ὁ Κυμαῖος.] Ὁ ἐκ Κύμης, Αἰολικῆς πόλεως πρὸ τῆς Λέσβου κειμένης, ἣν φασί τινες τὰς νῦν καλουμένας Νέας Φωκαίας εἶναι.

Οὐχ ὑπομένει γὰρ πρὸς παλαίωσιν.] Πλεονάζει ἡ πρόθεσις· καὶ μικρὸν γὰρ ἀνωτέρω (τμ. μθ΄) περὶ τοῦ Ὀρκύνου δίχα προθέσεως εἴρηκεν, Ὑπομένει παλαίωσιν. Πρόσφατον δὲ λέγει τὸν πρὸ μικροῦ ἁλισθέντα.

Μελάνδρυα καλούμενα.] Προσέθηκα τὴν μετοχὴν, ἀναγκαίαν οὖσαν εἰς συνάρτησιν τοῦ λόγου. Περὶ δὲ τοῦ ὀνόματος, οὕτως καὶ Πλίνιος (ἴδ. ἀνωτέρ. σελ. 171) Melandrya οὐδετέρως εἶπε, κατὰ τὸ Γεράνδρυον. Εὕρηται μέντοι καὶ Μελάνδρυες καὶ Γεράνδρυες παρὰ τὰς εὐθείας Μέλανδρυς καὶ Γέρανδρυς. Καὶ ἐπὶ μὲν τῶν δένδρων, «Γεράνδρυες, αἱ παλαιαὶ δρύες· καὶ τὰ παλαιὰ δένδρα, » Γεράνδρυα» φησὶν Ἡσύχιος. Τοῦ δὲ Μελανδρύου ἡ σύνθεσις τῶν μεθ' Ὅμηρόν ἐστιν· ἐκεῖνος γὰρ διηρημένως εἶπε (Ὀδυσσ. ξ΄, 12),

——— Τὸ μέλαν δρυὸς ἀμφικεάσσας,

ὅ ἐστι σχίσας. Σημαίνει δὲ, κατὰ μέν τινας τὴν μήτραν τῆς δρυὸς, καθ' ἑτέρους δὲ τὸν φλοιὸν, κατ' ἄλλους δὲ τὴν δασύτητα τῶν φύλλων ὡς αἰτίαν τῷ ξύλῳ μελανίας (ἴδ. Εὐσάθ. σελ. 1748)· οἷς ὁ βουλόμενος τοῦ ἀπόρου ἀπορώτερον ποιῆσαι τὸ μελάνδρυον προσιθέτω καὶ τὴν Ξενοκράτους ἐξήγησιν, Τὰς μελαινούσας τῆς δρυὸς ῥίζας. Οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ μελάνδρυον, ἢ ἡ τῆς δρυὸς μήτρα τουτέστιν αὐτὸ τὸ ξυλῶδες, περιαιρεθέντος τοῦ παχυτέρου φλοιοῦ ὥς φησι Θεόφραστος (Περὶ φυτ. ἱστορ. Α, 9), «Διαφέρουσι δὲ καὶ ταῖς » μήτραις... τῶν μὲν ἐστὶ σαρκώδης, τῶν δὲ ξυλώδης, τῶν δὲ ὑμενώ- » δης... ξυλώδης δὲ, πίτυος, ἐλάτης, πεύκης, καὶ μάλιστα ταύτης » διὰ τὸ ἔνδαδος εἶναι. Τούτων δὲ ἔτι σκληρότεραι καὶ πυκνότεραι » κρανίας, πρίνου, ΔΡΥΟΣ, κυτίσου, συκαμίνου, ἐβένου, λωτοῦ. Διά- » φέρουσι δὲ αὗται καὶ τοῖς χρώμασι· ΜΕΛΑΙΝΑΙ γὰρ δὴ πᾶσαι, » καὶ τῆς ΔΡΥΟΣ, ἣν καλοῦσι ΜΕΛΑΝΔΡΥΟΝ». Καὶ τὴν μὲν ξυλώδη μήτραν, bois (ξύλον) ἁπλῶς καλοῦσιν οἱ νεώτεροι φυσιολόγοι,

τὴν δὲ σαρκώδη, moelle (μυελὸν), ὃν δ' ὠνόμακα παχύτερον φλοιὸν πρὸς διάκρισιν τοῦ ἐξωτάτου φλοιοῦ (ὃν εἰκότως ἄν τις λέπος, ἢ λοπὸν, ὀνομάσειεν) aubier, παρὰ τὸ τῶν Λατίνων alburnum. Τοῦτο τὰ μὲν παλαιὰ Γλωσσάρια ἑρμηνεύουσι, Στέαρ δένδρου, διὰ τὸ ἀναλογεῖν τῷ ἐπὶ τῶν ζώων μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς σέατι· ἐξηγήσαιο δ' ἂν αὐτὸ λεξικώτερον διὰ τοῦ Λευκὸν (παρὰ τὸ album). Ταύτης γὰρ ἔτυχε τῆς κλήσεως εἰς διάκρισιν τῆς μήτρας, οὔσης μελαντέρας τὴν χρόαν· καὶ τοιοῦτόν τι ἐμφαίνει καὶ ὁ Θεόφραστος λέγων (Περὶ φυτ. ἱστορ. Γ, 10) περὶ τῆς πεύκης, « Ὅταν » ἐκπεσόντα περισαπῇ τὰ ΛΕΥΚΑ καὶ τὰ κύκλω· τούτων γὰρ περιαι- » ρεθέντων, καὶ καταλειφθείσης τῆς μήτρας, ἐκ ταύτης πελεκᾶται ». Διὸ καὶ Πλίνιος τὸν μὲν ἐξωτάτω φλοιὸν, ἤγουν τὸ λέπος (écorce) παρεικάζει τῷ τῶν ζώων δέρματι, τὸν δὲ μετ' ἐκεῖνον (aubier) τῷ σέατι, τὴν δὲ μήτραν (bois) τῇ σαρκὶ, Pro cute cortex... proximi plerisque adipes : ii vocautur à colore alburnum... subest huic caro (*Plin. lib. XVI, cap.* 38), καὶ μικρὸν ὑποβάς, ἐν τοῖς ἰσχυροῖς τῶν ξύλων καταλέγει τὴν περιαιρεθεῖσαν τὸν λευκὸν φλοιὸν δρῦν, Deinde robur exalburnatum et huic nigricans color (*Idem ibid. cap.* 40). Καὶ ταῦτα μὲν περὶ τῆς σημασίας τοῦ μελανδρύου· παραθώμεθα δὲ καὶ τοὺς μνημονεύσαντας αὐτοῦ τε καὶ τῶν λοιπῶν τοῦ εἴτε θύννου, εἴτ' ὀρκύνου, μερῶν. Παρὰ μὲν οὖν τῷ Ἀθηναίῳ (σελ. 315) ταῦτα φέρεται περὶ τῶν ὀρκύνων, « Ἐν Γα- » δείροις μὲν οὖν τὰ κλειδία καθ' αὑτὰ ταριχεύεται, ὡς καὶ τῶν » ἀντακαίων αἱ γνάθοι καὶ οὐρανίσκοι, καὶ οἱ λεγόμενοι μελανδρύαι » ἐξ αὐτῶν ταριχεύονται. Ἰκέσιος δέ φησι τὰ ὑπογάστρια αὐτῶν » λιπαρὰ ὑπάρχοντα τῇ εὐσομίᾳ πολὺ διαλλάττειν τῶν ἄλλων μερῶν, » τὰ δὲ κλειδία εὐσομώτερα εἶναι τούτων ». Ἀλλαχοῦ δὲ (σελ. 121) ὁ αὐτὸς Ἀθήναιος παρὰ Διφίλου λαβὼν, λέγει· « Οἱ δὲ λεγόμενοι με- » λανδρύαι, ὧν καὶ Ἐπίχαρμος μνημονεύει ἐν Αὐτομόλῳ Ὀδυσσεῖ οὕτως·

» Ποτιφόριμον τὸ τέμαχος ἧς τὸ ΥΠΟΜΕΛΑΝΔΡΥΩΔΕΣ.

» ΜΕΛΑΝΔΡΥΣ ΔΕ τῶν μεγίστων θύννων εἶδός ἐστιν κ. τ. λ. » Ταῦτα, » ἡμαρτημένα ὄντα καὶ τῇ σίζει καὶ τῇ γραφῇ ὑποψίαν ἐνεποίησε τοῖς » κριτικοῖς τοῦ ἐξερρυηκέναι τι τοῦ χωρίου. Ἅπαν μὲν οὖν τοὐναντίον, εἰσερρύη τι νόθον ὄνομα, ὅπερ ἐκβαλὼν, σαφὲς ποιήσεις τὸ λεγόμενον· « Οἱ δὲ λεγόμενοι μελανδρύαι (ὧν καὶ Ἐπίχαρμος μνημονεύει ἐν » Αὐτομόλῳ Ὀδυσσεῖ οὕτως·

» Ποτιφόριμον τὸ τέμαχος ἧς τὸ ΥΠΟΜΕΛΑΝΔΡΥΩΔΕΣ),

» τῶν μεγίστων Θύννων εἶδός ἐστιν ».

Πρὸς τὰς μελαινούσας τῆς δρυὸς ῥίζας.] Ἴσως τὴν τελευταίαν λέξιν τρεπτέον εἰς τὸ Μήτρας· οὐδὲ γὰρ εἰκὸς τὸν Ξενοκράτην ἀγνοῆσαι οὔτε τὴν κυριότητα τῶν ὀνομάτων, οὔθ' ἃ μικρὸν ἀνωτέρω παρεθέμεθα ἐκ τοῦ Θεοφράστου περὶ τοῦ μελανδρύου. Καὶ τοῦ Μελαινούσας δὲ, χρησότερον τὸ Μελανιζούσας, καθὰ καὶ ἐν τοῖς πρόσθεν (τμ. μέ) περὶ τῶν κτενῶν, Πυξίζοντες εἴρηκε, καὶ οὐ Πυξοῦντες.

Παρορμητικὰ ὀρέξεως.] Ἔτρεψα εἰς τὴν τελευταίαν λέξιν τὸ πληθυντικὸν ὀρέξεων· καθάπερ ἔφη καὶ μικρὸν ἀνωτέρω (τμ. οά) περὶ τῆς σάρδας, Κινητικὴ ὀρέξεως, καὶ Δίφιλος περὶ τῶν ταριχευτῶν ἐν γένει (ἀνωτέρ. σελ. 159) Ἐρεθιστικὰ ὀρέξεως.

οδ'. Τρίγλαι δὲ καὶ φάγροι ΣΚΛΗΡΟΙ. ΟΙ Δ' ἐκ τῆς Ἰνδικῆς κ. τ. λ.] Οὕτως διώρθωκα τὴν ἀτελῆ καὶ κακῶς ἐσιγμένην γραφὴν, Τρίγλαι δὲ καὶ φάγροι σκληροὶ ἐκ τῆς Ἰνδικῆς, τῇ τριῶν γραμμάτων προσθήκῃ, Οἱ Δ'· περὶ γὰρ τῶν ἐκ τῆς μεσογείου θαλάσσης καὶ τῶν σύνεγγυς τόπων κομιζομένων φάγρων καὶ τριγλῶν ἐστιν ὁ λόγος, καὶ οὐ τῶν ἐκ τῆς Ἰνδικῆς. Τοὺς γὰρ ἐκ ταύτης ἐν γένει κητώδεις λέγει καὶ ἐπομένως ἐπιτηδείους εἰς ταριχείαν, ὡς ὑγρὰν καὶ περιττωματικὴν ἔχοντας τὴν σάρκα· τρίγλαι δὲ καὶ φάγροι, ἢ οὐδ' ὅλως ταριχεύονται, σκληροὶ ὄντες καὶ ἀπέριττοι, ἢ ταρίχη σκληρότατα γίνεται, πλὴν τῶν ἐκ τοῦ Νείλου κητωδῶν φάγρων, περὶ ὧν ἐχομένως ἐρεῖ, οὐδὲν ἴσως ἀλλ' ἢ τοὔνομα κοινὸν ἔχοντας πρὸς τοὺς θαλασσίους φάγρους. Πιστοῦται δὲ τὴν ἡμετέραν διόρθωσιν καὶ ὁ Γαληνὸς (ἴδ. ἀνωτέρ. σελ. 42), οὐ περὶ τῶν τῆς Ἰνδικῆς, ἀλλὰ περὶ τῶν τῆς Ἑλληνικῆς θαλάσσης τριγλῶν, λέγων, « Μοχθηραὶ δὲ τρίγλαι πρὸς ταριχείαν » εἰσὶ, διὰ τὸ ξηρὰν καὶ ἀπέριττον ἔχειν τὴν σάρκα ».

οέ. Φέρει μὲν ὁ Νεῖλος ΚΗΤΩΔΕΙΣ ΣΙΜΟΥΣ τε καὶ φάγρους.] Εἰς τοῦτ' ἔτρεψα τὴν ἀδιανόητον γραφὴν ΚΗΤΩΔΕΣΙΜΟΥΣ. Κητώδεσιμος μὲν γὰρ ἰχθὺς παρ' οὐδενὶ εὕρηται ὀνομαζόμενος· ὁ δὲ Λατῖνος μεταφραστὴς τὸ Κητωδεσίμους διὰ τοῦ Mures ἑρμηνεύων, Κητώδεις μύας ἔοικεν ἀνεγνωκέναι, ἢ ἀναγνωστέον εἶναι ὑπειληφέναι, καίπερ οὐκ ἐκφράσας ὅλως τὴν λέξιν Κητώδεις, διὰ τὸ ὑποσείλασθαι ἴσως τὸν ἐκ τῆς ἱστορίας ἔλεγχον. Οἱ γὰρ ὁμωνύμως τοῖς ὀστρακοδέρμοις καλούμενοι μύες, ἰχθύες μικροὶ τὸ σῶμά εἰσιν, ὥς φασιν Ὀππιανὸς (Ἁλιευτικ.

Α, 174-176) καὶ Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. Θ, 41). Ἔςι μέντοι καὶ κῆτος, Μῦς καλούμενος παρ' Ἀριςοτέλει (Περὶ ζ. ἱςορ. Γ, 12)· περὶ οὗ ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα ὑπὸ τοῦ Σνεϊδέρου (Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 158-164). Ἦν μὲν οὖν τρέπειν τὸ προκείμενον χωρίον καὶ εἰς τὸ, ΚΗΤΩΔΕΙΣ ΣΙΛΟΥΡΟΥΣ, τὸν Στράβωνα (σελ. 823) παρεχομένους μάρτυρα λέγοντα, «Ἰχθύες δ' ἐν τῷ Νείλῳ πολλοὶ » μὲν... γνωριμώτατοι δὲ ὅ τε ὀξύρυγχος, καὶ ὁ λεπιδωτὸς, » καὶ λάτος, καὶ ἀλάβης, καὶ κορακῖνος, καὶ χοῖρος, καὶ » φαγρώριος, ὃν καὶ ΦΑΓΡΟΝ καλοῦσιν· ἔτει δὲ ΣΙΛΟΥΡΟΣ, κί» θαρος, θρίσσα, κεςρεύς». Ἦν δὲ προειλόμην διόρθωσιν, πρὸς τῷ ἐγγυτέραν εἶναι τῆς ἡμαρτημένης γραφῆς, ἔχω πιςοῦσθαι καὶ ἐκ τοῦ Ἀθηναίου (σελ. 312), «Νειλαῖοι δέ εἰσιν ἰχθύες... νάρκη » μὲν ἡ ἠδίςη, χοῖρος, ΣΙΜΟΣ, ΦΑΓΡΟΣ, ὀξύρυγχος, ἀλλά» βης, σίλουρος, συνοδοντὶς, ἐλέωτρις, ἔγχελυς, θρίσ» σα, ἄβραμις, τύφλη, λεπιδωτὸς, φύσα, κεςρεύς». Μνημονεύει τοῦ Σίμου καὶ Ἀρτεμίδωρος (Ὀνειροκριτικ. Β, 14). Πλίνιος δὲ τρία μόνα γένη ἰχθύων Νειλαΐα ὀνομάζει, Ibi pisces reperiuntur alabetæ, coracini, siluri (*Plin. lib. V, cap.* 9). Καὶ σημείωσαι, ὅτι τῆς παρὰ τῷ Στράβωνι καὶ τῷ Ἀθηναίῳ, εὐθείας, ἀλάβης, ἢ ἀλλάβης, τοῦ πληθυντικοῦ θέοντος εἶναι ἀλάβαι, ἢ γοῦν περιττοσυλλάβως, ἀλάβητες, οὗ ἡ γενικὴ ἀλλαβήτων φέρεται ἐν τοῖς Γεωπονικοῖς (κ', 7), ὁ Πλίνιος, ἀπ' εὐθείας τῆς ἀλαβήτης, alabetæ εἶπεν· πλὴν εἰ μὴ ἡμάρτηται ἡ γραφὴ, ἀντὶ τοῦ alabetes. Ἔςι δὲ ὁ Ἀλάβης οὐχ Ἑλληνικὸν ὄνομα, ὥσπερ ἔδοξε τῷ Γεσνήρῳ (Περὶ ἐνύδρ. σελ. 19)· ἀλλ' ἔοικε μᾶλλον Ἀσιανῆς τινος φωνῆς λέξις εἶναι. Σκοπητέον, μήποτε ὁ Νειλῷος Ἀλάβης οὕτως ὠνομάσθη διά τινα πρὸς τὸν Ῥινόβατον ἐμφέρειαν, ὃν οἱ Ἄραβες Ἀλαβὶ (Halavi) καλοῦσι νῦν, ὡς φησιν ὁ Φορσκώλιος (*Description. animal. pag.* 19)· ἢ αὐτός ἐςιν ὁ Νειλῷος Κυπρῖνος, ὁ τοῖς Ἄραψι καλούμενος Λεβὲς (*Id. ibid. pag.* 71).

Ζεσθέντες.] Σημαίνει τὸ ἐν τῇ συνηθείᾳ, Βρασθέντες.

Πλείονες δὲ ληφθέντες.] Εἰς τοῦτο ἔτρεψα το, Πλείονος δὲ ληφθέντος.

ος'. Μενδήσιοι.] Εἰκὸς οὕτως ὠνομάσθαι παρὰ τὸ Μενδήσιον καλούμενον στόμα τοῦ Νείλου, καθ' ὃ ἠλίσκοντο. Καὶ Ῥαχιστοὺς δὲ αὐτοὺς ἐκάλουν διὰ τὴν κατὰ ῥάχιν ἀνάτμησιν.

Ὑγιεῖς.] Ἐπὶ τοῦ ὁλόκληροι ὧδε, ἀντιδιεσταλμένως πρὸς τὸ ἀνατμηθέντες.

τμηθέντες. Ὡσαύτως Εὐθύδημος (παρ' Ἀθην. σελ. 116) περὶ τοῦ ταριχευομένου Ὀξυρύγχου εἴρηκεν,

Ὃν καὶ ὅλον καὶ τμητὸν ἅλες τρηχεῖς ἐκόμισσαν.

Ἁλυκάτοι.] Ξένον, ἢ γοῦν ξένως ἐσχηματισμένον ὄνομα. Ἔοικε μὲν γὰρ ταὐτὸν εἶναι τῷ Λλυκοὶ, οὕτως ἴσως ὀνομασάντων τοὺς πάλαι ἁλισθέντας κεστρεῖς, ἀντιδιεσταλμένως πρὸς τοὺς ἀκροπάστους· ἡ δὲ εἰς ατος κατάληξις τῆς τῶν Ῥωμαίων ἐστὶ φωνῆς. Ἴσως γραπτέον Ἁλυκοὶ ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς· ὅπερ εἰκοτολογεῖ ἡ ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει κακὴ γραφὴ, Ἁλυκά, τοι.

Βωρεῖς.] Ἴσως οἱ παρ' ἡμῖν νῦν καλούμενοι Βοῦροι, ὧν ἐμνήσθην ἀνωτέρω (σελ. 89)· οὐθὲν γὰρ ἔχειν ἐοίκασι κοινὸν πρὸς τὸ παρ' Ἡσυχίῳ « Βούρυγχος, ἰχθὺς κητώδης ».

Ἀποδαρέντος τοῦ δέρματος καὶ ἀποτιλθέντος.] Ἀνθυπέβαλον τὴν τελευταίαν λέξιν, τῇ τῶν πρὸ ἐμοῦ κακῇ γραφῇ καταλισθέντες· ἀνθ' ἧς ἡ κατὰ Μόσχαν ἔκδοσις φέρει ἀποτιλθέντες μεθ' ὑποσεσημειωμένης διαφόρου γραφῆς κατατιλθέντες. Ἔοι δὲ ἐκ παραλλήλου τὸ ἀποδαρέντος καὶ ἀποτιλθέντος· ἀπέχρη γὰρ θάτερον ὁπότερον. Ἐκαλεῖτο τὰ οὕτως ἀποτιλλόμενα ταρίχη ἰδίως Τιλτά, οἷον εἴρηκε Φιλέταιρος ὁ κωμικὸς (παρ' Ἀθην. σελ. 119)·

Ἀλλ' ἐπριάμην παρ' ἀνδρὸς, ὦ γῆ, καὶ θεοί!
Ταριχοπώλου πάνυ καλοῦ τε κἀγαθοῦ,
Τιλτὸν μέγιστον.———————

Ἔνθα σημείωσαι τὴν κωμικὴν ἐπίκλησιν γῆς τε καὶ θεῶν ἐν οὕτως εὐτελέσι πράγμασιν· ἧς οὐκ ἀπέσχετο οὐδ' αὐτὸς ὁ Μοναχὸς Πτωχοπρόδρομος. Τῶν γὰρ ἐν τοῖς κοινοβίοις Ἡγουμένων τὴν τρυφὴν διασύρων, καὶ τοὺς ἰχθύας καταλέγων, ὧν ἐκείνους ἐμφορουμένους ἑώρα, αὐτὸς μὴ μεταλαμβάνων, φησὶ (Κατὰ Ἡγουμέν. 169-170),

Καὶ κέφαλος τρισπίθαμος, αὐγάτος ἐκ τὸ ῥῆγιν,
Καὶ συναγρίδα πεπανὴ, ὦ θέ μου! μαγερία.

Ἀκρόπαγοι.] Ὥσπερ τοὺς νεωστὶ ἁλισθέντας τῶν θύννων, Ὠμοταρίχους (ἀνωτέρ. σελ. 170) ἔλεγον, οὕτως τοὺς νεαλεῖς τῶν κεστρέων, Ἀκροπάγους, ἐκάλουν, ταυτὸν μὲν δηλούντων ἀμφοτέρων τῶν ὀνομάτων, τῆς δὲ συνηθείας ἑκατέρῳ τῶν ταρίχων ἴδιον οἰκειωσάσης

ἐπίθετον. Ἔστι δὲ Ὠμοτάριχος μὲν ὁ μήπω κατεργασθεὶς καὶ οἷον καθεψηθεὶς ὑπὸ τῆς ἅλμης, ἀλλ' ἔτι ὠμός· Ἀκρόπαστος δὲ οὗ τῶν ἄκρων καὶ ἐπιπολῆς ἥψαντο οἱ ἅλες, οὐδ' εἰς βάθος διίκοντο, καὶ ὡς ἂν εἴποις ἡμίπαστος. Τοῦτο γὰρ πολλάκις σημαίνει τὸ Ἄκρον ἐν τῇ συνθέσει· οἷον καὶ Ἱπποκράτης Ἀκροσαπὲς σιτίον λέγει, τὸ ἐπὶ βραχὺ ἢ ἐπιπολῆς μεταβεβλημένον, ὡς ἐξηγεῖται ὁ Γαληνός. Ἐμνημόνευσε τοῦ Ἀκροπάστου καὶ ὁ κωμικὸς Σώπατρος (παρ' Ἀθην. σελ. 119),

Μενδήσιος θ' ὡραῖος ἀκρόπαστος εὖ,
Ξανθαῖσιν ὀπτὸς κεφαλὸς ἀκτῖσιν πυρός.

Ἔσωσε δὲ, ἤ γοῦν οὐ πολὺς χρόνος ἐξ οὗ ἔσωζε, καὶ ἡ συνήθεια τοὔνομα τοῦ ἀκροπάστου, ὥς ἐστιν ἰδεῖν ἐν τοῖς τοῦ Πτωχοπροδρόμου. Ἀντιδιέξαλται δὲ ὁ Ἀκρόπαστος καὶ τὰ συνώνυμα πρὸς τὸν τέλειον τάριχον (ἴδ. Ἀθηλ. σελ. 120), τουτέστι τὸν τελείως ὑπὸ τῆς ἅλμης κατεργασθέντα.

οζ'. Καὶ τῶν κορακίνων... ἡμίνηροι.] Κορακῖνον καλεῖσθαι τὸν Νειλαῖον κεφρέα, ἤ γοῦν ἰχθύν τινα παρεμφερῆ τῷ κεφρεῖ, σεσημείωται ἤδη ἐν τοῖς πρόσθεν (σελ. 88). Ὁ δ' ἡμίνηρος (συνώνυμος τῷ ἀκροπάστῳ) τὸν ἡμίυγρον καὶ μήπω ἐξηρασμένον ὑπὸ τῆς μακρᾶς ἐν ἅλμῃ διατριβῆς σημαίνει. Ἔστι γὰρ παρὰ τὸ Νηρὸν, ἢ Ναρὸν, ὃ ἐστιν ὑγρόν· ὅθεν καὶ ὁ Νηρεὺς, θαλατσίου δαίμονος ὄνομα, καὶ τὸ παρ' ἡμῖν Νερὸν, τὸ ὕδωρ, τρέψασι τὸ η εἰς ε, ὥσπερ καὶ τὰς τοῦ Νηρέως θυγατέρας οἱ μὲν ἀρχαῖοι Νηρηΐδας, ἡμεῖς δὲ Νεραΐδας καλοῦμεν. Ὅτι δὲ ἰδίως ἐπὶ τοῦ κορακίνου ἐλέγετο ὁ Ἡμίνηρος, ἔστι μαθεῖν παρὰ τοῦ Ἀθηναίου (σελ. 121), «Ὁ δὲ » ποτάμιος κορακῖνος, ὃν Πέλτην τινὲς καλοῦσιν, ὁ ἀπὸ τοῦ Νεί» λου, ὃν οἱ κατὰ τὴν Ἀλεξάνδρειαν ἰδίως Ἡμίνηρον ὀνομάζουσιν, » ὑποπίμελος μέν ἐστι, καὶ ἥκιστα κακόχυλος, σαρκώδης, τρόφιμος, » εὔπεπτος, εὐανάδοτος, κατὰ πάντα τοῦ μύλλου κρείσσων». Εὕρηται μέντοι τοὔνομα, καὶ ἐφ' ἑτέρου ἰχθύος τεταγμένον ὑπὸ Σωπάτρου παρὰ τῷ αὐτῷ Ἀθηναίῳ (σελ. 119),

Ἐδόξατ' ἀνταικαῖον, ὃν τρέφει μέγας
Ἴστρος, Σκύθαισιν ἡμίνηρον ἡδονήν.

Τὸν ταριχηρὸν δὲ κορακῖνον ἔοικε δηλοῦν καὶ ὁ Ἀρχέστρατος ἐν οἷς τὸν σαπέρδην ψέγει (ἴδ. ἀνωτέρ. σελ. 51)· πλὴν εἰ μὴ ἕτερος ἦν ὁ Ποντικὸς Σαπέρδης τοῦ ἐν τῷ Νείλῳ κορακίνου.

Ὀπτανοί.] Ταὐτὸ δύναται τὸ Ὀπτανὸς (ὡς τὸ παρ' Ὁμήρῳ Ὀπταλέος) τῷ Ὀπτὸς, καθὰ καὶ τὸ Ἑψανὸς τῷ Ἑφθός. Ἀμφοτέροις ἐχρήσατο τοῖς ὀνόμασιν Ἀριστοτέλης (Προβλημάτ. κ', 5).

Ὀπώρας τέ τινος δίκην φέρουσιν.] Ὁ μὲν νοῦς, Φέρει αὐτοὺς ὁ Νεῖλος δίκην καρποῦ τινος τῶν ὀνομαζομένων ὀπωρῶν, ὁμωνύμως τῇ ὥρᾳ τοῦ ἔτους, τῇ καλουμένῃ Ὀπώρᾳ· ἡ δὲ σύνταξις οὐ πάνυ τι ἀκριβής. Ἔςι δὲ καὶ οὕτως ἐξηγήσασθαι, Οἱ κορακῖνοι φέρουσι, τουτέςι γεννῶσι τὰ ἐξ αὐτῶν γινόμενα, ὥσπερ ὀπώραν τινα, ἣν οὐκ ἔςι πορίσασθαι, εἰ μὴ ἐν ᾗ ὥρᾳ τοῦ ἔτους γίνεται. Εἰ δ' ἀπαρεσκόμενος ᾧ προσέθηκα συνδέσμῳ, Τε, μικρᾶς ἕνεκα θεραπείας, τῇ διὰ σιδήρου ἰατρείᾳ χρήσασθαι προαιρῇ, ἀπόκοψον τὸ Φέρουσιν, καὶ μεταβαλὼν τὴν ςίξιν, γράφε, ἐσθιόμενοι ὀπώρας τινὸς δίκην, οὐκ ἀεὶ ὄντες κ. τ. λ.

οή. Ὠμόφαγα.] Οὕπω κατεχωρίσθη ἐν τοῖς Λεξικοῖς ὁ προπαροξυτόνως Ὠμόφαγος, τουτέςιν ὁ ὠμὸς ἐσθιόμενος, πρὸς διάκρισιν τοῦ παροξυτονουμένου Ὠμοφάγος, ὃ δηλοῖ τὸν ὠμὰ ἐσθίοντα.

Ἡδεῖαν δέ τινα κνίσαν ἐξάγοντα.] Ἡδεῖαν ἔγραψα ἀντὶ τοῦ Ἰδίαν, τρέψας καὶ τὸ Ἐπάγοντα εἰς τὸ Ἐξάγοντα· οὗ κυρίωτερον ἂν εἴη τὸ Ἀναάγοντα, ἢ μᾶλλον τὸ Ἀνιέντα. Κνίσαν δὲ λέγει τὴν ὀσμήν. « Κνίσης τῆς ἀναθυμιάσεως, τοῦ λίπους — Κνισῆεν, εὐῶδες » φησὶν Ἡσύχιος· ἐφ' ἧς σημασίας ἔταξεν αὐτὸ καὶ ὁ Πτωχοπρόδρομος ἐν τῷ πρὸς τὸν Αὐτοκράτορα Μανουὴλ τὸν Κομνηνὸν αὐτοῦ ποιήματι (σίχ. 183),

Καὶ πῶς ἀπὸ τὰ κρέατα μοσχομυρίζει τζίκνα.

Ἡμεῖς δὲ νῦν ἐξ ἐναντίας ἐπὶ τῆς ἀπὸ τῶν καιομένων ἐδεσῶν πονηρᾶς ὀσμῆς, ὡς ἐπὶ τὸ πολὺ τάττομεν τὴν Κνίσαν, τὴν μεταθέσει στοιχείων Σίκναν καὶ Τσίκναν καλουμένην, ὥσπερ καὶ τὸ ἐξ αὐτῆς παρηγμένον ῥῆμα Σικνόνω, ὁ Κνισόω, ἢ Κνισσόω, ἔλεγον οἱ ἀρχαῖοι. Καὶ ἔςι μαρτύριον τῆς τοιαύτης σημασίας τὸ παρὰ τῷ Λουκιανῷ (Ἐπιςολ. Κρονικ. § 23) « Τὸν μάγειρον δὲ τὸν ζωμὸν κνισσῶσαι », τουτέςιν οὕτως ἑψῆσαι, ὥς' ἐπίδηλον τῇ αἰσθήσει γενέσθαι καταφλεγέντα, ἢ γοῦν πονηρᾶς ὀσμῆς ἀναπλησθέντα.

Κορακίδια.] Ἴσως γραπτέον, Κορακινίδια. Τὸ μὲν γὰρ Κορακίδια παρὰ τὸν Κόρακα, ἢ τὸν ἀμφιβαλλόμενον Κόρακον (ἴδ. ἀνωτέρ. σελ. 93) ἐστὶ· τοὺς δὲ μικροὺς τῶν κορακίνων (τούτους γὰρ λέγειν βούλεται Ξενοκράτης ἐνθάδε) οὐκ ἂν ἄλλως ὑποκορίσαις ἢ κορακινίδια

καλῶν, ὥσπερ καὶ ὠνόμασαν αὐτοὺς οἱ κωμικοί. Φερεκράτης μὲν γάρ (παρ' Ἀθην. σελ. 309) φησι,

Τοῖς σοῖσι συνὼν κορακινιδίοις καὶ μαινιδίοις.

Ἀναξανδρίδης δὲ (παρὰ τῷ αὐτ. σελ. 329),

Καὶ συμπαίζειν κορακινιδίοις
Μετὰ περκιδίων καὶ θραττιδίων.

Βωρίδια.] Οἱ μικροὶ βωρεῖς, περὶ ὧν εἴρηται ἀνωτέρω (σελ. 177), ὡς ἐνδέχεται τοὺς αὐτοὺς εἶναι τοῖς παρ' ἡμῖν καλουμένοις Βούροις· διὰ διφθόγγου γὰρ εὕρηται καὶ παρὰ τῷ Τραλλιανῷ Ἀλεξάνδρῳ (Βιβλ. ιϐ', κεφ. 8), ἐν οἷς «Τὰ Ἀλεξανδρέων βουρίδια» παραγγέλλει προσφέρεσθαι τοῖς γλίσχρων χυμῶν πλήρη τὸν σόμαχον ἔχουσι. Βούρους αὐτοὺς μέχρι δεῦρο ὀνομάζεσθαι ὑπὸ τῶν Ἀλεξανδρέων συμπεραινω ἐκ τῶν ὑπὸ τοῦ Γαλλικοῦ Πανεπιστημίου ἐκδιδομένων Παρεκβολῶν (*Notic. et extr. des manuscrits de la bibliothèque du Roi, Tom. I, pag.* 255)· ἔνθα ἐξ Ἀραβικοῦ συγγραφέως, τὰ ἐν Αἰγύπτῳ ἀξιομνημόνευτα ἱστορήσαντος κατὰ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα τάδε πρὸς ἄλλοις μεταπέφρασται, On trouve en Egypte le Muge, poisson connu anciennement sous le nom d'*Abermis*, et que l'on nomme aujourd'hui *Bouri*, et on le transporte salé hors de l'Egypte. Ἐν τούτοις εἰκότως ἄν τις ἀπορήσειεν, ὅτι τοὺς Βούρους (bouri) τοῦ τῶν κεφρέων γένους εἶναι λέγων συμφώνως τῷ Ξενοκράτει, οὐ βωρεῖς ὅμως, ὥσπερ Ξενοκράτης, ὑπὸ τῶν ἀρχαίων καλεῖσθαί φησιν, ἀλλ' ἀϐερμίδας (abermis), ὃ τὰς τῶν πάλαι Ἀϐραμίδας μᾶλλον σημαίνει, ἑτέρας οὔσας τῶν κεφρέων κατά γε τὸν Ἀθήναιον, οὗ τὸ μαρτύριον ἀνωτέρω (σελ. 176) παρεθέμεθα, καὶ τὸν ἐν τοῖς ἑξῆς παρατεθησόμενον Ὀππιανόν. Ὕποπτος οὖν ἡ περὶ τούτων κρίσις τοῦ Ἀραβικοῦ συγγραφέως, ὥσπερ ἔδοξε καὶ τῷ Σνεϊδέρῳ (Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 322), διά τε ταῦτα, καὶ ὅτι οὐκ εἰκὸς Ἀραϐα, ἢ Αἰγύπτιον, Ἀραϐιστὶ γράφοντα κατὰ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα, εἰδέναι τὰ παρὰ τοῖς Ἕλλησιν ἀρχαῖα τῶν ἰχθύων ὀνόματα. Ἐκεῖνό γε μὴν οὔ μοι δοκεῖ ὕποπτον, ὅτι κατ' ἐκεῖνο καιροῦ ἐσώζετο ἐν Αἰγύπτῳ τὸ τῶν Βούρων ὄνομα, ὃ καὶ νῦν εἰκὸς σώζεσθαι, καθὰ καὶ παρ' ἡμῖν τοῖς νέοις Ἕλλησι σώζεται.

Κολίδια.] Οἱ μικροὶ κολίαι, περὶ ὧν ἔπιθι τὰ προλελεγμένα (σελ. 64 καὶ 160-161).

Τυφλινίδια.] Εἴ εἰσιν αἱ μικραὶ τῶν τυφλῶν (ὥσπερ καὶ εἰσὶν), ἃς Ἀθήναιος ἐν τοῖς Νειλαίοις ἰχθύσι κατέταξε (ἴδ. ἀνωτέρ. σελ. 176), γραπτέον Τυφλίδια, καὶ οὐ Τυφλινίδια. Ἀλλ' ἐπειδὴ ὁ αὐτὸς ἰχθὺς καὶ Τυφλῖνος καλεῖται, οὐκ ἀπεικότως καὶ τὸ παράγωγον Τυφλινίδιον ἄν λέγοιτο. « Τυφλῖνος, ἰχθὺς Νειλώειος (γρ. Νειλῷος)· » καὶ ὄφεως εἶδος » φησὶν Ἡσύχιος. Καὶ ὁ μὲν χερσαῖος οὗτος τυφλῖνος, ὁ καὶ τυφλίνης, καὶ τύφλωψ, πρὸς δὲ, καὶ κωφίας καλούμενος, ὥς φησιν Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. Η, 13), ἔσωσε καὶ παρ' ἡμῖν νῦν τὰς ἀρχαίας προσηγορίας· οἱ μὲν γὰρ τυφλῖνον, οἱ δὲ, κουφὴν αὐτὸν καλοῦσι (ἴδ. Βελλών. περὶ ἐνύδρ. σελ. 446, καὶ τὰς σημειώσ. Σνειδέρ. εἰς τὸν Αἰλιαν. σελ. 264). Τὸν δὲ θαλάσσιον ἢ ποτάμιον τυφλῖνον, νεροφίδιον μὲν ὀνομάζομεν (Βελλών. αὐτ.)· ὁποίῳ δ' ἰχθύων γένει προσήκει οὐκ εὐχερὲς διορίσασθαι.

Ἀβραμίδια.] Ὑποκοριστικὸν τῆς ἀνωτέρω (σελ. 176) μνημονευθείσης Ἀβράμιδος, ἣν ὁ Ὀππιανὸς (Ἁλιευτ. Α, 244) Ἀβραμίδα (παρ' εὐθεῖαν ὀξύτονον) καλεῖ, καὶ ὁμοίως τῷ Ἀθηναίῳ σὺν ταῖς θρίσσαις ὀνομάζει·

Χαλκίδες αὖ, θρίσσαι τε καὶ ἀβραμίδες φορέονται.

Ἔτι δ' ἡ καλουμένη τοῖς μὲν Γάλλοις Brème, τοῖς Ἄγγλοις δὲ Bream.

Κακοσόμαχά τ' εἰσὶ καὶ δύσφθαρτα, καὶ κοιλίας ὑπαγωγά.] Ἔτρεψα κἀνταῦθα τὸ Ἐπαγωγὰ εἰς τὸ Ὑπαγωγά. Ὁ δὲ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 1225) τὸ Δύσφθαρτα εἰς τὸ Εὔφθαρτα τρεπτέον εἶναι εἴκασε, τοιαῦτα εἶναι λέγων τὰ πλεῖσα τῶν ὑπαγόντων τὴν κοιλίαν. Ἀλλ' οὐ μετακινητέον τὴν γραφήν· οὐ γὰρ ἀπεικὸς ὑπάγειν τὴν κοιλίαν αὐτὰ, διά γε τὸ κακοσόμαχον. Ὡσάυτως δὲ καὶ ἀνωτέρω (τμ. ξϐ' καὶ ξγ') συνηψε Ξεκνοκράτης τὰ δύσπεπτα καὶ κακοσόμαχα τοῖς διαχωρητικοῖς καὶ ταρακτικοῖς τῆς κοιλίας.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ ΓΑΛΗΝΟΥ

ΠΕΡΙ ΤΗΣ ΑΠΟ ΤΩΝ ΕΝΥΔΡΩΝ ΖΩΩΝ ΤΡΟΦΗΣ.

ΣΕΛΙΔΙ 23, στ. 8, Ἀλλὰ καὶ ἐν λίμναις καὶ ἐν ποταμοῖς.] « Κέφα-
» λος (φησὶ Συμεὼν ὁ Σηθῆς) ἁπάντων μάλισα τῶν ἰχθύων ποταμίοις
» τε καὶ θαλαττίοις ὕδασι χαίρει. Δύσπεπτος δέ ἐςι καὶ κακοσό-
» μαχος, καὶ φλέγματος γεννητικὸς, καὶ μάλισα ὁ ποτάμιος. Ὁ δὲ
» πελάγιος ἧττόν ἐςι δύσπεπτος, καὶ εὐχυμότερος· αἷμα δὲ λεπτο-
» μερέςερον καὶ ασθενέςερον ἀπογεννᾷ » — Στ. 13, Βλενώδης.] Ἢ
διὰ διπλοῦ τοῦ ν, Βλεννώδης· ἐπαμφοτερίζει γὰρ ἡ γραφή. Σημαίνει
δὲ τὸ μυξώδης, ἢ φλεγματώδης. Λέγεται δὲ καὶ Βληνώδης, καὶ
Πλενώδης καὶ Πληνώδης, καὶ Φληνώδης. « Βλέννα, μύξα· οἱ δὲ
» διὰ τοῦ π, Πλέννα. Καὶ Πλέννα (γρ. Πλεννά), τὰ ἀσθενῆ καὶ
» δυσκίνητα. Βλεννὸν, νωθῆ, μωρὸν » φησὶν Ἡσύχιος· ὅθεν ἐςὶ διορ-
θοῦν καὶ ὃ ἐν τοῖς ἑξῆς λέγει ὁ αὐτὸς Λεξικογράφος, « Βληναι, ἀλη-
» θεῖς », τρέποντας εἰς τὸ, Βληνοὶ, ἀηδεῖς. Τοιαῦτα γάρ ἐςι τὴν
γεῦσιν τὰ βλενώδη, ὡς καὶ αὐτὸς Γαληνὸς προϊὼν (σελ. 36) δηλώσει,
τοὺς κύνας ἀηδεῖς καὶ βλενώδεις εἶναι λέγων.

ΣΕΛΙΔ. 25, στ. 20, Πρὸς ἄναντες τὸ ῥεῦμα τοῦ ποταμοῦ χω-
ρεῖν.] Ὅθεν καὶ Ἀνάδρομοι, ἐκλήθησαν οἱ τοιοῦτοι ἰχθύες, ὡς
σεσημείωται ἐν τοῖς πρόσθεν (σελ. 89).

ΣΕΛΙΔ. 26, στ. 12, Λευκίσκους.] Οἷς ἐλέγομεν ἀνωτέρω (σελ 88-
89) περὶ τῶν ἰδιωτικῶς καλουμένων Γυλαρίων, προσσημειωτέον,
καὶ ὅτι ἐνδέχεται τοὔνομα συγγενὲς εἶναι τοῖς Γυλίσκοις, ἢ Γυλλίσκοις·
« Γυλλίσκοι, ἰχθύες ποιοὶ » φησὶν Ἡσύχιος.—Στ. 15, Καὶ τὴν γεῦ-
σιν ὀξυτέραν.] Ἀντὶ τούτων ὁ Ῥονδελέτος (παρὰ Γεσνήρ. Περὶ ἐνύδρ.
σελ. 31) παραινεῖ γράφειν δύο μόνας ταύτας λέξεις, Καὶ ὀξυρυγ-
χοτέραν, πρῶτον μὲν ὅτι οὐκ εἰκός φησι τὸν ποτάμιον ἰχθὺν τοῦ

Θαλασσίου ὀξυτέραν ἔχειν τὴν γεῦσιν, ἔπειθ' ὅτι καὶ Δίφιλος (παρὰ τῷ Ἀθην σελ. 356) ὀξύρυγχόν φησι καλεῖσθαι τὸν ποτάμιον κεφρέα. Ἀλλὰ καὶ τούτου δοθέντος, περίεργος ἡ διόρθωσις, ἐξὸν συντομώτερον γράφειν, Καὶ ὀξυτέραν· ἐπὶ γὰρ ἰχθύων ἡ ὀξύρυγχος κεφαλὴ οὐδὲν ἂν ἧττον καὶ ὀξεῖα λέγοιτο. Ἔοικε μέντοι Γαληνος τοὺς λευκίσκους, οὐ πρὸς τοὺς Θαλασσίους, ἀλλὰ πρὸς τοὺς ὁμογενεῖς ποταμίους κεφάλους παραβαλλειν, ὧν οὐκ ἀπεικὸς ὀξυτέραν ἔχειν τὴν γεῦσιν, εἰ καὶ τὴν αὐτὴν ἄλλως ἐκείνοις ἔχουσι δύναμιν.

ΣΕΛΙΔ. 27, στ. 5, Αἵματος ἐσι γεννητικὴ λεπτοτέρου κ. τ. λ.] « Λάβραξ παραπλήσιός ἐσι τὴν κρᾶσιν τῷ κεφάλῳ· αἵματος γὰρ καὶ » οὗτος λεπτοῦ γεννητικὸς καὶ φλέγματος, πλὴν διὰ τὸ ἡδύτερον τοῦ » κεφάλου ὀνησιφώτερος » φησὶ Συμεὼν ὁ Σηθης. — Στ. 15, Κατὰ τὸ πρῶτον εἴρηται γράμμα.] Γράμμα λέγει τὸ βιβλίον, διότι στοιχείοις αὐτὰ διήρουν, οἱ Ἀρχαῖοι, Α λέγοντες καὶ Β καὶ Γ βιβλίον, ἢ θῆλον ἐκ τῶν Ὁμηρικῶν ποιημάτων, ὧν ἑκάστη Ῥαψωδία ἀφ' ἑνὸς τῶν εἰκοσιτεσσάρων στοιχείων ἐπονομάζεται. Καὶ ὁ Ἱπποκράτης δὲ οὕτως ἄρχεται τῆς ἐπιγραφομένης Περὶ ἰητροῦ βιβλου· « Τὸ μὲν » γράμμα ἐστὶν ἰητροῦ προσασίη », τουτέστι, Τὸ βιβλίον περὶ προσασίας ἰατροῦ ἐστι.

ΣΕΛΙΔ. 28, στ. 18, Γαρέλαιον.] Ἐγράφετο κακῶς Παρέλαιον. Ἔστι δὲ Γαρέλαιον μίγμα γάρου καὶ ἐλαίου, καθ' ὁμοίαν σύνθεσιν τοῦ Ὀξέλαιον, ὅπερ ὡσαύτως ἐν τῇ συνηθείᾳ συντιθέντες λέγομεν Ὀξειδόλαδον. Ὁ δὲ Γάρος ἢ τὸ Γάρον (ἀμφοτέρως γὰρ λέγεται), τῶν ταριχηρῶν ἰχθύων χυλός ἐστιν. Ἐσκευάζετο δὲ ὡς φησι Πλίνιος ἐξ ἐντέρων καὶ ἄλλων ἀπιθλήτων ἐντοσθίων ἁλσὶ κατεργασθέντων καὶ σχεδὸν σαπέντων τὸ μὲν πάλαι ἰχθύος καλουμένου Γάρου, ὅθεν εἴληχε καὶ τοὔνομα, εἶτα δὲ καὶ ἐξ ἑτέρων ἰχθυῶν, καὶ κατ' ἐξαίρετον τοῦ σκόμβρου, οὗ καὶ τὸ γάρον πλείστου ἐτιμᾶτο. « Τὸ γάρος (φησὶν » Συμεὼν ὁ Σηθῆς) τέμνει τὸ φλέγμα καὶ τοὺς παχεῖς χυμούς, προ- » τρέπει τε μετρίως τὴν γαστέρα, ἐξωθούμενον τὰ ἐν τῇ γαστρὶ περιτ- » τώματα· πλὴν δύψαν ἐμποιεῖ, καὶ δεῖ τοὺς διψώδεις ῥοδοσάγματι » τοῦτο μιγνύειν. Χρῶνται δὲ τούτῳ καὶ πρὸς τὰ ἔξωθεν σηπεδονώδη » ἕλκη ». Διοσκορίδης δὲ (Β, 34) φησὶν, ὅτι καὶ νομὰς ἐφιζᾷ, καὶ κυνοδήκτους ἰαται. Πλείω περὶ τοῦ γάρου εἴ γε βούλει εἰδέναι, διδαξει σε ὁ Στέφανος ἐν τῷ Πίνακι τοῦ Ἑλληνικοῦ Θησαυροῦ (σελ. 670)· ἔνθα (σελ. 669) καὶ κατεχώρισε τὴν λέξιν Γάρελον, ἀντὶ τοῦ Γαρέλαιον, ἐξ Ἡσυχίου λαβών. Ἀλλ' ἐν τῷ τοῦ Λεξικογράφου τού

του, « Γάρελον, γάρος καὶ ἔλαιον » ὕποπτός ἐστιν ἡ τοῦ πρώτου » ὀνόματος συγκοπή. Παρ' ἡμῖν νῦν ὁ Γάρος τῶν ταριχηρῶν ἰχθύων τὴν ἅλμην (χυδ. ἅρμην) σημαίνει, ἣν καὶ Σαλαμούραν ἐκ τοῦ τῶν Ἰταλῶν Salamoja (Γαλλ. Saumure) οἱ τἀλλότρια τῶν οἰκείων προαιρούμενοι καλοῦσι. Ὁ δὲ Γιλλιος (παρὰ τῷ Γεσνήρ. σελ. 984) καὶ τὰ ἐν ἅλμῃ ἰχθύδια Γάρους ἤκουσε καλούντων τῶν νεωτέρων Ἑλλήνων· καὶ εἶεν ἂν ταῦτα ἃ ὁ παρ' ἡμῖν ἰδίωτης λαὸς Γαράτα καλεῖ. Ὧ προσμαρτυρεῖ πως καὶ ἡ παρ' Ἡσυχίῳ ἡμαρτημένη γραφὴ, « ΙΧΑΛΗ, Η ΠΑΡΥΟΣ ἐσκευασμένος ἰχθὺς κ. τ. λ. », ἣν μεταποιητέον εἰς τὸ, ΙΧΘΥΑΛΜΗ, ΓΑΡΟΣ, ἐσκευασμένος ἰχθύς.

ΣΕΛΙΔ. 30, στ. 2, Ἄριζος δ' εἰς ἡδονὴν καὶ πέψιν.] Τρέπε θαῤῥῶν τὴν προπαρατελευταίαν λέξιν εἰς τὸ ἐδωδήν· ὡσαύτως εἴρηκεν ἐν τ ῖς πρόσθεν (σελ. 26), « Χείρους μέν εἰσι καὶ εἰς αὐτὴν » τὴν ἐδωδὴν, χείρους δὲ καὶ πεφθῆναι ». — Στ. 8, Κωβίος.] Ἢ μᾶλλον, Κωβιὸς, ὡς καὶ παρ' ἡμῖν νῦν, ὀξυτόνως. Οἱ κωβιοὶ, ὥς φησιν Ἰκέσιος (παρὰ τῷ Ἀθην. σελ. 309), « Πολύχυλοι, εὐσομίᾳ » διαφέροντες, εὐέκκριτοι, ὀλιγότροφοι, καὶ κακόχυμοι. Διαφέ- » ρουσι δ' εὐσομίᾳ οἱ λευκότεροι τῶν μελάνων. Ἡ δὲ τῶν χλωρῶν » κωβιῶν σάρξ, χαυνοτέρα ἐστὶ καὶ ἀλιπεςέρα, καὶ χυλὸν ἐλάττονα » καὶ λεπτότερον ἐναφιᾶσι (γρ. ἀφιᾶσι)· τροφιμώτεροι δέ εἰσι διὰ » τὸ μέγεθος ». Λέγει δὲ καὶ Δίφιλος (παρὰ τῷ αὐτ. σελ. 355), « Οἱ δὲ κωβιοὶ ἀναλογοῦσι τῇ πέρκῃ· ὧν οἱ μικροὶ καὶ λευκοὶ ἁπαλοί » εἰσιν, ἄβρομοι, εὔχυλοι, εὔπεπτοι· οἱ δὲ χλωροὶ (καλοῦνται δὲ » καυλίναι) ξηροί εἰσι καὶ ἀλιπεῖς ». Συμεὼν δὲ ὁ Σηθὴς, προστίθησιν ὅτι, « Ὁ τοῦ κωβίου ζωμὸς κοιλίαν ὑπάγει· ὀπτὸς δὲ, ἄνευ » ἁλὸς ἐσθιόμενος, ἰᾶται δυσεντερίας, καὶ λειεντερίας, καὶ τὰς τει- » νεσμώδεις προθυμίας ». Εἰσὶ δὲ τούτων οἱ μὲν παραιγιάλοι, οἱ δὲ πετραῖοι, μαλακώτεροι τὴν σάρκα τῶν παραιγιάλων, ὥς φησι Διοκλῆς. Καὶ ποταμίων δὲ κωβιῶν (Γαλλ. goujons) μνημονεύει ὁ Δωρίων (παρὰ τῷ Ἀθην. σελ. 309). Τοὺς κωβιοὺς οἱ Τοῦρκοι Καϊὰ μπαλοὺκ, τουτέστι πετραίους ἰχθύας κατ' ἐξοχὴν ὀνομάζουσι (ἴδ. Φορσκώλιον, *Description. animal. pag. XIV*).

ΣΕΛΙΔ. 31, στ. 1, Σμύραιναι.] Οἷς ἐν τοῖς πρόσθεν (σελ. 30) ἐσημειωσάμεθα περὶ τῆς Σμυραίνης προσσημειωτέον καὶ τάδε· τὰς ἐν Τουρδιτανίᾳ (ἔστι δ' αὕτη ἡ τῶν παλαιῶν Ταρτησσὸς) τῆς Ἰβηρίας Σμύρα νας ὥσπερ καὶ τοὺς Γόγγρους, ἁπασῶν μεγίστας εἶναι φησιν ὁ Στράβων (σελ. 145). Ὅθεν καὶ Ταρτησίας ἐπιθετικῶς ἐκάλουν

Ἕλληνες τὰς μεγάλας καὶ θηριώδεις μυραίνας, ὧν ἦν θανατῶδες τὸ δῆγμα. Ὁ γοῦν παρ' Ἀριστοφάνει (Βατρ. 473) Αἰακὸς ἐπαπειλῶν Διονύσῳ ταῦτά φησι:

Ἔχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
Διασπαράξει, πλευμόνων τ' ἀνθάψεται
Ταρτησία μύραινα· ———————

Οἷς ὁ Κωμικὸς δῆλός ἐστι παρῳδῶν κακοήθως τὰ ὑπὸ Σοφοκλέους περὶ Ἡρακλέους ῥηθέντα (Τραχιν. 771, 777-778)·

Ἐχθρᾶς ἐχίδνης ἰὸς ὡς ἐδαίνυτο,
——————— καὶ διώδυνος
Σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο.

Στ. 2, Κίχλαι.] Ἐν τοῖς προσημειωθεῖσι (σελ. 92) ἐζήτουν τὸ νεώτερον ὄνομα τῆς κίχλης τὸ παρ' ἡμῖν. Καὶ ταύτην μὲν ἴσως ἐπαυσάμεθα Κίχλαν ὀνομάζοντες κατὰ τοὺς παλαιούς· σκοπητέον δὲ μήποτε ἐφ' ἕτερον ἰχθύων εἶδος μετηνέγκαμεν τὸ τῆς Κιχλης ὄνομα. Οἱ γοῦν Τοῦρκοι Κιχλαμπαλὺκ Kichla balùk (ὅ ἐστι Κίχλη ἰχθύς, ἢ Κίχλη θαλάττιος) καλοῦσιν ἔτι καὶ νῦν τὴν παρ' ἡμῖν ὀνομαζομένην Σκίναν, ὡς φησιν ὁ Φορσκώλιος (*Description. animal. pag. XI et pag.* 36). Ἔστι δὲ καὶ αὕτη τοῦ τῶν Χειλώνων γένους (Labrus scina τοῦ Λιννaίου, Lutjan scina τοῦ Λακεπέδου), ὥσπερ καὶ ὁ Κόσσυφος (Labrus merula τοῦ Λιν. Labre merle τοῦ Λακεπ.) καὶ ἡ Κίχλη (Labrus turdus τοῦ Λιν. Labre tourd τοῦ Λακεπ.). Εἰκὸς οὖν τοὺς μὲν Τούρκους παρ' ἡμῶν λαβεῖν τὸ τῆς Κίχλης ὄνομα, ἡμᾶς δὲ τὸ τῆς Σκιαίνης ἢ Σκινίδος, κατὰ τὸν Γαληνὸν (ἴδ. κατωτέρ. σελ. 33), ἢ Σκιαδέως, κατὰ τὸν Ξενοκράτην (τμ. β' κεφ. λγ') ὄνομα, μεταποιήσαντας εἰς τὸ Σκίνα, προσοικειῶσαι τῷ Labrus scina τοῦ Λιννaίου, κἀκείνου παρ' Ἑλλήνων εἰληφότος τὴν προσηγορίαν, διὰ τὴν πρὸς τὴν Σκίαιναν συγγένειαν τοῦ ἰχθύος. Πολλὰ γὰρ τῶν ἐν τῇ Σκιαίνῃ (Sciæna) τεταγμένων ὑπὸ τοῦ Λιννaίου εἴδη, ὁ Λακεπέδης ὑπὸ τὸ τοῦ Χείλωνος (Labrus) ἔταξεν (ἴδ. *Nouv. Dictionnair. d'histoir natur. Tom. XII, pag.* 411). — Στ. 3, Ψῆτται.] Καὶ Ψῆσσαι. Ἔστι τὸ ἡμαρτημένως γραφόμενον Ψισίον τῶν Βυζαντινῶν συγγραφέων. « Ψισίον (φησὶ » Συμεὼν ὁ Σηθῆς) τῶν εὐχύμων ἐστὶ καὶ εὐπέπτων ἰχθύων· καὶ διὰ » τοῦτο προτρέπουσι τὴν αὐτοῦ χρῆσιν ἐπί τε τῶν ἀνακομιζομένων

» καὶ ἁμυδρᾶς τροφῆς δεομένων », Ἀνακομιζομένους λέγων τοὺς ἐκ νόσου ἀναλαμβανομένους (convalescents). Τοῖς ἐν τοῖς πρόσθεν (σελ. 47, 78 καὶ 90) σημειωθεῖσι περὶ τῆς ψήττης, προσσημειωτέον, ὅτι ἡ ψήττα ἐν τῷ τῶν Πλευρονηκτῶν γένει κατατέτακται ὑπὸ τοῦ Λινναίου, Πλευρονήκτης σρουθὸς (Pleuronectes passer) κληθεῖσα· ἐν ᾧ καὶ ἕτερος ἰχθὺς παραπλήσιος τῇ ψήττῃ Πλευρονήκτης θηλώδης (Pleuronectes papilliosus) ὀνομασθεὶς, ὃν ὑπὸ τῶν νῦν Ἑλλήνων Πίσι καλεῖσθαί φησιν ὁ Φορσκώλιος (*Description. animal. pag. XV*). Ἔοικε δὲ καὶ τοῦτο τὸ Πίσι παρὰ τὸ Ψίσι (τουτέστι Ψησσίον) γεγονέναι. — Στ. 14, Καρκινάδας... ζωΰφια δ' ἔστι ταῦτα πάνυ σμικροῖς καρκίνοις ἐοικότα.] Διὸ καὶ Καρκίνια αὐτὰ καλεῖ Ἀριστοτέλης (ἴδε ἀνωτέρ. σελ. 147). Ὀππιανὸς δὲ (Ἁλιευτ. Α, 320) καὶ Αἰλιανὸς (Περὶ ζ. ἰδιότ. Ζ, 31), ὥσπερ καὶ ὁ Γαληνὸς, Καρκινάδας ὀνομάζουσι.

ΣΕΛΙΔ. 32, στ. 16, Νάρ.] Τῷ Ῥωμαϊκῷ ὀνόματι (Nar) Νάρ καλεῖ τὸν ποταμὸν καὶ Στράβων· ἕτεροι δὲ Νάρνον αὐτὸν ὠνόμασαν (ἴδ. Στέφ. Βυζάντ. λέξ. Νάρνα). Ἔστι δ' ὁ παρὰ τοῖς νῦν Ἰταλοῖς Nera θηλυκῶς καλούμενος.

ΣΕΛΙΔ. 33, στ. 13, Ῥόμβος.] Οἷς ἐν τοῖς πρόσθεν (σελ. 90-91) εἰρήκαμεν περὶ τῶν δυνάμεων τοῦ ῥόμβου, τοῦ παρ' ἡμῖν καλουμένου Συακίου, προσπαρατιθέσθω καὶ ἃ φησι Συμεὼν ὁ Σηθῆς, « Συάκιον » οὐ κακόχυμόν ἐστι, καὶ μάλιστα ὅταν πεφθῇ· τρέφει γὰρ ἱκανῶς. » Ὠφελεῖ δὲ μάλιστα τοὺς τὴν κρᾶσιν θερμούς· καὶ ἔοικεν ἡ τούτου » σὰρξ τῇ τῶν ἀλεκτορίδων. Οὔτε γὰρ τῶν πάνυ σκληροτάτων ἐστὶν, » οὔτε τῶν χαύνων, ἀλλὰ συμμετρίας μετέχει καὶ ἡδύτητος· καὶ διὰ » τοῦτο δύναμιν τῷ σώματι περιποιεῖται, καὶ αἷμα ἀπογεννᾷ ἐγγὺς » τοῦ συμμέτρου ». Ἔπιθι καὶ τὸν Γεσνῆρον (Περὶ ἐνύδρ. σελ. 791) περὶ τοῦ Συακίου. — Στ. 20, Εἰ μή τι ἄρα τῷ τῆς Ψήττης ὀνόματι καὶ κατὰ τῶν Βουγλώττων ἐχρήσατο.] Διὰ τὸ εἶναι δηλαδὴ παραπλήσια· τῶν πλατέων γὰρ ἄμφω, καθὰ καὶ ἀνωτέρω (τμ. β, σελ. 47) γραπτέον εἶναι παρὰ τῷ Ξενοκράτει εἰκάζον, « Συνόδοντες· καὶ οἱ » πλατεῖς, ὡς βούγλωσσοι, ψῆτται, ῥόμβοι ». Οὕτως δὲ καὶ ὁ Δωρίων (παρ' Ἀθην. σελ. 330)· « Τῶν δὲ πλατέων βούγλωττον, ψῆτταν, » ἔσχαρον, ὃν καλοῦσι καὶ κόριν ». Ἔστι δὲ καὶ ὁ ἔσχαρος, ὡς γοῦν εἰκάζει ὁ Ῥονδελέτος (παρὰ τῷ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 785), βουγλώττου εἶδος τὸ καλούμενον ὑπὸ τῶν Μασσαλιωτῶν Pegouse.

ΣΕΛΙΔ. 35, στ. 2, Κόκκυγες.] Ἐσημειωσάμην ἐν τοῖς πρόσθεν

(σελ. 71) Φιλομήλας ὑπὸ τῶν νεωτέρων Ἑλλήνων καλεῖσθαι τοὺς παρὰ τοῖς ἀρχαίοις Κόκκυγας, παραθέμενος καὶ τὸ τοῦ σχολιάσαντος τὸν Ὀππιανὸν ψευδὲς ἔτυμον. Ἀκριβέσερον δὲ νῦν ἐπισήσας τῷ ὀνόματι, εἰκάζω τοὺς Φιλομήλαν καλέσαντας τὸν Κόκκυγα, συγχέαι τὸν ἰχθὺν τοῦτον τῇ Χελιδόνι (ἴδ. ἀνωτέρ. σελ. 68)· ταύτην γὰρ εἰκὸς Φιλομήλαν ὑπό τινων ὠνομάσθαι ἀπὸ τῆς μυθευομένης Φιλομήλας, τῆς Πανδίωνος θυγατρὸς, τῆς μεταμορφωθείσης εἰς τὸ ὄρνεον τὴν χελιδόνα (ἴδ. Ἀπολλοδώρ. Βιβλιοθήκ. Γ, 14 § 8). Τῆς δὲ συγχύσεως αἴτιον ἡ ὁμοιότης· Σπεύσιππος γὰρ (παρὰ τῷ Ἀθην. σελ. 324) ἐμφερῆ φησιν εἶναι κόκκυγα, χελιδόνα, τρίγλαν. Διὸ καὶ οἱ κατοικοῦντες τὴν Ἑλλήνων ἄποικον Ἀγάθην (Agde) τὸν ἰχθὺν κόκκυγα Rondelle καλοῦσιν, οὐχ ὡς ἡγήσαντό τινες ἀπὸ τῆς τοῦ σχήματος στρογγυλότητος (ronde), ἀλλ' ὡς ὀρθῶς ὑπέλαβεν ὁ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 365) κατ' ἀλλοίωσιν τοῦ τῆς χελιδόνος (hirondelle) ὀνόματος, συγχέαντες κἀκεῖνοι, ὥσπερ οἱ παρ' ἡμῖν, τοὺς ἰχθύας. Περὶ δὲ τῆς δυνάμεως τῆς Φιλομήλης λέγει Συμεὼν ὁ Σηθῆς, ὅτι «Τῶν σκληροσάρκων ἰχθύων ἐστὶ καὶ δυσπέπτων καὶ δυσκα» τεργάστων· περιττωματικὴν γὰρ ἔχει τὴν σάρκα· πεφθεῖσα δὲ ἱκα» νῶς τρέφει».—Στ. 5, Κύνες.] Ἐν τοῖς πρόσθεν (σελ. 71) σημειωθεῖσι περὶ τῶν κυνῶν, ἢ γαλεῶν, ὧν ἦσαν καὶ οἱ σκύμνοι, ἢ τὰ σκύλια, εἴκαζον ἐκ τούτων δὴ τῶν σκυλίων, καὶ τὰ παρ' ἡμῖν σκυλόψαρα ὠνομᾶσθαι. Ὁ δὲ Σοννίνιος (*Voyag. en Grèce, Tom. II, pag.* 212) Σκυλόψαρον παρ' ἡμῖν νῦν λέγεσθαί φησι τῶν γαλεῶν τὸν καλούμενον Ἀσερίαν (τὸν τοῦ Λινναίου Squalus stellaris), ὅσπερ ἐστὶν ὁ αὐτὸς τῷ παρ' Ἀριστοτέλει καλουμένῳ Ποικίλῳ (ἴδ. ἀνωτέρ, σελ. 70 καὶ 73, καὶ Σνειδέρ. Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 134). Περὶ δὲ ἧς ἔφην (σελ. 71) Γαλῆς τῆς παρ' ἡμῖν καλουμένης Γαλίας, ταύτην ὁ Φορσκώλιος (*Descript. animal. p. XIV*) τὸν τῆς Μεσογείου θαλάσσης γάδον (Gadum mediterraneum) εἶναι λέγει, ᾧ ὑποτάττει (*Ibid. et pag.* 23) καὶ ἕτερον ἰχθὺν, καλούμενον νῦν, ὡς φησι, Σαλαρίαν, ἢ Σαλιακούδαν, ὃν ἀμφισβητεῖ εἴ τε τοῦ γένους τῶν Γάδων, εἴτε τοῦ τῶν Βλέννων, νομιστέον εἶναι. Ἀλλ' αὐτό μοι δοκεῖ τοὔνομα ἀποχρώντως μαρτυρεῖν, ὅτι ἡ Σαλιακούδα, ἢ Σαλαρία (γρ. Σαλιαρία), τοῦ τῶν Βλέννων γένους ἐστί. Τοῦτο μὲν γὰρ ἐστι παρὰ τὴν βλέννην, ὃ ἐστι μύξαν, ἐκεῖνο δὲ παρὰ τὸ, σίαλον, ὃ μεταθέσει στοιχείων σάλιον ἢ καθ' ἡμᾶς φωνὴ λέγει. Προσμαρτυρεῖ δὲ τούτοις καὶ ὁ Ἡσύχιος, «Σιαλὶς,

» βλέννος· Ἀχαιοί». — Λαμίαι.] Ἐκ τῆς τοῦ Ῥονδελέτου (παρὰ τῷ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 43) ἀναμφηρίστου διορθώσεως ἀνθυπέβαλον ὧδέ τε καὶ ἐν τῇ ἑξῆς σελίδι τῷ τῶν Ἀμιῶν τὸ τῶν Λαμιῶν ὄνομα· οὐδὲ γὰρ εἰκὸς ἦν τὴν Φιλότιμον, ἐν τοῖς μαλακοσάρκοις ἰχθύσιν ἀνωτέρω (σελ. 31) τάξαντα τὰς ἀμίας, αὖθις πάλιν τοῖς σκληροσάρκοις ἐνθάδε συγκαταλέγειν αὐτάς. Καὶ ὁποῖός τις ἰχθύς ἐστιν ἥ τε παρὰ τοῖς ἀρχαίοις καὶ ἡ παρ' ἡμῖν νῦν καλουμένη Λαμία, εἴρηται ἐν τοῖς πρόσθεν (σελ. 73)· οἱ δὲ νῦν Σικελοὶ, ὥς φησιν ὁ Ῥονδελέτος (παρὰ τῷ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 957) καὶ τὸν ἀνωτέρω (σελ. 48) μνημονευθέντα βάτραχον, τῷ τῆς Λαμίας ὀνόματι καλοῦσι. — Στ. 6, Καὶ ἀετοί.] Προσέθηκα τῷ κειμένῳ τὰς δύο ταύτας λέξεις, ἃς γραφέων ἀβλεψίᾳ ἐξερρύηκέναι, δηλώσει τὰ κατωτέρω (σελ. 36) λεχθησόμενα τῷ Γαληνῷ περὶ τῆς τοῦ Φιλοτίμου ταύτης ῥήσεως. Τοῦ τῶν χονδρωδῶν, ἢ σελαχωδῶν γένους ἐστὶν ὁ Θαλάσσιος ἀετὸς, οὕτως κληθεὶς τοῖς Ἕλλησι δι' ὑπεροχήν τινα ἰδέας καὶ ῥώμης παραπλησίαν τῇ τοῦ ἐν τοῖς ὀρνέοις ἀετοῦ, ὥσπερ καὶ τοῖς Γάλλοις raie aigle, ἢ glorieuse, διὰ τὸ ἄθρον τῆς νήξεως καὶ τῆς λοιπῆς τοῦ ζώου φορᾶς. Ἕτεροι δὲ ἐναντίοις ὀνόμασιν οὐ καλοῖς ὠνόμασαν τὸν ἰχθύν, οἱ μὲν Φρύνον Θαλάσσιον (rospo), οἱ δὲ Νυκτερίδα (pipistrello di mare), καὶ ἄλλοι ἄλλως. Περὶ ὧν οὐκ ἀλλότριον τῆς ἐμῆς προθέσεως δηλῶσαι τοῖς Ἕλλησιν ἃ φησιν ὁ ἐν τοῖς Γαλλικοῖς ἰχθυολόγοις ἐπισημότατος Λακεπέδης· C'est principalement sur les côtes de la Grèce, dans ces pays favorisés par la Nature, où une heureuse imagination ne rapprochoit les êtres que pour les embellir, ou les anoblir l'un par l'autre, que la raie dont nous traitons a été distinguée par le nom d'*aigle*; mais sur d'autres rivages, des pêcheurs grossiers, dont les conceptions moins poétiques n'enfantoient pas des images aussi nobles ni aussi gracieuses, n'ont vue dans cette tête plus avancée, et dans ces yeux plus saillans, que les yeux et la tête d'un animal dégoûtant, que le portrait du crapaud, et ils l'on nommés *crapaud de mer* (*Lacépède, Histoir. naturel. des poiss., Tom. I, pag.* 364, *edit.* 1799). — Ζύγαιναι.] Ἐπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 109) σημειωθέντα περὶ τῶν Ζυγαινῶν. — Στ. 13, Γαλαξίαν.] Τὸν μὲν ἐν οὐρανῷ Γαλαξίαν κύκλον, οὐκ ἔστιν ὅστις οὐκ οἶδεν· ἔστι καὶ Γαλαξίας λίθος, οὕτω καλούμενος παρὰ τῷ Διοσκορίδῃ (Ε, 152). Ὁ δὲ Πρόκλος (Χρη-

ςομαθ. σελ. 348 ἐκδ. Συλβουργ.), καὶ Ἀπόλλωνος ἐπωνομασμένου Γαλαξίου μνημονεύει, οὐχ ὁμολογουμένης μέντοι τῆς παρὰ τούτῳ γραφῆς, εἴτε χρὴ τρέπειν εἰς τὸ Λοξίου, εἴτ' εἰς τὸ Χαλαζίου. Εὕρηται καὶ θηλυκῶς παρ' Ἡσυχίῳ, «Γαλαξία, ἑορτὴ ἐν ᾗ ἕψουσι » γαλαξίαν· ἔςι δὲ πολτὸς κριθινος ἐν γάλακτι». Ἰχθὺν δὲ Γαλαξίαν καλούμενον, πλὴν ἐν μόνῳ τῷδε τοῦ Γαληνοῦ τῷ χωρίῳ, παρ' οὐδενὶ μνημονευόμενον ἑυρήσεις. Ὁ αὐτὸς εἶναι νομίζεται σήμερον καὶ ἡ τοῖς μὲν Ἰταλοῖς καλουμένη Lampreda, τοῖς δὲ Γάλλοις Lamproie, τοῦ τῶν Γαλεῶν ἢ Γαλῶν (ἀπὸ θηλυκῆς εὐθείας τῆς Γαλέη ἢ Γαλὴ) γένους. Πεταλίδαν ταύτην ὀνομάζει ἡ καθ' ἡμᾶς φωνή· καὶ εἰκὸς της αὐτῆς τυχεῖν κλήσεως, ᾗ καὶ τὸ ὀςρακόδερμον τὴν Λεπάδα καλοῦμεν, διὰ τὸ προσκολλᾶσθαι καὶ τὸν Γαλαξίαν ταῖς πέτραις, ὥσπερ τὴν λεπάδα, οὕτως ἰσχυρῶς προσφύοντα τὰ χείλη, ὡς μυζῶντος παρέχειν ἔμφασιν. Διὸ καὶ οἱ νεώτεροι ἰχθυολόγοι, γένος ἴδιον Πετρομύζωνας συνθέντες ὑπὸ τούτῳ κατέταξαν αὐτὸν, *Petromyzon Lampetra* καλέσαντες. Εἰσὶ δ' οἳ καὶ αὐτὸ τὸ Lampetra (τοῦ παρακμάζοντος Λκτινισμοῦ ὄνομα) τὸν μυζῶντα, ἢ λείχοντα, τὴν πέτραν, πιθανῶς ἐξηγοῦνται, παρὰ τὸ Lambo δηλονότι καὶ τὸ Petra.—Ἐκ τοῦ τῶν Γαλεῶν ἐςι γένους.] Εἰ ὁ Γαλαξίας ἐςὶν ὄντως ἡ Γαλλιςὶ λεγομένη Lamproie, εἰκὸς ἠπατῆσθαι τὸν Γαληνὸν, λέγοντα τοῦ τῶν Γαλεῶν γένους αὐτὸν εἶναι, ὡς ἐσημειώσατο ὁ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 107 καὶ 267), πλὴν εἰ μὴ φησὶ τὸ Γαλεῶν ἀπ' εὐθείας θηλυκῆς, τῆς Γαλέη, καὶ οὐκ ἀπ' ἀρσενικῆς, τῆς Γαλεὸς, ἐσχημάτισεν. Ἀλλ' οὐδὲ ταύτην τὴν ἐκδοχὴν συγχωρεῖ τὰ ἑπόμενα· «Οἱ δ' ἄλλοι γαλεοί».

ΣΕΛΙΔ. 36, στ. 5, Φάλαιναι, καὶ, Δελφῖνες, καὶ ΦΩΚΑΙ.] Ἐσημειωσάμεθα μὲν ἐν τοῖς πρόσθεν (σελ. 108) γραπτέον εἶναι ΦΩΚΑΙΝΑΙ· ἡ γὰρ Φώκη τῶν ἀμφιβίων ἐστίν. Ἐνταῦθα δὲ καὶ τὰ Ἀριστοτέλει περὶ τῆς Φωκαίνης εἰρημένα παραθετέον, ἵνα μᾶλλον κατάδηλον γένηται τὸ πιθανὸν τῆς τῶν ὀνομάτων συγχύσεως. Λέγει δ' ἐκεῖνος (Περὶ ζ. ἱστορ. ς', 11), «Τίκτει δὲ ὁ μὲν δελφὶς τὰ μὲν πολλὰ ἓν, ἐνίοτε » δὲ καὶ δύο· ἡ δὲ φάλαινα, ἢ δύο τὰ πλεῖστα καὶ πλεονάκις, ἢ » ἕν. Ὁμοίως δὲ τῷ δελφῖνι καὶ ἡ ΦΩΚΑΙΝΑ· καὶ γάρ ἐστιν ὅμοιον » δελφῖνι μικρῷ. Γίγνεται δὲ ἐν τῷ Πόντῳ. Διαφέρει δὲ φώκαινα δελ- » φῖνος· ἔστι γὰρ τὸ μέγεθος ἔλαττον, εὐρύτερον δὲ ἐκ τοῦ νώτου, » καὶ τὸ χρῶμα ἔχει κυανοῦν· πολλοὶ δὲ δελφίνων τι γένος εἶναί φασι » τὴν φώκαιναν». Καὶ πάλιν ὁ αὐτὸς (Περὶ ζ. ἱστορ. Η, 15), Ἐξω » γὰρ ΦΩΚΑΙΝΗΣ καὶ δελφινος οὐδὲν [θηρίον] ἐστιν ἐν τῷ Πόντῳ».

Ἔνθα σημείωσαι, ὅτι συνάπτει τὴν φώκαιναν τῷ δελφῖνι καὶ ὁμοίαν εἶναί φησιν αὐτῷ, ὥσπερ καὶ ἐστί· καὶ ὅμως ἔν τισι τῶν ἀντιγράφων φέρεται κακὴ γραφὴ, ΦΩΚΗ· οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ δευτέρᾳ ῥήσει τινὰ μὲν τῶν ἀντιγράφων ἔχει κακῶς ΦΑΛΑΙΝΗΣ· Πλίνιος δὲ, Πλούταρχος καὶ Αἰλιανὸς δῆλοί εἰσιν ἐντυχόντες ἀντιγράφοις φέρουσι ΦΩΚΗΣ (Ἴδ. τὰς σημ. τοῦ Σνειδέρ. εἰς τὸ Αἴλιαν. Περὶ ζ. ἰδιότ. Θ, 59). Τὴν Φώκαιναν νῦν, ὡς ἔφην, Γουρουνόψαρον καλοῦμεν· ἀλλὰ καὶ τὸν δελφῖνα εἰσὶν οἳ τῷ αὐτῷ καλοῦσιν ὀνόματι (Λεξικ. Σομαυέρ. λέξ. Γουρουνόψαρον, καὶ Δέλφινας) διὰ τὴν τοῦ ζώου ὁμοιότητα τε καὶ συγγένειαν, ὥσπερ καὶ πολλαχοῦ τῆς Γαλλίας ὅ τε δελφὶς (ὁ τοῦ Λιννaίου Delphinus delphis), καὶ ἡ φώκαινα (Délphinus phocæna), τῷ κοινῷ τοῦ Marsouin καλοῦνται ὀνόματι. — Στ. 8, Ταριχευθέντες δ' ἀμείνους γίνονται. Τῶν δ' ἐλαττόνων κ. τ. λ] Ἐξ ΕΔ ἥ τε στίξις καὶ ἡ τοῦ δευτέρου συνδέσμου προσθήκη, ΑΤ ἀσυντάκτως γραφομένου, Ταριχευθέντες δ' ἀμείνους γίνονται τῶν ἐλαττόνων (Ἴδ. Γεφνήρ. Περὶ ἐνύδρ. σελ. 1164). — Στ. 23 Λαμίας.] Ἐξ ΕΔ, ΑΤ, Ἀμίας, ὥσπερ καὶ τὸ ἀνωτέρω (σελ. 188) Λαμίαι, ΑΤ, Ἀμίαι.

ΣΕΛΙΔ. 37, στ. 20, Χήμια.] Γράφε, Χημία, παροξυτόνως. Ἔστι δὲ ὑποκοριστικὸν (οὕπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς) τῆς Χήμης. Εἶεν δ' ἂν ἴσως τὰ Χημία ταὐτὰ ταῖς ὑπὸ Ξενοκράτους μνημονευθείσαις (τμ. μγ΄) στρογγύλαις χήμαις. — Στ. 21, Σφόνδυλοι.] Ἀττικῶς, ἀντὶ τοῦ Σπόνδυλοι. Ὑπὸ τοῦ Πλινίου νῦν μὲν (*Plin. lib. XXXII, cap.* 6 καὶ 11) ὡς ὀστρακοδέρμων μέρη, συνώνυμοι τοῖς τραχήλοις, νῦν δὲ (*Id. ibid. cap.* 11), ὡς ὀστρακόδερμα ἰδίως οὕτως καλούμενα, ὀνομάζονται οἱ σφόνδυλοι, ὥσπερ εὕρηται καὶ παρὰ τῷ Μακροβίῳ echinos, ostreas.... peloridas, sphondylos (*Macrob. saturnal. lib. II, cap.* 9), καὶ παρ' ἑτέροις. Καὶ ὁ Ἡσύχιος δὲ συγχέειν ἔοικε τὰ ὀνόματα λέγων, « Σφόνδυλος, τράχηλος », καὶ πάλιν « Τραχήλους, » τὰς πορφύρας· ἔνιοι τοὺς σπονδύλους τῶν κογχυλίων ». Ὁ δὲ Σαλμάσιος οἴεται τοὺς ἀρχαίους τῷ τοῦ Σφονδύλου ὀνόματι, ὥσπερ καὶ τῷ τοῦ τραχήλου, μέρος ὀστρακοδέρμου, καὶ οὐκ ὀστρακόδερμον ἰδίως οὕτως λεγόμενον δηλοῦν· συγχέαι δὲ ταῦτα τοὺς Ῥωμαίους, οἷς εἰκὸς ἀκολουθήσαντα καὶ τὸν Γαληνὸν, τοὺς σφονδύλους ὡς ἰδιογενὲς ὀστρακόδερμον ὀνομάσαι (*Salmas. Plinian. exercitat. pag.* 792). Καὶ τοῦ μὲν τοὺς Ῥωμαίους, πρὸς δὲ καὶ αὐτοὺς τοὺς κατὰ τὴν παρακμὴν τῆς Ἑλλάδος βιώσαντας Ἕλληνας, περὶ πλεῖστα τῶν Ἑλληνικῶν ὀνομάτων ἠπατῆσθαι, οὐκ ὀλίγα τις ἂν ἔχοι παρασχέσθαι μαρτύρια· τὸ

δὲ τὸν Γαληνὸν, ἰατρὸν καὶ φυσιολόγον τῶν καθ' ἑαυτὸν ἄριστον, οὐκ ὄντι ζώῳ προσάψαι ὄνομα, οὐδεὶς ἄν με λέγων πείσειε. Λείπεται τοίνυν ἐρευνῆσαι, εἴ που τῆς Ἑλλάδος σώζεται τὸ τοῦ σπονδύλου ὄνομα, ἢ γοῦν, εἰ ἀληθές ἐστιν ὃ φασιν οἱ νεώτεροι κογχυλιολόγοι, τοὺς σπονδύλους ὁμοιοτάτους ὄντας καὶ τὰ ἐκτὸς καὶ τὰ ἐντὸς τοῖς ὀστρέοις, Γαδαρόποδα ὑπὸ τῶν νεωτέρων Ἑλλήνων καλεῖσθαι διά τινα πρὸς τὴν ὁπλὴν τοῦ ὄνου ἐμφέρειαν (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 761, 770). Τὰ γὰρ Γαδαρόποδα εἶεν ἂν μᾶλλον, ὡς ἐν τοῖς προσθεν (σελ. 143) εἰκάζομεν, ταὐτὰ τοῖς παρὰ τῷ Ἀθηναίῳ ἀγρίοις ὀστρέοις. Εἰσὶ δ' οἱ καὶ Σπονδύλους εἰρῆσθαι ὑπὸ Ῥωμαίων τὰς καλουμένας τοῖς Ἕλλησι Θαλασσίους Βαλάνους ἐνόμισαν (ἴδ. Βελλών. Περὶ ἐνύδρ. σελ. 396).

ΣΕΛΙΔ. 39, στ. 14, Ἀστακοὶ καὶ Πάγουροι καὶ Καρκῖνοί τε καὶ Κάραβοι καὶ Καρίδες καὶ Καμμαρίδες.] Τούτων, καὶ ἁπλῶς τῶν μαλακοστράκων, οὐδεμίαν ἐποιήσατο μνείαν ὁ Ξενοκράτης, καίπερ περὶ τῶν ἐνύδρων τῶν εἰς βρῶσιν χρησίμων ἀνθρώποις ἁπάντων λέγειν προθέμενος· ὅθεν δῆλον ὅτι οὐχ ὁλόκληρον εἰς ἡμᾶς ἀφίκετο τὸ Ξενοκράτους σύγγραμμα. Τῶν ἀστακῶν, τῶν παγούρων καὶ τῶν καρίδων ἔσωσεν ἀπαράλλακτα τὰ ὀνόματα ἡ συνήθεια. Τὸν ἀστακὸν δὲ, καὶ Λιξούδαν καὶ Λιχούδαν, ὁ Βελλώνιος ἀκοῦσαι λέγει τῶν Κωνσταντινουπολιτῶν καλούντων. Διαφέρει δὲ τοῦ ἀστακοῦ (Γαλλ. homard, ἢ écrevisse de mer) ὁ κάραβος (langouste), ὃν καὶ Γραψῆον ὑπ' ἐνίων καλεῖσθαί φησιν ὁ Ἀθήναιος (σελ. 106), τῷ τραχὺ ἔχειν τὸ περικείμενον ὄστρακον, λειοστράκων ἐκείνων ὄντων. Καμμαρίδες δὲ, ἃς Καμμάρους, ἀρσενικῶς, Ἐπίχαρμος καὶ Σώφρων (παρὰ τῷ Ἀθην. σελ. 106 καὶ 306) καλοῦσι, καὶ ἕτεροι, Γραῦς, αἱ παρ' ἡμῖν εἰσι Καραβίδες, ἀρχαίου καὶ τούτου ὄντος τοῦ ὀνόματος. « Καραβίδες, γράες, Μεθυμναῖοι » φησὶν Ἡσύχιος. Τῶν δὲ καρκίνων διπλοῦν ἔχομεν ὄνομα, τοὺς Καβούρους, καὶ τοὺς Τσαγανούς. Καὶ τοῦτο μὲν ἴσως παρὰ τὸ Στεγανὸς, (μεταθέσει τῶν ἀρχικῶν συμφώνων καὶ τροπῇ τοῦ φωνήεντος, κατὰ τὸ Ἐχῖνος, Ἀχινὸς), τοῦ κοινοῦ πᾶσι τοῖς ὀστρακοδέρμοις ἐπιθέτου οἰκειωθέντος τοῖς καρκίνοις. Τὸν δὲ Κάβουρον, ἐπείσθην ἂν Εὐσταθίῳ (Ὀδυσσ. ά, σελ. 1389) παραφθορὰν εἶναι τοῦ Καμμάρου ὑπονοοῦντι, εἰ μή μ' ἐκώλυεν Ἡσύχιος. Λέγει γὰρ οὗτος· « Καβειροι, » καρκῖνοι. Πάνυ δὲ τιμῶνται οὗτοι ἐν Λήμνῳ, ὡς θεοί· λέγονται » δὲ εἶναι Ηφαίστου παῖδες». Καὶ ὅτι μὲν οὐ περὶ τῶν θαλασσίων

καρκίνων ὁ λόγος ἐνθάδε Ἡσυχίῳ, ἀλλὰ περὶ τῶν ἐν Λήμνῳ καὶ Σαμοθράκῃ τιμωμένων τεσσάρων δαιμόνων, ὧν καὶ τὰ ὀνόματα εὕρηται παρὰ τῷ σχολιαστῇ τοῦ Ἀπολλωνίου (Ἀργοναυτικ. ά, 917), παντί που δῆλον· ἔχει δὲ αἰνιγματῶδες τοῦτο, ὅτι καὶ Καρκίνους ὀνομάζεσθαι λέγει τοὺς Καβείρους, μηδενὸς ἑτέρου μνημονεύσαντος τοῦ ὀνόματος τούτου. « Κάβειροι (φησὶ Φώτιος), δαίμονες ΕΚ ΛΗΜΝΟΥ, » διὰ τὸ τόλμημα τῶν γυναικῶν ΜΕΤΕΝΕΧΘΕΝΤΕΣ. Εἰσὶ δὲ ἤτοι » Ἥφαιστοι, ἢ Τιτᾶνες »· ἔνθα γραπτέον ΕΝ ΛΗΜΝΩ, καὶ ἀναπληρωτέον ἴσως τὸ παραλειφθὲν οὕτως, ΜΕΤΕΝΕΧΘΕΝΤΕΣ ΑΠΟ ΦΡΥΓΙΑΣ, ὑπαγορεύοντος τοῦτο τοῦ ἀνωτέρω μνημονευθέντος σχολιαστοῦ· « Κάβειροι δὲ δοκοῦσι προσηγορεῦσθαι ἀπὸ Καβείρων τῶν κατὰ » ΦΡΥΓΙΑΝ ὀρῶν· ἐπεὶ ἐντεῦθεν ΜΕΤΗΝΕΧΘΗΣΑΝ ». Ἀλλ' ἐπανίωμεν ἐπὶ τὸν Ἡσύχιον. Καρκίνους ὠνομάσθαι τοὺς Λημνίους δαίμονας ὑπειληφέ τις τῶν ἐν τῇ Ἡσυχίου ἐκδόσει κριτικῶν, παρὰ τὸ, Κάρα κινεῖν, (ὥσπερ ἐτυμολογοῦσι Γραμματικῶν παῖδες καὶ τὸν θαλάσσιον καρκῖνον)· οἱ γὰρ ἱερεῖς τῶν Καβείρων, ὥσπερ καὶ οἱ τῆς Ῥέας, οἱ καλ ύμενοι Κορύβαντες, ἔσειον τὰς κεφαλὰς βακχεύοντες. Εἰκὸς δὲ αὐτοὺς καὶ Καβείρους ὁμωνύμως τοῖς θεοῖς ὠνομάσθαι, καθὰ καὶ Βάκχος ἐκαλεῖτο ὁ ἱερεὺς τοῦ Βάκχου. Καὶ ταῦτα μὲν πιθανὰ μᾶλλον ἢ ἀληθῆ· ἀληθὲς δ' ἂν εἴη τοῦτο, ἐπειδὴ οὐδεὶς ἀντιλέγει τῷ Ἡσυχίῳ, ὅτι οἱ Κάβειροι δαίμονες, καὶ Καρκῖνοι ὠνομάζοντο. Εἰκὸς οὖν τῶν κωμικῶν, ἢ τῶν ἄλλως εὐφυῶν τινα, παίξαντα, καὶ ἐπὶ τοὺς θαλασσίους καρκίνους μετενεγκεῖν τὴν ὁμωνυμίαν, ὥσπερ καὶ ἀπὸ τοῦ Ἀδώνιδος, ἑτέρου δαίμονος, Ἄδωνιν ἐπωνόμασαν τὸν καλούμενον Ἐξώκοιτον ἰχθύν, ὃν ὁ Βελλώνιος (σελ. 222) Γλίνον ὑπὸ τῶν Κωνσταντινουπολιτῶν ὀνομάζεσθαί φησι. Τούτους οὖν τοὺς θαλασσίους Καβείρους παραλαβοῦσα ἡ συνήθεια, εἰς τοὺς Καβούρους μετέπλασεν. Εἰσὶ δὲ καὶ Καρκίνων ἕτερον γένος Μαῖαι (Γαλλ. Araignées de mer), ἃς ἡμεῖς νῦν Καβουρομάνας ὀνομάζομεν, τὸν νοῦν τηρήσαντες τοῦ ἀρχαίου ὀνόματος· Καρκινομαῖαν γὰρ ἂν εἴποις, βουλόμενος ἐξελληνίσαι τὴν Καβουρομάναν. Ὥρα δὲ καὶ τὰς δυνάμεις τῶν μαλακοστράκων τούτων ἐκθέσθαι. Ἱπποκράτης μὲν οὖν (Περὶ διαιτ. Β, σελ. 222) καράβους, ἄρκους (γένος δὲ καὶ τοῦτο μαλακοστράκων) καὶ καρκίνους, καὶ μάλιστα τοὺς ποταμίους, διαχωρητικοὺς τε καὶ οὐρητικοὺς εἶναι λέγει. Διοσκορίδης δὲ (Β, 12) τοὺς ποταμίους καρκίνους ἐφθοὺς σὺν τῷ ζωμῷ ἐσθιομένους ὠφελεῖν φθισικοὺς λέγει· ὡσαύτως δὲ καὶ τοὺς θαλασσίους, πλὴν ἧττον τῶν ποταμίων. Κατὰ δὲ τὸν Δίφιλον (παρ' Ἀθην. σελ. 106), « Τῶν δ' » ὀστρακοδέρμων,

» ὀστρακοδέρμων, καρὶς, ἀσακὸς, κάραβος, καρκῖνος, λέων, τοῦ » αὐτοῦ γένους ὄντα διαφέρουσι. Μείζων δ' ἐστὶν ὁ λέων τοῦ ἀσακοῦ. » Οἱ δὲ κάραβοι καὶ γραψαῖοι λέγονται· τῶν καρκίνων δ' εἰσὶ σαρ- » κωδέστεροι. Ὁ δὲ καρκῖνος, βαρὺς καὶ δύσπεπτος ». Μνησίθεος δὲ, « Κάραβοι καὶ καρκῖνοι καὶ καρίδες, καὶ τὰ ὅμοια, δύσπεπτα μὲν » ταῦτα (γρ. πάντα), τῶν δὲ ἄλλων ἰχθύων εὐπεπτότερα πολλῷ. » Πρέπει δ' αὐτοῖς ὀπτᾶσθαι μᾶλλον, ἢ ἕψεσθαι ». Ὁ δὲ Διοσκορίδης (B, 12) περὶ τῶν ποταμίων καρκίνων φησὶν, ὅτι, « Ἐφθοὶ τῆς γλώσ- » σης καὶ φάρυγγος φλεγμονὰς εὐποιοῦσι, καὶ σὺν ζωμῷ ἐσθιόμενοι, » φθισικοὺς ὠφελοῦσι... Δύνανται δὲ τὰ αὐτὰ καὶ οἱ θαλάσσιοι, πλὴν » ἧττον τούτων ἐνεργοῦσι ». Τὰ δὲ Συμεῶνος τοῦ Σηθῆ περὶ μὲν τῶν » ἀσακῶν ἐστὶ τάδε· « Οἱ ἀσακοὶ ψυχροί εἰσι καὶ ὑγροὶ, καὶ τρόφι- » μοι, καὶ γαστρὸς ἐφεκτικοὶ, καὶ δύσπεπτοι, καὶ μάλιστα οἱ ἐν αὐτοῖς » μείζονες· οἱ γὰρ μικρότεροι εὐπεπτότεροι. Καὶ τῶν χηλῶν τὰ οὐ- » ραῖα δυσπεπτότερα καὶ παχυμερέστερα· ὅθεν δεῖ σὺν θερμοῖς ἀρτύ- » μασι τούτους προσφέρεσθαι, καὶ οἶνον ἐπιπίνειν παλαιὸν καὶ κιρ- » ρόν »· περὶ δὲ τῶν καρίδων, « Καρίδες θερμότητός τινος μετέχουσι » καὶ ὑγρότητος. Εἰσὶ δὲ δύσπεπτοι καὶ κακοστόμαχοι, καὶ ἀφροδι- » σιαστικαὶ, κ. τ. λ. »· περὶ δὲ καράβων· « Κάραβοι δύσπεπτοί εἰσι » καὶ τρόφιμοι, καί τινος ἁλυκοῦ μετέχουσι χυμοῦ καὶ εἴ γε πολ- » λάκις ἑψηθῶσι γλυκεῖ ὕδατι, γαστρὸς γίνονται ἐφεκτικοὶ, κ. τ. λ. »· περὶ παγούρων δὲ, « Παγούρια, ἤτοι καρκῖνοι, ἔχουσί τινα ἁλυκὸν » χυμόν· ἧττον μέντοι τῶν ὀστρακοδέρμων. Ἐπέχουσι δὲ τὴν γαστέρα » μετὰ τὸ ἀποθεῖναι ἐν τῷ ὕδατι τὸν ἁλυκὸν χυμὸν διὰ τῆς ἑψήσεως. » Οἱ δὲ ποτάμιοι ὠφελοῦσι πρὸς τὴν ἐν τῷ πνεύμονι πληγὴν, βλά- » πτουσι δὲ τὴν κύστιν, κ. τ. λ. ». Ἀρχέστρατος δὲ, μακρὰ χαίρειν λέγων ἰατροῖς ἅπασι, περὶ μὲν τοῦ ἀσακοῦ (παρ' Ἀθην. σελ. 105)·

——— Παρεὶς λῆρον πολὺν, ἀσακὸν ὠνοῦ,
Τὸν τὰς χεῖρας ἔχοντα μακρὰς, ἄλλως τε βαρείας,
Τοὺς δὲ πόδας μικρούς· βραδέως δ' ἐπὶ γαῖαν ὀρούει.
Εἰσὶ δὲ πλεῖστοι μὲν, πάντων ἀρετῇ τε κράτιστοι
Ἐν Λιπάραις· πολλοὺς δὲ καὶ Ἑλλήσποντος ἀθροίζει.

Περὶ δὲ τῶν Καρίδων·

Ἦν δέ ποτ' εἰς Ἴασον Καρῶν πόλιν εἰσαφίκηαι,
Καρῖδ' εὐμεγέθη λήψῃ, σπανίαν δὲ πρίασθαι·
Ἐν δὲ Μακηδονίᾳ τε, καὶ Ἀμβρακίᾳ, μάλα πολλαί.

Καὶ θαυμάσαι ἄξιον, πῶς Ἀρχέστρατος, τῆς Ἰάσου μνησθεὶς, τὴν Σμύρνην παρέλιπεν, ἐπισήμους καρίδας ἔχουσαν, ὡς φησιν Ἀθήναιος (σελ. 7), ὥσπερ ἔτι καὶ νῦν ἐν αὐτῇ γίνονται μέγιστοι καὶ πλεῖστοι, καὶ φαγεῖν ἡδύταται. Ἀλλὰ καθάπερ, ἐν οἷς ἡ ψυχὴ τρέφεται σπουδαίοις μαθήμασιν, οὐ πάντα πάντες εἰδέναι ἔχομεν, οὕτως καὶ τῶν λίχνων οὔθ' ἡ δύναμις οὔθ' ὁ βίος, βραχὺς ὤν, ἐξαρκεῖ εἰς τὸ πάντα χαρίσασθαι τῇ γαστρί.

ΣΕΛΙΔ. 40, στ. 3, Πολύποδές τε καὶ σηπίαι καὶ τευθίδες.] Ἔσωσεν ἡ σηπία καὶ παρ' ἡμῖν τὸ ἀρχαῖον αὐτῆς ὄνομα, ἐκχυδαϊσθὲν εἰς τὸ Σουπία. Τοὺς δὲ Πολύποδας, Ὀκταπόδια νῦν καλοῦμεν ἀπὸ τοῦ ἀριθμοῦ τῶν πλεκτανῶν. Ἔστι δὲ καὶ ἕτερον γένος Πολυπόδων, οἱ καλούμενοι τοῖς ἀρχαίοις, ἀφ' ἧς ἀνιᾶσιν ὀσμῆς, Ὀσμύλοι, Ὀσμύλαι, ἢ Ὀσμυλίαι, οὓς ἡμεῖς νῦν ὀνομάζομεν Μοσχοκτάποδα. Τῶν ὀσμηρῶν δὲ τούτων Πολυπόδων, ἦν καὶ ἡ Βολίταινα καὶ ἡ Ἐλεδώνη, ἃς οἱ μὲν τὰς αὐτὰς εἶναι βούλονται τοῖς Ὀσμύλοις, οἱ δὲ τῷ βαρυτέρῳ τῆς ὀσμῆς διαφέρειν ἐκείνων. Φησὶ δὲ καὶ ὁ Γίλλιος τὸν μὲν ἡδυτέραν ἔχοντα τὴν ὀδμὴν, Μοσχίτην, ἀκοῦσαι τῶν Κωνσταντινουπολιτῶν καλούντων, τὸν δὲ βαρυτέραν, Ἀλιθῶνα (Ἴδ. τὰς εἰς τὸν Αἰλιαν. Περὶ ζ. ἰδιότητ. σελ. 301, καὶ εἰς τὸν Ἀριστοτέλ. Περὶ ζ. ἱστορ. σελ. 184-187 σημειώσ. τοῦ Σνειδέρου). Τευθίδες δέ εἰσι τὰ παρ' ἡμῖν καλούμενα, Καλαμάρια. Εἶδος δὲ τευθίδος ἐστὶ καὶ ὁ ὑπ' Ἀριστοτέλους καλούμενος Τεῦθος, μακρῷ μείζων τῆς τευθίδος, ὁ αὐτὸς ἴσως τῷ Θρυψίχρωτι πολύποδι. Οὕτω γὰρ δεῖν γράφειν, Θρυψίχρως, παρὰ τῷ Ἀθηναίῳ (σελ. 318), καὶ οὐ Τριψίχρως, οὐδ', ὡς ὁ Κασωβὼν διώρθου, Τρεψίχρως, εἴκασεν ὁ Σνειδέρος (ἐν ταῖς εἰς τὸν Ἀριστοτέλ. Περὶ ζ. ἱστορ. Τ. Δ, σελ. 506 σημειώσ.). Καὶ μαρτυρεῖ πως τῇ εἰκασίᾳ ὁ Σοννίνιος (*Voyag. en Grec. Tom. I, pag.* 220), τὴν μείζονα τευθίδα, Τράψαλον, Trapsalo, καλεῖσθαι λέγων ὑπὸ τῶν νῦν Ἑλλήνων, εἴ γε γράφοις ὀρθώτερον τοὔνομα, Θραύσαλον (χυδ. Θράψαλον, κατὰ τὸ Ἀνάπαυσις, Ἀνάπαψις, καὶ Κλαύσω, Κλάψω). Ἔστι γὰρ παρὰ τὸ Θράυω, ὥσπερ ὁ Θρυψίχρως παρὰ τὸ συνώνυμον Θρύπτω· «Θρύψαι, θραῦσαι, » κόψαι, κλάσαι... Θρυψίχρως τρυφερὸς», φησὶν Ἡσύχιος. Τοὺς δὲ τόπους, ἔνθα χρὴ θηρᾶν τὰ μαλάκια, δείκνυσιν Ἀρχέστρατος, περὶ μὲν τῶν πολυπόδων λέγων (παρὰ τῷ Ἀθην. σελ. 318)·

Πούλυποι ἔν τε Θάσῳ καὶ Καρίᾳ εἰσὶν ἄριστοι·
Καὶ Κέρκυρα τρέφει μεγάλους, πολλούς τε τὸ πλῆθος.

Περὶ σηπιῶν δὲ (παρὰ τῷ αὐτ. σελ. 324)·

Σηπίαι Ἀβδήροις τε Μαρωνείᾳ τ' ἐνὶ μέσσῃ.

Περὶ δὲ τῶν τευθίδων (παρὰ τῷ αὐτ. σελ. 326)·

Τευθίδας ἐν Δίῳ τῷ Πιερικῷ παρὰ χεῦμα
Βαφύρα, καὶ ἐν Ἀμβρακίᾳ παμπληθέας ὄψει.

Περὶ δὲ τῆς δυνάμεως αὐτῶν, Ἱπποκράτης μέν φησι (Περὶ διαίτ. Β, σελ. 221), « Πουλύποδες καὶ σηπίαι, καὶ τὰ τοιαῦτα, οὔτε κοῦφα, » ὡς δοκέει, ἐσὶν, οὔτε διαχωρητικά· διὸ καὶ τοὺς γομάχους βαρύ- » νουσιν ἐσθιόμενα. Πλὴν οἱ ζωμοὶ τουτέων διαχωρέουσι ». Δίφιλος δὲ (παρὰ τῷ Ἀθην. σελ. 356)· « Ἡ δὲ σηπία καὶ ἑψομένη μὲν ἀπαλὴ καὶ » εὔχομος καὶ εὔπεπτος, ἔτι δ' εὐκοίλιος· ὁ δ' ἀπ' αὐτῆς χυλὸς λεπ- » τυντικός ἐσιν αἵματος, καὶ κινητικὸς τῆς δι' αἱμορροΐδων ἐκκρίσεως. » Τευθὶς δὲ εὐπεπτοτέρα, καὶ τρόφιμος, καὶ μᾶλλον ἡ μικρά· ἡ δὲ » ἐφθὴ σκληροτέρα ἐσὶ καὶ οὐκ εὔχομος. Ὁ δὲ πώλυψ συνεργεῖ μὲν » ἀφροδισίοις, σκληρὸς δέ ἐσι καὶ δύσπεπτος· ὁ δὲ μείζων τροφιμώ- » τερος. Παρυγραίνει δὲ καὶ κοιλίαν ἑψόμενος ἐπὶ πλεῖον καὶ τὸν » γόμαχον ἴσησιν ». Κατὰ δὲ τὸν Μνησθεον (παρὰ τῷ αὐτ. σελ. 357), « Τὸ δὲ τῶν μαλακίων γένος, οἷα πολυπόδων τε καὶ σηπιῶν καὶ » τῶν τοιούτων, τὴν μὲν σάρκα δύσπεπτον ἔχει· διὸ καὶ πρὸς ἀφρο- » δισιασμοὺς ἁρμόττουσιν. Αὐτοὶ μὲν γάρ εἰσι πνευματώδεις· ὁ δὲ » τῶν ἀφροδισιασμῶν καιρὸς πνευματώδους προσδεῖται διαθέσεως. Βελ- » τίω δὲ ταῦτα γίνεται ἑψηθέντα· τὰς γὰρ ὑγρότητας ἔχει πονηράς· » ἰδεῖν γοῦν ἐσιν οἷας ἀφίησι πλυνόμενα. Ταύτας οὖν ἡ ἕψησις ἐκκα- » λεῖται τῆς σαρκός. Μαλακῆς γὰρ τῆς πυρώσεως καὶ μεθ' ὑγροῦ δι- » δομένης, οἱονεὶ πλύσις τις αὐτῶν γίνεται. Τὰ δὲ ὀπτώμενα κατα- » ξηραίνει τὰς ὑγρότητας· ἔτι δὲ καὶ τῆς σαρκὸς αὐτῶν φύσει σκληρᾶς » οὔσης, κατὰ λόγον οὕτως ἔχει γίγνεσθαι αὐτά ». Περὶ δὲ τῆς σηπίας μοναχῶς τάδε λέγει Συμεὼν ὁ Σηθῆς· « Σηπία δύσπεπτός ἐσι, » καὶ ὀλίγον ἔχει ἐν αὐτῇ τὸν ἁλυκὸν χυμόν. Εἰ μέντοι πεφθῇ, » τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι. Ἀπογεννᾷ δὲ ὠμὸν χυμόν· » διὸ δεῖ μετὰ δριμέων ἀρτυμάτων ταύτην προσφέρεσθαι, καὶ οἶνον » ἐπιπίνειν παλαιὸν καὶ λεπτὸν, κ. τ. λ. ». Καὶ ταῦτα μὲν οἱ ἰατροὶ, ἢ οἱ ὑγιεινῶν παραγγελμάτων συγγραφεῖς, περὶ τῆς τῶν μαλακίων τροφίμης τε καὶ ἀφροδισιαστικῆς δυνάμεως, ἧς μετέχουσι καὶ τῶν ὀστρακοδέρμων τὰ πλεῖστα (ἴδ. ἀνωτέρ. σελ. 134). Ἀπορίας δὲ ἄξιον,

διὰ τί οἱ Μοναχοὶ τούτοις μάλιστα χαίρουσι, καὶ τούτων κορεννύμενοι, νηστεύειν ἐπαγγέλλονται· καὶ γὰρ εἰ καὶ μὴ τοιοῦτοί εἰσιν οἱ νῦν παρ' ἡμῖν μονάζοντες, τοιούτους γε τοὺς πρὸ αὐτῶν γεγονέναι καὶ μάλιστα τοὺς Ἡγουμένους τῶν κοινοβίων, πιστεύειν εἰκὸς τῷ τὴν λιχνείαν αὐτῶν σηλιτεύσαντι Μοναχῷ Πτωχοπροδρόμῳ. Ἐν γὰρ τῷ ἐπιγραφομένῳ Κατὰ Ἡγουμένων αὐτοῦ ποιήματι ταῦτα λέγει πρὸς ὃν αὐτὸ προσφωνεῖ Αὐτοκράτορα Μανουὴλ τὸν Κομνηνὸν, περὶ τῆς κατὰ τετράδα καὶ παρασκευὴν νομιζομένης καὶ ὀνομαζομένης ξηροφαγίας τῶν Μοναχῶν (στιχ. 340-348)·

Τετράδα καὶ παρασκευὴν ξηροφαγοῦσιν ὅλως.
Ἰχθὺν γὰρ οὐκ ἐσθίουσιν, ΑΝΑΞ, ποσῶς ἐνταῦθα,
Εἰμὴ ψωμίτζιν καὶ κρασὶν, σακοὺς καὶ ὥρια παγούρια,
Καραβιδίτζας ἐκζεστὰς, τηγάνου καριδίτζας,
Καὶ λαχανίτζιν καὶ φακῆν μὲ ὀξυδομυδίτζια,
Καὶ μισὸν γόμον, ΔΕΣΠΟΤΑ, τὰ κτένια, τὰς σουλήνας,
Καὶ φαβατίτζιν ἁλεστὸν, ὀρύζιν μὲ τὸ μέλιν,
Φασόλιν ἐξοφθάλμιστον, ἐλαίας καὶ χαβιαρίτζιν,
Καὶ πωρινὰ αὐοτάραχα διὰ τὴν ἀνορεξίαν, κ. τ. λ.

—Στ. 19, Βάτοι δὲ καὶ λειόβατοι, καὶ ῥίναι... νάρκης τε καὶ τρυγόνος.] Οὐδὲ τούτων οὐδενὸς ἐμνημόνευσεν ὁ Ξενοκράτης. Βατόπουλον τὸν Βάτον ὑποκοριστικῶς καλεῖ ὁ Πτωχοπρόδρομος (Κατὰ Ἡγουμέν. στιχ. 573),

Σπουδάζουσι νὰ εὕρωσι βατόπουλα, ψησία,
Φιλομηλίτζας τρυφερὰς, κωβίδια, γαλέας·

πλὴν εἰ μὴ τὴν Βατίδα λέγει, ἣν διάφορον εἶναι τοῦ Βάτου εἰσὶν οἳ τῶν ἀρχαίων ἡγήσαντο, καθὰ δηλοῖ καὶ ὁ Ἐπίχαρμος (παρ' Ἀθην. σελ. 286)·

Ἦν δὲ νάρκαι, βατίδες· ἦν δὲ ζύγαιναι, πρήστιες,
Καμεῖται, βάτοι, ῥίναι τε τραχυδέρμονες.

Ἔστι δὲ ὁ Βάτος, ἡ Βατὶς, τοῦ γένους τῶν παρὰ τοῖς Γάλλοις καλουμένων Raies, ὥσπερ καὶ ἡ Ῥίνη, ἀπὸ τῆς τραχύτητος τοῦ δέρματος οὕτω κληθεῖσα, παραπλησίας τῇ τῆς ἐκ σιδήρου ῥίνης τραχύτητι, καὶ ὁ Λειόβατος, ὃν καὶ Ῥίνην τινὲς ὠνόμαζον συγχέοντες τὰς προσηγορίας (Ἀθην. σελ. 312), καὶ ἡ Νάρκη, καὶ αὐτὴ δὲ ἡ Τρυγών.

Καὶ τὴν μὲν Ῥίνην καλοῦσιν Ange, ἢ Angelot, τὸν δὲ Βάτον, Raie bouclée, ἢ Clavellade, τὸν δὲ Λειόβατον Raie miralet, τὴν δὲ Νάρκην Torpille, ἢ Raie-torpille, τὴν δὲ Τρυγόνα Pastenaque. Ἦν δὲ παρὰ ταῦτα καὶ γένος ἄλλο, ὁ καλούμενος Ῥινόβατος, ὃν ἐπίζευον οἱ παλαιοὶ ἐκ συνδυασμοῦ τῆς Ῥίνης καὶ τοῦ Βάτου γεννᾶσθαι. Ἡ παρ' ἡμῖν συνήθεια ἔσωσεν οὐ μονον τοῦ βάτου, ἀλλὰ καὶ τῆς ῥίνης τοὔνομα, ᾧ φησιν ὁ Γίλλιος (παρὰ τῷ Γεσνήρ. σελ. 1081) οὐ μόνον τὴν τῶν ἀρχαίων ῥίνην, ἀλλὰ καὶ τὸν ῥινόβατον σημαίνειν τοὺς νεωτέρους Ἕλληνας· πρὸς δὲ, καὶ αὐτῆς τῆς Τρυγόνος, ἣν καὶ Σαλάκι (τουτέστι Σελάχιον) ὀνομάζεσθαι εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 91) ἐπαγαγόμενοι μάρτυρα τὸν Γάλλον Σοννίνιον. Τὴν Νάρκην δὲ, ἣν καὶ Νάρκαν δωρικῶς, ὁ Μένανδρος, καίπερ Ἀττικὸς ὢν, εἴρηκεν (Ἀθήν. σελ. 314), οὕτως κληθῆναι παρὰ τὸ πάθος, τὴν νάρκην, ἴσασιν ἅπαντες καὶ σοφοὶ καὶ ἰδιῶται. Νάρκη γὰρ ποιεῖ τοὺς αὐτῆς ἁπτομένους, ἠλεκτρισμῷ παραπλήσιον ἐμποιοῦσα σεισμὸν καὶ παράλυσιν τῷ ψαύοντι μέρει τοῦ σώματος. Ὅθεν καὶ ἄλλοις μὲν ὑπ' ἄλλων κατὰ τὴν οἰκείαν ἑκάστῳ φωνὴν, τὴν αὐτὴν δὲ ταύτην ἰδιότητα τοῦ ζώου δηλοῦσιν ὀνόμασι κέκληται. Τὸ γὰρ τῶν Ἰταλῶν Torpiglia, τὸ τῶν Γάλλων Torpille (παρὰ τὸ Ῥωμαϊκὸν Torpedo) τὸ τῶν Μασσαλιωτῶν Dormilliouse, τὸ τῶν Ἱσπανῶν Tremielga, τὸ τῶν Γερμανῶν Krampffisch, καὶ τὸ τῶν Ἄγγλων Cramp-fish, τῆς Νάρκης εἰσὶν ὀνόματα, τρόμον, παράλυσιν, ἀναισθησίαν, ἢ ἀκινησίαν σημαίνοντα. Ταὐτὰ δὲ ταῦτα δηλοῦσι καὶ τὰ παρ' ἡμῖν δύο τοῦ ἰχθύος ὀνόματα. Μουδίαγραν γὰρ (*Forsk. Description. animal. pag.* 16) αὐτὴν, καὶ Μαργωτήραν καλοῦμεν. Ὧν τὸ μὲν παρὰ τὸ τῶν ἀρχαίων Αἱμωδιᾶν, τὸ ναρκᾶν τοὺς ὀδόντας, ἐστὶ, τὸ δὲ παρὰ τὸ Μαργᾶν ἢ Μαργαίνειν, τὸ ἐν τῇ συνηθείᾳ Μαργόνειν· ὃ παρὰ μὲν τοῖς ἀρχαίοις ἐδήλου ἀμεταβάτως τὸ μαίνεσθαι, παρ' ἡμῖν δὲ ἐπὶ τῶν διὰ σφοδρὰν ψύξιν ναρκώντων μελῶν τοῦ σώματος, ὥστε πήγνυσθαι καὶ ἀκινητεῖν, οἱονεὶ δεσμοῖς κατεχόμενα, τέτακται, καθὰ δηλοῖ καὶ ὁ τοῦ ἐπιγραφομένου Ἀπολλωνίου τοῦ ἐν Τύρῳ ποιητής.

Ἀσάλευτος καὶ ἀμίλητος, σανᾶτον μαργωμένος.

Ὅθεν καὶ Μαργωτίδας καλοῦμεν τὰ χίμετλα (Γαλλ. engelures). Ὅτι δὲ καὶ τὸ ἀρχαῖον Μαργᾶν οὐκ ἀλλότριον ἦν τῆς τοῦ δεσμεῖν ἢ κωλύειν τὴν κίνησιν ἐννοίας, ἢ μᾶλλον, ὅτι αὐτὸ τοῦτο κυρίως καὶ

προηγουμένως δηλοῦν, μετηνέχθη ἐπὶ τὸ μαίνεσθαι, ὡς ἀξίων ὄντων μάλιστα δεσμοῖς κατέχεσθαι τῶν μαινομένων, μαρτυρεῖ Ἡσύχιος λέγων· « Μαργαίνων, μαινόμενος, ΔΕΣΜΩΝ, ὑβρίζων· δεσμὸς γὰρ ἡ Μαρ- » γάς », ἔνθα γραπτέον ἴσως ΔΕΣΜΙΩΝ, ὃ ἐστι δεσμοῦ δεόμενος, κατὰ τὸ « Κουριῶν, κουρᾶς δεόμενος κ. τ. λ. » παρὰ τῷ αὐτῷ Ἡσυχίῳ. Καὶ ταῦτα μὲν περὶ τῶν ὀνομάτων. Ὥρα δὲ καὶ τὰ τῶν ὀψοφάγων καὶ τὰ τῶν ἰατρῶν παραθεῖναι περί τε τῆς βρώσεως καὶ τῆς δυνάμεως τῶν ἰχθύων. Ἀρχέστρατος μὲν οὖν περὶ τῆς βατίδος ταῦτά φησι (παρ' Ἀθην. σελ. 286)·

Καὶ βατίδ' ἐφθὴν ἔσθιέ μοι χειμῶνος ἐν ὥρῃ,
Καὶ ταύτῃ τυρὸν καὶ σίλφιον. Ἄττα τε σάρκα
Μὴ πίειραν ἔχει πόντου τέκνα, τῷδε τρόπῳ χρὴ
Σκευάζειν. ΗΔΗ ΣΟΙ ἐγὼ τάδε δεύτερον αὐδῶ.

Ὧν τὸν τελευταῖον σίχον οὕτως ἴσως σίζειν καὶ γράφειν ἄμεινον·

Σκευάζειν, Ἦ ΔΗ ΣΟΙ ἐγὼ τάδε δεύτερον αὐδῶ.

Περὶ δὲ τῆς νάρκης (παρὰ τῷ αὐτ. σελ. 314)·

Καὶ νάρκην ἐφθὴν ἐν ἐλαίῳ ἠδὲ καὶ οἴνῳ,
Καὶ χλόῃ εὐώδει, καὶ βαιῷ ξύσματι τυροῦ.

Τὴν δὲ ῥίνην καὶ τὸν λειόβατον ἀποδοκιμάζει (παρὰ τῷ αὐτ. σελ. 319), ὡς γοῦν ἐστιν εἰκάσαι ἐκ τῆς διορθώσεως τοῦ Σνειδέρου τῶν ἑξῆς ἐπῶν·

Καὶ σελάχη μέντοι κλεινὴ Μίλητος ἄρισα
Ἐκτρέφει· ἀλλ' οὐ χρὴ ῥίνης λόγον, ἢ πλατυνώτου
Λειοβάτου ποιεῖσθαι. ———————————

Δωρίων δὲ (παρὰ τῷ αὐτ. Ἀθην.) φησὶν, « Ἐν Σμύρνῃ, τὰς ῥίνας » διαφόρους γίνεσθαι· καὶ πάντα δὲ τὰ σελαχώδη τὸν Σμυρναϊκὸν » κόλπον ἔχειν διαφέροντα ». Περὶ δὲ τῆς δυνάμεως, Ἱκέσιος μὲν (παρὰ τῷ αὐτ. σελ. 314) « ἀτροφωτέραν καὶ ἀχυλοτέραν τὴν νάρκην εἶναι, » ἔχειν τε χυνδρῶδές τι διακεχυμένον εὐστόμαχον πάνυ » φησί. Κατὰ δὲ τὸν Δίφιλον (παρὰ τῷ αὐτ. σελ. 356), « Ἡ νάρκη δύσπεπτος οὖσα, » τὰ μὲν κατὰ τὴν κεφαλὴν ἁπαλά τε καὶ εὐστόμαχα (ἴσ. εὔστομα) ἔχει, » ἔτι δὲ εὔπεπτα, τὰ δ' ἄλλα οὔ. Κρείττονες δέ εἰσιν αἱ μικραὶ, καὶ » μάλιστα αἱ λιτῶς ἑψόμεναι. Ἡ δὲ ῥίνη, καὶ αὐτὴ τῶν σελαχίων οὖσα, » εὔπεπτός ἐστι καὶ κούφη· ἡ δὲ μείζων καὶ τροφιμωτέρα. Κοινῶς δὲ

» πάντα τὰ σελάχια φυσώδη ἐςὶ, καὶ κρεώδη, καὶ δυσκατέργαςα, » πλεοναζόμενά τε τὰς ὄψεις ἀμβλύνει ». Μνησίθεος δὲ (παρὰ τῷ αὐτ. σελ. 357) φησὶ, « Τὰ δὲ καλούμενα ϑαρτὰ, τὸ μὲν ὅλον ἐςὶν ὅσα τραχεῖαν ἔχει τὴν ἐπίφυσιν τοῦ δέρματος, οὐ λεπίσιν, ἀλλ' οἷκν » ἔχουσιν αἱ βατίδες καὶ ῥῖναι. Ταῦτα δὲ πάντα ἐςὶ μὲν εὔϑρυπτα, » οὐκ εὐώδη δὲ, καὶ τροφὰς ἐμποιεῖ τοῖς σώμασιν ὑγράς· ὑπάγει δὲ » καὶ τὰς κοιλίας μάλιςα πάντων τῶν ἑψομένων ἰχθύων. Τὰ δὲ ὀπτώ- » μενα χείρονα ».—Στ. 24, Φῶκαι.] Καὶ ἐνϑάδε συγκεχύσθαι εἰκὸς ταῖς Φωκαίναις τὰς Φώκας, κατὰ τὰ ἐν τοῖς πρόσθεν (σελ. 108 καὶ 189) σημειωθέντα· πλὴν εἰ μή τις ὑπολάβοι ἐν τοῖς κατὰ τὸν Γαληνὸν χρόνοις τὴν Φώκαιναν καὶ Φώκην ἀδιαφόρως καλεῖσθαι, ὥσπερ ἐλέγετο καὶ Φῶκος, εἴ γε πιςὸς ὁ Ἡσύχιος· « Φῶκος, κῆτος ϑαλάσσιον ὅμοιον » δελφῖνι ».

ΣΕΛΙΔ. 41, στ. 1, Θύννων.] Καὶ ϑηλυκῶς ϑύνναν εἰρηκότα παρεσχόμεϑα ἐν τοῖς πρόσθεν (σελ. 63) μάρτυρα τὸν Πτωχοπρόδρομον· ᾧ προσεπαγέσθω καὶ ὁ μικρῷ τοῖς χρόνοις ἀρχαιότερος Συμεὼν ὁ Σηϑῆς, « Αἱ ϑύνναι παχύχυμοί εἰσι καὶ δύσπεπτοι, καὶ μοχ- » ϑηροῦ χυμοῦ γεννητικαί κ. τ. λ. ».—Στ. 10, ΠΕΡΙ ΤΩΝ ΘΑΛΑΣΣΙΩΝ ΕΧΙΝΩΝ.] Ἐχῖνοί εἰσιν οἱ ἐν τῇ συνηϑείᾳ Ἀχινοὶ καλούμενοι (ὥσπερ καὶ αἱ ἐγχέλεις, οὐ μόνον Χέλια, ἀλλὰ καὶ Ἀχέλια). Τῶν ἐχίνων τὰ ὠὰ καὶ τὸ ὑγρὸν, πρὸς διαχώρησιν καὶ οὔρησιν ἐπιτήδεια εἶναι λέγει Ἱπποκράτης (Περὶ διαίτ. σελ. 222). Ὡσαύτως καὶ ὁ Διοσκορίδης (Β, 1) ἐν τοῖς εὐσομάχοις εὐκοιλίοις καὶ διουρητικοῖς αὐτοὺς τάττει. Κατὰ δὲ τὸν Δίφιλον (παρ' Ἀϑην. σελ. 91) « Ἐχῖνοι, » ἁπαλοὶ μὲν, βρομώδεις, πλήσμιοι, εὔφϑαρτοι· μετὰ δὲ ὀξυμέλιτος » λαμβανόμενοι, καὶ σελίνου καὶ ἡδυόσμου, εὐσόμαχοι, γλυκεῖς τε » καὶ εὔχυλοι. Προσηνέσεροι δὲ αὐτῶν οἱ ἐρυϑροὶ, καὶ οἱ μήλινοι, » καὶ οἱ παχύτατοι, καὶ οἱ ἐν τῷ ζύεσθαι τὴν σάρκα γαλακτώδες » ἀνιέντες. Οἱ δὲ περὶ τὴν Κεφαληνίαν γινόμενοι, καὶ περὶ τὴν Ἰκα- » ρίαν καὶ τὸν Ἀδρίαν, τινὲς αὐτῶν καὶ ὑπόπικροί εἰσιν. Οἱ δ' ἐπὶ » τοῦ σκοπέλου τῆς Σικελίας, κοιλίας λυτικοί ».

ΣΕΛΙΔ. 42, στ. 4, Τοῦ τῶν λίτρων ἀφροῦ, καὶ τοῦ τῶν χαύνων ἀφρολίτρων.] Λίτρων Ἀττικῶς εἴρηκεν, ἀντὶ τοῦ Νίτρων. Διὸ καὶ ἐχομένως Ἀφρολίτρων ὤφειλεν εἰπεῖν, ὡς ἔγραψα, καὶ οὐκ Ἀφρονίτρων, οὐδ', ὡς φέρεται ἐν τοῖς τοῦ Γαληνοῦ, τυπογραφικῇ ἁμαρτίᾳ, Ἀφονίτρων. Ἦν δὲ τὸ παρὰ τοῖς ἀρχαίοις νίτρον, οὐχ ὃ τῷ αὐτῷ ὀνόματι (Nitre, ἢ Nitrate de Potasse) καλοῦσιν οἱ

νεώτεροι χημικοὶ, τὸ συγκείμενον ἔκ τε νιτρικοῦ ὀξέος καὶ ἀλκαλίου φυτικοῦ· ἀλλὰ τὸ λεγόμενον νῦν Νάτρον, αὐτοφυὲς σύγκριμα ἀνθρακικοῦ ὀξέος καὶ ἀλκαλίου (Natron, ἢ Carbonate de soude natif). Καὶ Νίτρον μὲν, ἢ Λίτρον, ἐκάλουν τοὺς στερροτέρους καὶ λιθώδεις τῶν βώλων, Ἀφρόνιτρον δὲ, ἢ Ἀφρόλιτρον, τοὺς χαυνοτέρους τε καὶ μαλακωτέρους, Ἀφρὸν δὲ λίτρου, ἢ νίτρου, τὸ ἐξανθοῦν ἐπιπολῆς τοῦ νίτρου καὶ ῥᾳδίως ἀποξυόμενον ἀλευρῶδες. Ἔξαι δὲ καταθηλότερα ταῦτα παραθεμένοις ἅπερ ἀλλαχοῦ (Περὶ τῆς τῶν ἁπλ. φαρμ. δυνάμ. Δ, Τόμ. Β, σελ. 53) Γαληνὸς εἴρηκε, διορθώσεως κακεῖνα χρήζοντα· « Οὕτω δὲ δὴ καὶ τὸ νίτρον αὐτὸ, καὶ » ἀφρὸς αὐτοῦ καὶ τῷ (γρ. καὶ ὁ ἀφρὸς αὐτοῦ, καὶ τὸ) συνθέτῳ » προσηγορίᾳ καλούμενον ἀφρόλιτρον, ἔτι μᾶλλον τῶν ἄλλων πέ- » φυκε ῥύπτειν, ὡς ἂν ἧκισα μὲν σύφοντα, πικρὰ δ' ἀκριβῶς ὑπάρ- » χοντα κ. τ. λ. » Καὶ αὖθις (Θ, σελ. 124) « Ἀφρόλιτρον ἀφονίτρου » (γρ. Ἀφρόλιτρον ἀφροῦ λίτρου) διαφέρει. Λίτρου μὲν γὰρ ἀφρὸς » ξηραντικόν ἐστι φάρμακον, ἀλεύρῳ πυρίνῳ παραπλήσιος ὀφθῆναι· » καὶ γὰρ καὶ λευκός ἐστιν, οὐχ, ὥσπερ τὸ τῆς Ἀσίας πέτρας ἄνθος, » τεφρώδης. Ἀφόνιτρον (γρ. Ἀφρόλιτρον) δ' οὐκ ἀλευρῶδες, οὐδὲ διαλελυμένον, ἀλλὰ πεπηγός ἐστι καὶ συνεχὲς, ᾧ πάντες οἱ ῥυπῶντες » ἐν τοῖς βαλανείοις ὁσημέραι χρῶνται, ῥυπτικὴν ἔχοντι δύναμιν, » ὡς μὴ μόνον ἀποσμῆξαι ῥύπον, ἀλλὰ καὶ κνησμὸν ἰάσασθαι, διαφορουμένων ὑπ' αὐτοῦ τῶν ἐργαζομένων αὐτὸν ἰχώρων. Εἰκότως » οὖν δι' αὐτοῦ σκευάζουσιν ἰατροὶ πολλὰ τῶν διαφορούντων φαρμάκων. Ὁ δ' ἀφρὸς τοῦ λίτρου τῆς αὐτῆς μέν ἐστι φύσεως καὶ δυνάμεως τῷ λίτρῳ, λεπτομερεστέραν δ' ἔχει τὴν οὐσίαν. Ἐῤῥέθη γε » μὴν ὀλίγον ἔμπροσθεν, ἐν τῷ μεταξὺ κατὰ τὴν δύναμιν εἶναι τὸ » ἀφρόλιτρον ἀφονίτρου (γρ. ἀφρόλιτρον ἀφροῦ λίτρου) τε καὶ ἁλῶν· » ἀφρολίτρῳ μὲν γὰρ ἡ ῥυπτικὴ δύναμις ὑπάρχει μόνη, τοῖς δ' ἁλσὶ » καὶ ἡ ΣΤΥΠΤΙΚΗ, πολὺ πλείων δὲ ἡ ΡΥΠΤΙΚΗ ». Ἔνθα σημείωσαι ὅτι τὰ τελευταῖα ταῦτα, συγκεχυμένα ὑπὸ τῶν ἀντιγραφέων, οὕτω διακρίναντα χρὴ γράφειν, Τοῖς δ' ἁλσὶ καὶ ἡ ΡΥΠΤΙΚΗ, πολὺ πλείων δὲ ἡ ΣΤΥΠΤΙΚΗ, ἵνα μὴ ἀντιφάσκῃ ὁ Γαληνὸς οἷς πρὸ τούτων εἰρήκει· « Ὁ μὲν ἐν τοῖς ἀφρολίτροις [χυμὸς] πικρός τέ ἐστι » καὶ ῥυπτικός· ὁ δ' ἐν ἁλσὶ τοσοῦτον ἀπολείπεται κατὰ τὸ ῥύπτειν, » ὅσον πλεονεκτεῖ κατὰ τὴν σύψιν. Ἔστι γὰρ μικτὸς ἐκ δυοῖν ποιοτήτων ῥυπτικῆς καὶ στυπτικῆς· ὅτι δὲ ἱκανῶς ἀμφότεροι ξηραίνουσιν, » ἐδέδεικτο καὶ πρόσθεν· ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστιν ὁ τοῦ λίτρου ».

Οἷς προσίθει ἐκ τοῦ αὐτοῦ Γαληνοῦ (Περὶ συνθ. φαρμ. τῶν κατὰ γέν. Β, σελ. 334) καὶ τάδε· «Τοῦτο τοῖς ἁλσὶν ἐξαίρετον ὑπάρχει » τὸ σύφειν μᾶλλον ἢ ῥύπτειν· ἐπὶ (γρ. ἐπεὶ) τό γε ξηραίνειν οὐδὲν » ἧττον ἔχουσιν ἀφρονίτρου καὶ νίτρου. Ἀλλ' ἐκείνοις μὲν οὐ μέτεσι » τῆς συπτικῆς δυνάμεως, ὥσπερ οὐδὲ τῷ τῆς Ἀσίας πέτρας ἄνθει, » καὶ διά τοῦτο διαφορεῖν τε δύναται, καὶ κηρωταῖς μιγνύμενα καθαί- » ρειν ἕλκη ῥυπαρά· τοῖς δ' ἁλσὶν οὐχ ὑπάρχει τοῦτο διὰ τὴν σύψιν». Καὶ ταῦτα μὲν ὁ Γαληνὸς καὶ οἱ κατ' ἐκεῖνον ἰατροί· ὁ δ' οὐ μακρῷ προγενέσερος Διοσκορίδης (Ε, 130 καὶ 131) νίτρον μόνον, καὶ νίτρου ἀφρὸν ὀνομάζει. — Στ. 18, Κορακῖνοι δὲ καὶ Μύλλοι.] Διὰ διπλοῦ λ ἔγραψα τὸ τελευταῖον ὄνομα, καθὰ φέρεται καὶ παρ' ἑτέροις, πλὴν τοῦ διὰ τὸ μέτρον, Μύλοι, γράψαντος Ὀππιανοῦ (Ἁλιευτ. Α, 130). Καὶ ὁ μὲν τούτου σχολιαστὴς πιθανῶς πάνυ τὰ παρ' ἡμῖν καλούμενα Μυλλοκόπια φησὶν εἶναι τοὺς Μύλλους, οὓς καὶ ὁ Αἰλιανὸς (Περὶ ζ. ἰδιότητ. ιδ', 23), ὥσπερ ὁ Γαληνὸς, ἐξῆς τῶν Κορακίνων ὀνομάζει, ὡς ἐκείνων διαφόρους ἰχθύας, ἔν τε τῷ Ἴσρῳ φησὶ γεννᾶσθαι. Καὶ Δίφιλος δὲ ἕτερον ὄντα Κορακίνου τὸν Μύλλον οἶδεν, ὡς ἐθηλώθη ἐκ τοῦ Ἀθηναίου (ἴδ. ἀνωτέρ. σελ. 178). Ἔνιοι μέντοι τῶν νεωτέρων τοὺς αὐτοὺς τοῖς Κορακίνοις ἡγήσαντο τοὺς Μύλλους, ὁρμηθέντες ἴσως ἐκ τοῦ Ἀθηναίου, παρ' ᾧ εὕρηνται οἱ Κορακῖνοι καὶ Πλατίσακοι καλούμενοι (Ἀθην. σελ. 308), ὥσπερ οἱ μείζονες τῶν μύλλων· τούτους γὰρ μείζονας μὲν ὄντας Πλατισάκους καλεῖσθαι φησὶν ὁ Δωρίων (παρ' Ἀθην. σελ. 118), μέσην δ' ἔχοντας ἡλικίαν, Μύλλους, μικροὺς δὲ τοῖς μεγέθεσιν, Ἀγνωτίδια. Ὁ δὲ Λακεπέδης (*Histoir. natur. des Poissons, Tom. IX, pag.* 202, *édit.* 1799) πλανηθεὶς ὑπέλαβε τὰ τρία ταῦτα ὀνόματα, Πλατισάκους, Μύλλους καὶ Ἀγνωτίδια, παρὰ τοῖς νῦν Ἕλλησιν ἐπιχωριάζειν, τὸν Ῥονδελέτον ἐπαγόμενος μάρτυρα. Πιστεύει δὲ τὸν ὑπὸ τούτων τῶν ὀνομάτων σημαινόμενον ἰχθὺν τὸν Κορακῖνον εἶναι, ὃν ὑπὸ τῷ τῶν Σκιαινῶν γένει τάττει, Sciene umbre (Σκίαιναν σκιὰν), ὥσπερ καὶ ὁ Λινναῖος, εἰδικῷ καλῶν ὀνόματι· τὴν δὲ τῶν ἀρχαίων Σκίαιναν, ἢ Σκιαθέα (ἴδ. ἀνωτέρ. σελ. 98) τῷ τῶν Περκῶν συγκαταλέγων γένει, καὶ ὀνομάζων εἰδικῶς Persegue umbre (Πέρκην σκιὰν), προσιθεὶς ὅτι καὶ ὑπὸ τῶν νῦν Ἑλλήνων Μυλλόκοπον καλεῖται· τοῦτο γάρ, οἶμαι, λέγειν ἠβούλετο, καὶ οὐχ, ὡς φέρεται παρ' αὐτῷ (*ibid. pag.* 348), τυπογράφων ἴσως πλημμελείᾳ, Millocono, Μιλλόκονο. Καθ' ἑτέρους δὲ, ὅ γε Νειλῷος κορακῖνος ὑπὸ τῷ τῶν χειλώνων (Labrus) γένει

τέτακται, εἰδικῷ καλούμενος ὀνόματι Labrus nebulosus, ἢ Labrus Nili (*Nouv. Dictionnair. d'Histoir. naturell. Tom. XII, pag.* 418). Ὅπως δ' ἂν ποτ' ἔχῃ ταῦτα, ἥ γε παρ' ἡμῖν κλῆσις τοῦ Μυλλοκοπίου, ἐκ τοῦ τοὺς μέσους τὴν ἡλικίαν τῶν κορακίνων, Μύλλους καλεῖσθαι, ὥς φησιν ὁ Δωρίων, ἐτυμολογοῖτο ἂν οὐκ ἀπιθάνως. Καὶ γὰρ νῦν ὡς καὶ πάλαι Μεσοκόπων καλουμένων τῶν μέσων τὴν ἡλικίαν ἀνδρῶν ἢ γυναικῶν, εἰκός τινα τῶν κωμικῶν καὶ, Μεσοκόπους μύλλους ὀνομάσαι, οὓς ἐπελθὼν ἕτερος Μυλλοκόπους βωμολόχως εἴρηκεν.—Στ. 19, Σαρδῆναι.] Γραπτέον, Σαρδίναι, Sardinæ, ὡς φέρεται παρὰ τῷ Κολλουμέλᾳ (*Collumel. de re rustic. Lib. VIII, cap.* 17, § 12), ἢ Σάρδαι, ὥσπερ ἀνωτέρω (σελ. 167), ἢ γοῦν ἀρσενικῶς Σαρδῖνοι. Προέχει γὰρ τὸ ἐθνικὸν τοῦτο, καίπερ ὂν παρὰ τὸν κανόνα (Σαρδῶος γὰρ καὶ Σαρδώνιος λέγεται ὁ ἐκ τῆς Σαρδοῦς ἢ Σαρδῶνος), τοῦ παντάπασιν ἀχρήστου Σαρδῆνος.—Σαξάτινα.] Τρεπτέον καὶ τοῦτο εἰς τὸ Σεξιτανά· οὕτως γὰρ καὶ Πλίνιος ταριχηροῦ κολίου μνημονεύει Σεξιτανοῦ, Colias Sexitanus (*Plin. lib. XXXII, cap.* 11). Ἔστι γὰρ ἐθνικὸν ὄνομα πόλεως Ἰβηρικῆς οὐ μακρὰν τῆς Μαλάκης (Malaga) κειμένης τὸ πάλαι, ἣν ὁ Πτολεμαῖος Σὲξ ὀνομάζει, ὁ δὲ Μέλας Ἐξ, ὁ δὲ Στράβων (Γ, σελ. 156) Ἐξιτανῶν πόλιν εἴρηκεν, εὐλαβείᾳ τοῦ βαρβάρου ὀνόματος, τῷ ἐθνικῷ χρησάμενος, «Ἐφεξῆς [τῆς Μαλάκης] » δ' ἐστὶν ἡ τῶν Ἐξιτανῶν πόλις, ἐξ ἧς καὶ τὰ ταρίχη ἐπωνύμως » λέγεται».

ΣΕΛΙΔ. 43, στ. 3, Καλοῦσι νῦν, οἵ τε ἐκ τοῦ Πόντου κομιζόμενοι Μύλλοι.] Εἰς τοῦτο ἔτρεψα τὸ ἡμαρτημένον, Καλοῦσιν, οἵ τε νῦν ἐκ τοῦ Πόντου νομιζόμενοι Μύλοι. Τὸ γὰρ Νῦν ἀντιδιέσταλται πρὸς τοὺς ἔμπροσθεν ἰατρούς.—Στ. 5, Σαξάτινα.] Γράφε καὶ ἐνθάδε Σεξιτανά.—Στ. 10, Ἱκανῶς δὲ παχύχυμα τὰ ὄσρεα, ΤΩΝ ΟΙ Κήρυκες κ. τ. λ.] Παντί που δῆλον μὴ ἐρρῶσθαι τὸ χωρίον. Ἴσως γραπτέον· Ἱκανῶς δὲ παχύχυμα τὰ ὄσρεα, ΟΙΟΝ ΟΙ κήρυκες (ὥσπερ ἐδήλωσα ἐν ταῖς ὑποτεταγμέναις τῷ κειμένῳ διαφόροις γραφαῖς), τοῦ ὄσρεα ὀνόματος γενικῶς ἀντὶ τοῦ ὀσρακόδερμα κειμένου. Ἐνδέχεται μέντοι καὶ τοιαύτην εἶναι τὴν πάλαι γραφήν, Ἱκανῶς δὲ παχύχυμα Ὄσρεα, ΣΤΡΟΜΒΟΙ, Κήρυκες, τοῦ Ὄσρεα ἐν εἴδει τὰ κοινῶς λεγόμενα Ὀσρείδια δηλοῦντος.

ΣΕΛΙΔ. 44, στ. 15, Κορακῖνοι.] Εἰς τοῦτο ἔτρεψα τὸ, Καρκῖνοι. Οὐδεμία γὰρ ἐνθάδε χώρα τοῖς καρκίνοις, οὓς ἀνωτέρω (σελ. 39)

συνέταξε τοῖς ἀσκοῖς, παγούροις, καράβοις τε καὶ καρῖσιν. — Ἐγχέλυες.] Τὰ κοινῶς, Ἀχέλια, καὶ Χέλια. « Ἔγχελυς, παρὰ τὸ ἔχεσθαι » ἐν τῇ ὕλῃ (γρ. ἰλύϊ), ὅ ἐσι ζωγρεῖσθαι » φησὶν ὁ Ἐτυμολόγος (σελ. 312), οὐθ' ὑποπτεύσας ὅλως τὴν πρὸς τὸν, Ἔχιν, τὸ ἑρπετὸν ζῶον, συγγένειαν τοῦ ὀνόματος, ὥσπερ καὶ τῆς φύσεως αὐτῆς τῆς ἐγχέλυος. Τὸ γὰρ γ ἢ ἀφῃρέθη ἀπὸ τοῦ Ἔχις, ὄντος πάλαι κατὰ διάλεκτον Ἔγχις, ἢ προσετέθη τῷ Ἔγχελυς, ὄντι καὶ αὐτῷ Ἔχελυς, καὶ δωρικῶς, Ἄχελυς, ὅθεν τὸ παρ' ἡμῖν Ἀχέλιον. Μαρτυρεῖ δὲ ἡ τῶν Ῥωμαίων φωνὴ, παραδεικνῦσα ἐν ἑκατέρῳ τὸ Γ διὰ τοῦ N, ὥσπερ τὸ X διὰ τοῦ G· παρ' ἐκείνοις γὰρ Anguis (τουτέσιν Ἄγχις) ὀνομάζεται ὁ ἔχις, καὶ Anguilla (τουτέσιν Ἄγχελυς) ἡ ἔγχελυς.

ΣΕΛΙΔ. 45, στ. 4, Ἡ δ' Ἔγχελυς, οὐδ' ὅλως εὔχυμον ἔδεσμα.] Παρέλιπε τὴν Ἔγχελυν ὁ Ξενοκράτης. Ἱκέσιος δὲ παρ' Ἀθηναίῳ (σελ. 298) φησὶν, « Αἱ ἐγχέλεις εὐχυλότεραι πάντων εἰσὶν ἰχθύων, καὶ » εὐσομαχίᾳ (γρ. ἐξ ΕΔ, εὐσομίᾳ) διαφέρουσι τῶν πλείσων· πλήσ- » μιαι γάρ (ἴσ. γρ. πλήσμιαί τέ) εἰσι, καὶ πολύτροφοι ». Ἐν δὲ τοῖς ταρίχεσι τὰς Μακεδονικὰς ἐγχέλεις κατατάττει. Κατὰ δὲ τὸν Δίφιλον (παρ' Ἀθην. σελ. 355) « Ἡ λιμναία ἔγχελυς τῆς θαλασσίας » ἐσὶν εὐσομωτέρα καὶ πολυτροφωτέρα ». Ἦν δὲ παρὰ τοῖς ὀψοφάγοις τῶν Ἑλλήνων ἡ ἔγχελυς, καθὰ καὶ μέχρι δεῦρο ἐσὶ, τῶν περισπουδάσων ἐδεσμάτων, ὥσπερ ἐδήλωσε καί τις τῶν παρὰ τῷ Ἀθηναίῳ (σελ. 298) δειπνοσοφισῶν· « Ἐγχέλυος γὰρ παρατεθείσης, Πάρε- » σιν, ἔφη (γρ. ἔφη, ἡ) τῶν δείπνων Ἑλένη· ἐγὼ οὖν Πάρις » ἔσομαι. Καὶ, χεῖρας μήπω τινὸς ἐκτετακότος ἐπ' αὐτὴν, ἐπιβα- » λὼν ἐψίλωσε τὸ πλευρὸν ἀπαγαγὼν εἰς ἄκανθαν ». Φέρεται δὲ παρὰ τῷ αὐτῷ Ἀθηναίῳ ἑξῆς καὶ τάδε Ἀρχεσράτου τὰ ἔπη περὶ τῆς ἐγχέλεως.

Ἔγχελυν αἰνῶ μὲν πᾶσαν· πολὺ δ' ἐσὶ κρατίση
Ῥηγίου ἀντίπεραν πορθμοῦ ληφθεῖσα θαλάσσης.
Ἔνθα σὺ τῶν ἄλλων πάντων, Μεσσήνιε, θυητῶν,
Βρῶμα τιθεὶς τοιόνδε διὰ σόματος, πλεονεκτεῖς.
Οὐ μὴν ἀλλὰ κλέος γ' ἀρετῆς μέγα κάρτα φέρουσι
Κωπαῖαι καὶ Στρυμόνιαι· μεγάλαι τε γάρ εἰσι,
Καὶ τὸ πάχος θαυμασαί. ΟΜΩΣ δ', οἶμαι, βασιλεύει
Πάντων τῶν περὶ δαῖτα, καὶ ἡδονῇ ἡγεμονεύει
Ἔγχελυς, ἣ φύσει ἐσὶν ΑΠΗΡΙΝΟΣ μόνος ἰχθύς.

Τῶν ἐπῶν τούτων τὸν παρ' ἅπασι σύνδεσμον ΌΜΩΣ ἔτρεψα εἰς τὸ ἐπίῤῥημα ΟΜΩΣ· τὸ γὰρ Ὁμῶς πάντων, ἴσον δύναται τῷ Ἁπαξαπάντων, μηδενὸς ἐξαιρουμένου δηλονότι, οὗ παράδειγμα ἓν ἐκ τῶν πλείστων ἀπόχρη παραθέσθαι τὸ Ὁμηρικὸν (Ἰλιάδ. ῥ', 421) τόδε·

> Ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
> ΠΑΝΤΑΣ ΟΜΩΣ, μήπω τις ἐρωείτω πολέμοιο.

Ἀντὶ δὲ τοῦ ἡμετέρου ΑΠΗΡΙΝΟΣ, ἐφέρετο οὐδενὶ σὺν νῷ ΑΠΥΡΗΝΟΣ ἐν ἁπάσαις ταῖς τοῦ Ἀθηναίου ἐκδόσεσι πλὴν τῆς τελευταίας· ἐν ᾗ ὁ σοφὸς ἐκδότης, Schweighaeuser, κατέταξεν (Τόμ. III, σελ. 91, καὶ σημειώσ. Τομ. IV, σελ. 211) ἐγκρίνας τὴν κατακεχωρισμένην πάλαι ἐν ταῖς ἡμετέραις εἰς τὸν Ἱπποκράτην (Περὶ ἀέρ. ὑδ. τόπ. Τόμ. B, σελ. 242) Γαλατικαῖς σημειώσεσι διόρθωσιν. Σημαίνει δὲ τὸ, μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς Ἀπήριν ος τὸν ἐςερημένον τῶν γεννητικῶν μορίων, κατὰ τὴν ἀρχαίαν περὶ τῆς ἐγχέλεως ὑπόληψιν, ἣν ἐξ ἰλύος φύεσθαι, καὶ μὴ, ὥσπερ οἱ λοιποὶ ἰχθύες, ἐκ θοροῦ γενᾶσθαι ἐνόμιζον.

ΠΑΡΑΛΕΙΦΘΕΙΣΑΙ ΣΗΜΕΙΩΣΕΙΣ.

ΣΕΛΙΔΙ 48, Αἱ τοῦ Πτωχοπροδρόμου Ἴσχαι, αἱ αὐταί εἰσι καὶ περὶ ὧν ταῦτα λέγει Συμεὼν ὁ Σηθης, « Ὕσκα ἰχθὺς, ὃς κοινῶς » Ὕσχα ὀνομάζεται, φλεγματικὸν ἀπογεννᾶ χυμὸν... οἶμαι δὲ, ὅτι » διὰ τοῦτο μετείληπται τοὔνομα ἀπὸ τοῦ Ὑς, ὃ σημαίνει τὸν χοῖ- » ρον, ὅτι τοιαύτην τροφὴν ἐμποιεῖ τῷ σώματι τῷ ἡμετέρῳ παρὰ » τῷ τῶν ἰχθύων γένει, οἵαν τὸ χοίρειον κρέας παρὰ τοῖς χερσαίοις, » οὐχ ὁμοίαν μέντοι, ἀλλὰ ἀνάλογον κ. τ. λ. ». Καὶ σημείωσαι, ὅτι ὑποκοριστικὸν τοῦ Ὑς ὑπείληπται ἡ Ὕσκα, ἢ Ὕσκη, κατὰ συγκοπὴν δηλονότι τοῦ Ὑΐσκη, ὥσπερ παρὰ τὸ Μῦς, αἱ ἐν τοῖς πρόσθεν (σελ. 141) μνημονευθεῖσαι Μυΐσκαι. Τὴν παρὰ τῷ Συμεῶνι ταύτην Ὕσκαν τὴν αὐτὴν εἶναί τινες οὐ πάνυ τι πιθανῶς ᾠήθησαν καὶ τὸν τοῖς Γάλλοις Esturgeon καλούμενον ἰχθὺν (ἴδ. Γεσνῆρ. Περὶ ἐνύδρ. σελ. 522 καὶ 1063).

ΣΕΛΙΔ. 49 (τμ. ς'), Ἐπὶ τοῖς οὐραίοις, οἷς κινοῦνται.] Δι' ὃ καὶ Ἱπποκράτης (Περὶ διαίτ. Γ, § 24, σελ. 257) τοῖς διαφθείρουσι τὰ σιτία ἐν τῷ σομάχῳ, καὶ ἄπεπτα ἐκκρίνουσι, παραινεῖ προσφέρεσθαι « Τῶν ἰχθύων τὰ νωτιαῖα καὶ οὐραῖα· τὰ δὲ κεφάλαια καὶ ὑπογά- » στρια ἐᾶν, ὡς ὑγρότερα· καὶ τοὺς μὲν ἐφθοὺς ἐν ἅλμῃ ἐσθίειν, » τοὺς δὲ ὀπτοὺς ἐν ὄξει ». Ἐκ τοῦ ἐναντίου δὲ, οἷς ξηρὸν καὶ διακεκαυμένον γίνεται τὸ διαχώρημα (αὐτ. § 27, σελ. 260) τὰ κεφάλαια μᾶλλον εἶναι πρόσφορά φησι τῶν ἰχθύων.

ΣΕΛΙΔ. 55, Τὴν Ἀφύην καὶ Ἀφρὸν καὶ Γόνον ἔφαμεν ὑπὸ τῶν ἀρχαίων καλεῖσθαι. Ἐσημειωσάμεθα δὲ (σελ. 54), ὅτι καὶ παρ' ἡμῖν σέσωσαι τὸ τοῦ Ἀφροῦ ὄνομα, ἐν τῷ Ἀφρόψαρα· οἷς προσσημειωτέον ὅτι οὐδὲ τὸ τοῦ Γόνου ἠφάνισαι. Κατὰ γὰρ τὸν Φορσκώλιον (*Descript. animal. pag. XVII*), Γῶνος (γρ. Γόνος) νῦν ὑπὸ τῶν Γραικῶν καλεῖται ἰχθύδιόν τι τοῦ τῶν θρισσῶν ἢ τριχίδων γένους, ἃς ταῖς ἀφύαις συγκαταλέγει, ἢ μᾶλλον ἀφύας εἶναι λέγει ὁ Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. ς', 14), « Ἡ δ' ἄλλη ἀφύη ΓΟΝΟΣ » ἰχθύων ἐστὶν, ἡ μὲν καλουμένη κωβῖτις... Ἐκ δὲ τῆς Φαληρικῆς » [ἀφύης] γίγνονται μεμβράδες· ἐκ δὲ τούτων τριχίδες· ἐκ δὲ τῶν » τριχίδων τριχίαι. Ἐκ δὲ μιᾶς ἀφύης, οἷον τῆς ἐν τῷ Ἀθηναίων

» λιμένι, οἱ ἐγκρασίχολοι καλούμενοι. Ἔςι δὲ ἄλλη ἀφύη, ἡ γόνος » ἐςὶ μαινίδων καὶ κεςρέων. Ὁ δ' ΑΦΡΟΣ ὁ ἄγονος ὑγρός ἐςι καὶ » διαμένει ὀλίγον χρόνον κ. τ. λ. ». Ἔνθα σημείωσαι ὅτι τοῦ γόνου ἕτερον λέγει τὸν ἀφρὸν ὁ Φιλόσοφος· τοῦτον γὰρ οὔτε γεννᾶσθαι, οὔτε γεννᾶν, ἀλλ' ἐξ ἰλύος φύεσθαι ὑπελάμβανεν. Ὁ δὲ γόνος οὐ μόνον διωρισμένως ἐλέγετο, ἀλλὰ καὶ ἁπλῶς δίχα προσθήκης γόνος, ἢ δῆλον ἔκ θ' ὧν παρεθέμεθα ἐπῶν τοῦ Ἀρχεςράτου, καὶ ἐξ ὧν φησὶν Ἡγέμων (παρὰ τῷ Ἀθην. σελ. 108)

Μάλα ταχέως αὐτῶν πρίω (γρ. αὐτῷ πρίω σὺ) πώλυπον,
Καὶ δὸς καταφαγεῖν, κἀπὸ τηγάνου γόνον.

ΣΕΛΙΔ. 56, Τὴν Θρίσσαν φησὶν ὁ Γίλλιος (παρὰ τῷ Γεσνήρ. Περὶ ἐνύδρ. σελ. 23) Φρίσσαν ὑπὸ τῶν νεωτέρων Ἑλλήνων καλεῖσθαι· οὗ τὸ ἔτυμον κακῶς ὁ Γεσνῆρος παρὰ τὸ Φρίσσειν εἶκασεν εἶναι. Τροπῇ γὰρ μόνῃ ςοιχείου οὕτως ἐκάλεσαν οἱ καλέσαντες, ὥσπερ καὶ Φηκάριον καλοῦσι πολλοὶ τῶν ἡμετέρων τὸ Θηκάριον, καὶ ὥσπερ οἱ πάλαι Ἀττικοὶ Φλᾶν ἔλεγον τὸ Θλᾶν, καὶ οἱ Αἰολεῖς Φῆριον τὸ Θηρίον.

ΣΕΛΙΔ. 58 (τμ. ιγ'), « Πονεῖ δὲ τοῦ θέρους ὁ ἀχάρνας, καὶ γίνε- » ται λεπτὸς » κατὰ τὸν Ἀριςοτέλην (Περὶ ζ. ἱςορ. Η, 20).—(Τμ. ιδ'), Τὰς μείζους τῶν βελονῶν, Ζαργάνας φησὶν ὑπὸ τῶν Γραικῶν καλεῖσθαι ὁ Βελλώνιος (Περὶ ἐνύδρ. σελ. 163-165), ἐπιτιμῶν τοῖς κατὰ τὴν Ἀσίαν Γραικοῖς ὅτι καὶ τὰς ἀνωτέρω (σελ. 88) μνημονευθείσας Σφυραίνας (ἃς οἱ τὴν Μιτυλήνην οἰκοῦντες Σφύρνας συγκεκομμένως καλοῦσι) τῷ αὐτῷ ὀνόματι Ζαργάνας προσαγορεύουσι. Καὶ εἰκὸς διὰ τὴν ἐπὶ ποσὸν ἐμφέρειαν τῶν ἰχθύων συγκεχύσθαι καὶ τὰ ὀνόματα· παραπλησίας γὰρ εἶναι τὰς σφυραίνας ταῖς βελόναις φησὶ Σπεύσιππος (παρ' Ἀθην. σελ. 323). Διὸ καί τινες τῶν νεωτέρων ἰχθυολόγων ὑπὸ τοῦ καλουμένου Esox τοὔνομα, ὡς ὑπὸ γένος, ἔταξαν καὶ τὴν βελόνην (Esox belone), καὶ τὴν σφύραιναν (Esox sphyræna). Ὑπολεπτέον οὖν καὶ τὴν Ζαργάνην ὡς γενικὸν ὄνομα τετάχθαι τῆς τε σφυραίνης καὶ τῆς βελόνης. Καὶ οἱ Τοῦρκοι δὲ τὴν βελόνην Sargan baluk ὀνομάζουσι, τουτέςι Σαργάνην ἰχθύν, καὶ οὐχ ὡς ἐξηγήσατο ὁ Φορσκώλιος (*Description. animal. pag. XIII*) Κερατίαν ἰχθύν. Ὁ δὲ τὸν Ὀππιανὸν (Ἁλιευτ. Α, 100 καὶ 172) σχολιάσας, ἀντὶ τῆς βελόνης, τὴν ταινίαν, ὥσπερ καὶ τὴν σφύραιναν, τῷ αὐτῷ ἰδιωτικῷ ὀνόματι, Σαργάνην, καλεῖ, τῇ ταινίᾳ μᾶλλον ἢ τῇ

σφυραίνῃ προσήκοντι, διά γε τὴν συνωνυμίαν τῶν κλήσεων. Ἡ γὰρ Ζαργάνη παρὰ τὴν Σαργάνην, καὶ Ἀττικῶς Ταργάνην (κατὰ τὸ σήμερον καὶ τήμερον), προδήλως παρῆκται, καὶ ἔστι συνώνυμος τῇ Ταινίᾳ, τουτέστιν ὑφάσματι ἐκ λίνου, ἐρίου, ἢ ἄλλου τινὸς τοιούτου, ἐπιμήκει καὶ στενῷ (Γαλλ. ruban), ᾧ ἐπιεικῶς προσέοικεν ἡ θαλάσσιος Ταινία (Γαλλ. Cépole). « Σαργάναι (φησὶν Ἡσύχιος), » δεσμοὶ καὶ πλέγματα κ. τ. λ. » καὶ αὖθις, « Ταργάναι, πλοκαὶ » συνδέσεις, πέδαι » καὶ πάλιν, « Ταινίαι, ζῶναι, στέφανοι, ἢ δεσμοί, » διαδήματα ». Καὶ ταῦτα μὲν περὶ τῶν ὀνομάτων. Περὶ δὲ αὐτῶν τῶν ἰχθύων, τῶν μὲν βελονῶν αἱ δυνάμεις προεξετέθησαν ἐν τοῖς πρόσθεν (σελ. 3 καὶ 58)· τὰς δὲ σφυραίνας Ἰκέσιος (παρὰ τῷ Ἀθην. σελ. 323) λέγει, « Τροφιμωτέρας εἶναι τῶν γόγγρων, ἀπειθεῖς δὲ » τὴν γεῦσιν καὶ ἀσόμους, εὐχυλίᾳ δὲ μέσους » (ἔνθα μέντοι πιθανῶς ὑπετόπασάν τινες, Σμυραίνας δεῖν γράφειν ἀντὶ τοῦ Σφυραίνας)· αἱ δὲ Ταινίαι, « Πλεῖσαι γίνονται καὶ κάλλισαι κατὰ τὸν πρὸς τῇ » Ἀλεξανδρείᾳ Κάνωπον, καὶ ἐν Σελευκείᾳ τῇ πρὸς Ἀντιοχείᾳ », ὥς φησιν Ἀθήναιος (σελ. τῇ αὐτ.).

ΣΕΛΙΔ. 60, Τράχουροι κ. τ. λ.] Ὁ Φορσκώλιος (*Descript. animal. pag. XVII*) καὶ τὴν ὑπὸ τῶν ἀρχαίων καλουμένην θρίσσαν (Γαλλ. Alose), ὑπὸ τῶν Γραικῶν Σαρδέλλαν, ἢ Σαυριδηπόταμοῦ (γρ. Σαυρίδι ποταμοῦ) καλεῖσθαι νῦν λέγει. Ἀλλ' ὅπως μὴ, παραχθεὶς ὑπὸ τῆς ὁμωνυμίας, τὸν ποτάμιον τοῦτον Σαῦρον, ἢ Σαυρίδα, ἢ Σαυρίδιον, τὸν αὐτὸν εἶναι νομίσῃς ἰχθύν, καὶ τὸν παρὰ τῷ Ξενοκράτει τράχουρον, ἢ τὴν παρὰ τῷ Ἀθηναίῳ (σελ. 323) Σαυρίδα, ἣν ὁ Σπεύσιππος παραπλησίαν εἶναί φησι τῇ σφυραίνῃ καὶ τῇ βελόνῃ· διαφέρει γὰρ τούτων οὐδὲν ἧττον ἢ τῆς κίχλης, ἣν καὶ αὐτὴν Σαῦρον ὑπ' ἐνίων καλεῖσθαι παραδέδωκεν ὁ Παγκράτης παρὰ τῷ αὐτῷ Ἀθηναίῳ (σελ. 305). Εἴη δ' ἂν ἴσως τὸ παρ' ἡμῖν Σαυρίδιον ποταμοῦ, ἡ ὑπὸ Δωρίωνος (παρὰ τῷ αὐτ. σελ. 328) καλουμένη Ποταμία θρίσσα· Σαρδέλλα δὲ κληθῆναι ἔοικε, διὰ τὸ ὁμοιοτάτην αὐτὴν εἶναι τῇ νῦν ὑπὸ τῶν ἰταλῶν καλουμένῃ Sardella (Γαλλ. Sardine), ἢ καὶ διότι ταριχευθεῖσα ἀναμὶξ ταῖς σαρδέλλαις πωλεῖται, καὶ τὴν αὐτὴν ἐκείναις παρέχεται χρείαν. Τοῦτ' οἶμαι τὸ σαυρίδιον τὸ ταριχηρὸν δηλοῦν καὶ τὸν Πτωχοπρόδρομον, ἡνίκα λέγει (Κατὰ Ἡγουμέν. 221-222)·

Συχνὰ περισρεφόμενος καὶ βλέπων τὸν κελλάρην,
Καὶ πυκνογυριζόμενος, μὴ ναῦρω κἂν σαυρίδιν.

ΣΕΛΙΔ. 62, στ. 10, Ἀρχέστρατος λέγει.] Τῶν παρατεθέντων Ἀρχεστράτου ἐπῶν·

Ἀλλὰ ξιφίου τέμαχος, Βυζάντιον ἐλθών,
ΟΥΡΑΙΟΥ Τ' αὐτὸν τὸν σφόνδυλον κ. τ. λ.

Τὸν δεύτερον στίχον οὕτως ἂν ὀρθώτερον γράφοις·

ΩΡΑΙΟΥ Γ' αὐτὸν τὸν σφόνδυλον,

ἢ,

ΩΡΑΙΟΥ αὐτὸν τὸν σφόνδυλον.

Ἔστι γὰρ ὁ νοῦς, Εἰς Βυζάντιον παραγενόμενος, λάβε τὸν τράχηλον, τουτέστι τὰ περὶ τὴν κεφαλὴν μέρη, ξιφίου ὡραίου, ὃ ταυτὸν δύναται ὥσπερ ἂν εἰ ἔλεγε, καθ' ἣν ὥραν τοῦ ἔτους μάλιστα ἐπιτήδειός ἐστιν ἐσθίεσθαι ὁ ξιφίας. Ὁ γὰρ σπόνδυλος ἁπλῶς μὲν ἕκαστον τῶν συντιθέντων τὴν ῥάχιν ὀστέων σημαίνει, κατ' ἰδιαιτέραν δὲ χρῆσιν ἐπὶ τῶν τοῦ τραχήλου σπονδύλων τέτακται, καὶ μάλιστα τοῦ δευτέρου, κατὰ τὸν Ἱπποκράτην (Φοεσ. Οἰκονομ. λέξ. Σπόνδυλος). Ἴσον οὖν δύναται ὁ σπόνδυλος, ἢ σφόνδυλος, τῷ τράχηλος· ὅθεν καὶ ὁ Ἡσύχιος «Σφόν» δυλος, τράχηλος» φησίν. Εἰ δὲ δυσχεραίνεις τὴν τροπὴν τοῦ Οὐραίου εἰς τὸ Ὡραίου, ἔστι καὶ οὕτως γράφειν·

Οὐραῖον κ' αὐτὸν τὸν σφόνδυλον,

ἵν' ᾖ ὁ νοῦς, τὴν οὐρὰν καὶ τὰ περὶ τὴν κεφαλὴν, καθὰ καὶ τοῦ φάγρου (ἀνωτέρ. σελ. 105) τὸ οὐραῖον καὶ τὴν κεφαλὴν μόνον ὠνεῖσθαι παρήνει ὁ αὐτὸς Ἀρχέστρατος. Τὸν τοῦ ξιφίου σφόνδυλον, ἢ τράχηλον, οὐδὲν ἧττον Ἀρχεστράτου τοῦ λίχνου ἐθαύμαζον καὶ οἱ τῶν κοινοβίων ὁσιώτατοι Ἡγούμενοι, ὡς φησιν ὁ Πτωχοπρόδρομος (Κατὰ Ἡγουμέν. 196),

Καὶ ξιφιοτράχηλον παχὺν, Κύπρινον ἀπαξιμάδιν.

Περὶ δὲ τῆς δυνάμεως τοῦ ἰχθύος, ὁ μὲν Δίφιλος (παρ' Ἀθην. σελ. 357) φησὶ, «Ξιφίας δ' ἐπὶ ποσὸν βρομώδης ἐστὶ, καὶ ἀπαλώτερος » τοῦ ὀρκύνου». Συμεὼν δ' ὁ Σηθῆς· «Ξιφίας κακόχυμός ἐστι καὶ » ναυτιώδης, καὶ διὰ τοῦτο τελέως τῆς τούτου ἐδωδῆς ἀπέχεσθαι » κρεῖττον. Εἰ δέ τις αὐτοῦ ἐθελήσει μεταλαβεῖν, ῥιμέσι τοῦτον » ἀρτύμασι θεραπευέτω, καὶ οἶνον ἐπιπινέτω παλαιὸν καὶ λεπτόν». —Στ. 15, Στράβων μεγίστους ξιφίας κ. τ. λ.] Ὄφελον ἴσως μᾶλλον εἰπεῖν,

εἰπεῖν, Στράβων γαλεώτας θηρᾶσθαι μαρτυρεῖ, οὓς καὶ ξιφίας ὀνομάζεσθαί φησιν. Ἀλλ' ἔπιθι περὶ τούτων τὰ ἐν τῇ ἑξῆς σημειώσει πλατύτερον ῥηθησόμενα.

ΣΕΛΙΔ. 71, στ. 10, Καὶ ἐκ τοῦ Στράβωνος.] Τὴν τοῦ Στράβωνος ῥῆσιν πληρέστερον ἐνθάδε παραθετέον καὶ ἐξεταστέον· «Τοὺς γὰρ θύν-» νους ἀγεληδὸν φερομένους παρὰ τὴν Ἰταλίαν, ἐπειδὰν ἐκπέσωσι » καὶ κωλυθῶσι τῆς Σικελίας ἅψασθαι, περιπίπτειν τοῖς μείζοσι τῶν » ζώων, οἷον δελφίνων καὶ κυνῶν, καὶ ἄλλων κητωδῶν· ἐκ δὲ τῆς » θήρας αὐτῶν παίνεσθαι τοὺς γαλεώτας, οὓς καὶ ξιφίας λέγεσθαι, » καὶ κύνας ΦΑΣΊ... συμβαίνειν δέ ποτε κ. τ. λ.». Καὶ πρῶτον μέν, » ἄμεινον ἂν γράφοις, ΦΗΣΙ, ἐπειδὴ ἐκ τοῦ Πολυβίου ταῦτα παρεί-» ληφεν ὁ Στράβων, καὶ τὸν Πολύβιον αὐτὰ φάναι λέγει, ᾗ δῆλον » ἐξ ὧν προσεχῶς ἐπιφέρει· «Ταῦτα δ' εἰπὼν [Πολύβιος] διηγεῖται » τὴν τῶν γαλεωτῶν θήραν κ. τ. λ.». Ἔπειτα, τὸν νοῦν τοῦ προκειμένου χωρίου, οὕτως ἐξεδέξαντο οἱ πλεῖστοι, ὥσπερ ἂν εἰ ἔλεγε Στράβων, ὅτι οἱ γαλεῶται, καὶ ξιφίαι καὶ κύνες ὑπ' ἐνίων καλοῦνται. Ὁ δὲ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 1253) τὸ, «Οὓς καὶ ξιφίας ὀνομάζεσθαι» παρενθετικῶς ἐκδεχόμενος, τὸ Κύνας, οὐ πρὸς τὸ Λέγεσθαι, ἀλλὰ πρὸς τὸ Παίνεσθαι, συνάπτει, κατὰ τόνδε τὸν νοῦν, Παίνεσθαι τούς τε γαλεώτας (τοὺς καὶ ξιφίας καλουμένους), καὶ τοὺς κύνας. Καὶ ἔστι μὲν ἡ τοῦ Γεσνήρου ἐξήγησις πιθανωτάτη· οὐδὲν ὅμως ἄτοπον ἔχειν ἔοικε καὶ ἡ ἑτέρα ἐκδοχή. Τὸν γὰρ τοὺς γαλεοὺς, ἢ γαλεώτας, διαφόρους τῶν κυνῶν ὑπολαμβάνοντα (ὥσπερ ὑπολαμβάνειν τὸν Στράβωνα ὑποτίθησιν ἡ τοῦ Γεσνήρου ἐξήγησις) οὐδὲν κωλύει φάναι καὶ κύνας αὐτοὺς ὑφ' ἑτέρων καλεῖσθαι. Καὶ ταῦτα μὲν τὰ περὶ τὴν λέξιν ἀπορήματα· ἀπορεῖται δὲ μᾶλλον, ὁποῖός τις ἐστὶν ὁ ὑπὸ τοῦ Στράβωνος, ἢ τοῦ Πολυβίου, μνημονευόμενος Γαλεώτης, ὁ καὶ Ξιφίας λεγόμενος. Καὶ οἱ μὲν πλείω ξιφίου εἴδη ἐγνῶσθαι τοῖς παλαιοῖς (ἴδ. Σνειδέρ. Συνωνυμ. ἰχθ. Ἀρτεδ. σελ. 49, καὶ Σημειώσ. εἰς τὸ Αἰλιαν. περὶ ζ. ἰδιότ. σελ. 585), ὧν εἶναι καί τινα κυσὶν, ἢ γαλεοῖς, παραπλήσια· ἐξ ὧν συμπεραίνεται ὅτι τὸ μὲν τοῦ Στράβωνος Γαλεώτας ξιφίας ἐκδεκτέον, Ξιφίας, ἐπονομαζομένους γαλεώτας, ὥσπερ καὶ ἡμεῖς (σελ. 62) ἐξεδεξάμεθα, τὸ δὲ τοῦ Ἀναξίππου (σελ. 70), Ξιφίου κυνὸς, ὥσπερ ἂν εἰ ἔλεγε, Ξιφίου ἐπονομαζομένου κυνός. Ἀλλὰ μήποτε ἀκριβέστερον ᾖ λέγειν ὅτι καὶ ὁ παρὰ Στράβωνι γαλεώτης, καὶ ὁ παρ' Ἀναξίππῳ κύων, τοῦ τῶν γαλεῶν ἢ κυνῶν ἀληθῶς γένους ἐστὶ, Ξιφίας ἐπονομασθεὶς διά τινα

πρὸς τὸν ἰχθὺν τοῦτον ἐμφέρειαν. Οὕτως γὰρ καὶ παρὰ τοῖς νεωτέροις, espadon, τουτέστι Ξιφίας (σελ. 62), ὠνομάσθη, ἕτερος τῶν ἀνωτέρω μνημονευθέντων ξιφιῶν, Γαλεοῦ τι εἶδος, τὸ ὑπὸ τῶν Γάλλων ἰχθυολόγων καλούμενον Squale scie, τουτέστι Γαλεὸς πρίσης, διὰ τὸ ῥύγχος, τούτῳ μόνῳ διαφέρον τοῦ ξιφιακοῦ ῥύγχους, ὅτι ὀδοντωτὸν δίκην πρίονός ἐστι (*Id. Lacépède, Histoir. naturell. des Poissons, Tom. II, pag.* 237).

ΣΕΛΙΔ. 79, στ. 2, Δεδήλωται ἐξ Ἡσυχίου ὅτι καὶ Γλανεὸν εἰσὶν οἱ τὸν Γλάνιν ὠνόμαζον· ἐπηγαγόμεθα δὲ (σελ. 78) καὶ τὸν Βελλώνιον μαρτυροῦντα, τὸν Γλάνιν ὑπὸ τῶν νεωτέρων Ἑλλήνων Γλάνον ἢ Γλάνιον καλεῖσθαι. Τὸν μέντοι παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτικ. Α, 113) μόνῳ καλούμενον Ὅλισθον ἰχθύν, Γλανεὸν καὶ τοῦτον ὁ σχολιαστὴς ἰδιωτικῶς φησιν ὀνομάζεσθαι· ὃν ὁ Γεσνῆρος (Περὶ ἐνύδρ. σελ. 742) ὡρμημένος ἀπὸ τοῦ ὀνόματος, τὸ ὀλισθηρὸν, καὶ ἑπομένως τὸ λεῖον καὶ ἀλεπίδωτον δηλοῦντος, ὑποτοπάζει μήποτε ὁ αὐτός ἐστιν ἰχθὺς καὶ ὃν ἐν τοῖς πρόσθεν (σελ. 189) Lamproie ὑπὸ τῶν Γάλλων καλεῖσθαι εἰρήκαμεν.

ΣΕΛΙΔ. 82, στ. 19, Διὰ τοῦ η γράφεται ὁ Τζῆρος παρὰ τῷ Πτωχοπροδρόμῳ (Κατὰ Ἡγουμέν. 201).

Σκόρδα κεφάλια δώδεκα, καὶ τζήρους δεκαπέντε.

Καὶ εἴη μὲν ἂν ἡ κηρὶς ὁ παρ' ἡμῖν τσῆρος, εἴ ἐστιν, ὥς φησιν ὁ Τραλλιανὸς Ἀλέξανδρος (ζ', 3), τῶν σκληροσάρκων· οὐκ ἂν εἴη δὲ, εἰ ἀπαλόσαρκος, καθὰ λέγει Δίφιλος (παρὰ τῷ Ἀθην. σελ. 355).

ΣΕΛΙΔ. 95, στ. 18, Ὅτι μὲν τῶν σπανιωτάτων ἐστὶν ἡ λέξις, Τρυφερόσαρκος, ἀληθῶς εἴρηκα· προσέθηκα δὲ καὶ τὸ παρ' οὐδενὶ ἑτέρῳ κεῖσθαι, μὴ μνημονεύσας ὅτι καὶ Ἀντύλλος ἐχρήσατο τῷ ὀνόματι ἐν οἷς τὴν τοῦ σιναπισμοῦ σκευασίαν διδάσκει (ἐν τῇ τοῦ Ὀρειβασ. συναγωγ. ἐκδ. Μόσχ. σελ. 301).

ΣΕΛΙΔ. 100, στ. 2. Cerebrum Jovis, τουτέστι Διὸς ἐγκέφαλον, ὁ Ἀπουλήϊος ὠνόμασε τὸν Σκάρον ἐκ τοῦ ποιητοῦ Ἐννίου (*Q. Enn. fragm. pag.* 158), παρειλημμένως λέγοντος·

Scarum præterii, cerebrum Jovis pæne supremi.

Εἰκὸς δὲ τὸν Ἔννιον ἐκ μὴ σωζομένης ἑτέρας Ἀρχεσράτου παρειλημφέναι ῥήσεως, ἢ δῆλον ἐκ σωζομένων ἑτέρων, ἐν οἷς Ἔννιος τὸν Ἀρχέσρατον φανερός ἐστι μιμησάμενος.—Στ. 34. Οὐ τοὺς ἀρχαίους μό-

νον, ἀλλὰ καὶ τῶν νεωτέρων ἔσιν οὓς κατέσχεν ἡ περὶ τοῦ μηρυκασμοῦ τοῦ σκάρου ὑπόληψις· ἀλλ' ἀμφιβάλλει εἰκότως ὁ Σνειδέρος (Σημ. εἰς τὸ Αἰλιαν. Περὶ ζ. ἰδιότ. σελ. 580) περὶ αὐτοῦ· ὁ δὲ Λακεπέδης (*Histoir. naturell. des Poissons, Tom. VIII, pag.* 90) καὶ ψεῦδος ἄντικρυς εἶναι λέγει τὸ μηρυκάζειν τὸν σκάρον. Εἰ γὰρ καὶ ποηφάγον ἐςὶ τὸ ζῶον, καὶ τοὺς ὀδόντας παραπλησίους φέρει τοῖς ποηφάγοις τῶν τετραπόδων, οὐκ ἔχει μέντοι γόμαχον οἷον ἔχουσι τῶν ζώων τὰ μηρυκάζοντα.

ΣΕΛΙΔ. 113 (τμ. μά, σελ. 8), Μετὰ γλυκέος δὲ ἡ οἰνομέλιτος.] Τὸ παρὰ τοῖς ἀρχαίοις Γλυκὺ, ὃ καὶ Σίραιον ἐκάλουν, καὶ Ἔψημα, ἐςὶ τὸ παρ' ἡμῖν τουρκοχυδαϊςὶ καλούμενον Πετιμέζι. « Ἔψημα, ὅπερ » ἔνιοι Σίραιον καλοῦσιν· ἄλλοι Γλυκὺ », φησὶν Ἡσύχιος. Καὶ Σίραιον μὲν ἐλέγετο τοῖς Ἀττικοῖς, ἔψημα δὲ τοῖς Ἀσιανοῖς τῶν Ἑλλήνων, ὡς φησιν ὁ Γαληνὸς (Φοεσ. Οἰκονομ. Ἱπποκράτ. λέξ. Σίραιον). Ἦν δὲ γλεῦκος ἐψημένον, ὃ διαφόρως ὠνομάζετο παρὰ Ῥωμαίοις, κατὰ τὸν διάφορον τῆς ἑψήσεως βαθμὸν, Sapa μὲν, ἡνίκα ἥψετο εἰς τρίτον, τουτέσιν ἕως κατελείπετο τὸ τρίτον τοῦ ἐμβληθέντος εἰς τὸν λέβητα γλεύκους μέρος, Defrutum δὲ, ἡνίκα εἰς ἥμισυ, ὡς διδάσκει ὁ Πλίνιος, *Siraeum* quod alii *Hepsema*, nostri *sapam* appellant, ingenii, non naturæ opus est, musto ad tertiam partem mensuræ decocto : quod ubi factum ad dimidiam est, *Defrutum* vocamus (*Plin. lib. XIV, cap.* 9)· καὶ ἀλλαχοῦ, Vino cognata res *Sapa* est, musto decocto, donec tertia pars supersit (*Idem, lib. XXIII, cap.* 2). Καὶ ταῦτα μὲν περὶ τοῦ Γλυκέος. Τὸ δ' Οἰνόμελι, ὡς καὶ τοὔνομα δηλοῖ, οἶνος μέλιτι μεμιγμένος ἦν, ὁτὲ μὲν ἁπλῶς οὕτως, ὁτὲ δὲ καὶ μετ' ἀρωμάτων (ἴδ. Διοσκορίδ. ε, 16, καὶ Γεωπονικ. ἡ, 25). Ἦν δὲ καὶ ἕτερον, Οἰνόμελι ἀπὸ γλεύκους, καλούμενον, ἡνίκα δηλονότι ἀντὶ οἴνου γλεῦκος, ἢ σίραιον ἴσως, τουτέσι γλεῦκος ἡψημένον, συνέμισγον τῷ μέλιτι. Ἴσως δὲ λέγω, διὰ τὸ ὕποπτον τῆς ἐν τοῖς Γεωπονικοῖς (ἡ, 26) φράσεως ταύτης, « ΣΤΗΣΟΝ τὸ γλεῦκος ἕως οὗ καταςῇ εἰς ἥμισυ· καὶ μίξον εἰς » τοὺς δέκα ξέσας μέλιτος Ἀττικοῦ ξέσην ἕνα· καὶ βαλὼν εἰς τὸ κερά- » μιον, καὶ γυψώσας ἀπόθου εἰς σκιάν ». ΕΨΗΣΟΝ γὰρ μᾶλλον ὑπονοήσειεν ἄν τις εἶναι γραπτέον.

ΣΕΛΙΔ. 126, στ. 1, Τοῦ τε ὀσράκου κ. τ. λ.] Ἱκανῶς μὲν καὶ ἐν τοῖς πρόσθεν ἐδηλώσαμεν τὴν παρὰ τοῖς ἀρχαίοις ἰατρικὴν τοῦ ὀσράκου χρῆσιν, τόν τε Διοσκορίδην καὶ τὸν Πλίνιον ἐπαγαγόμενοι μάρτυρας· νῦν δὲ

καὶ τὴν τοῦ φαρμάκου σύνθεσιν (καίπερ ἀπηρχαιωμένου, ὥσπερ καὶ πλείσων ἄλλων τοιούτων ἰατρικῶν ὑλῶν τε καὶ συνθέσεων) ἐξ αὐτῆς τῆς τοῦ Ξενοκράτους ἀναγραφῆς δηλῶσαι δεῖν ἔγνων, δι' οὐδὲν ἕτερον, πλὴν ἵνα καὶ τοῦτο τῶν Ξενοκράτει γεγραμμένων τὸ λείψανον, ἐκ τοῦ τρίτου κεφαλαίου τοῦ πεντεκαιδεκάτου βιβλίου τῆς Ὀρειβασίου ἑβδομηκονταβίβλου συναγωγῆς ληφθὲν, καὶ ἐν τῇ κατὰ Μόσχαν ἐκδόσει (σελ. 357) καταχωρισθὲν, ἀναγινώσκειν ἔχοιεν οἱ τῆς ἐκδόσεως ἐκείνης μὴ εὐποροῦντες. Ἔστι δὲ τὸ χωρίον ἐλλιπὲς, καὶ ὄντως λείψανον κατεσκελετευμένον ὑπὸ τῶν ἀντιγραφέων ἐπὶ τοσοῦτον, ὥς' ἐν πολλοῖς διὰ τὴν διακοπὴν τῆς συναρτήσεως ἀσύνετον εἶναι.

ΟΡΕΙΒΑΣΙΟΥ ΒΙΒΛΙΟΝ ΙΕ, ΚΕΦ. Γ'.

Ἐκ τῶν Ξενοκράτους, τίνας κήρυκες καὶ πορφύραι, ὡς ἔμπλαστρα, ὠφελοῦσιν.

.... τος ἐφη (1).... τῶν γυναικῶν ἀποκαθαίρουσι καταχριόμεναι. Μαλάγματός τε τρόπον ἐπιτιθέμεναι πρὸς τοὺς οἰδαλέους καὶ πεπυρωμένους (2) τῶν ὄρχεων ἐπαρκέστατοι γίγνονται, πρός τε τοὺς ἤδη ἔχοντας ὑγρὰ, καὶ πρὸς τοὺς συνάγειν μέλλοντας, καὶ πρὸς ἅπαν ἀπόστημα καὶ φύμα. Χρισάμενοι γοῦν ἐπισυνάγει ὄσχεον, τῶν ἤδη καὶ πρὸς διαίρεσιν ἐπιτηδείων ἀποστημάτων διεφορήσαμεν (3) δίχα πάσης ἐναργοῦς αἰσθήσεως. Δραστικώτερον δὲ σύνθετόν ἐστι τόδε. Λιθαργύρου δραχ. ρς' (4), κηρύκων τέφρας δραχ. ιζ', ἐλαίου παλαιοῦ κοτ. λ', ψιμμυθίου δραχ. κ', ῥητίνης τερεβινθίνης δραχ. ιγ', λιβάνου δραχ. ή, ὕδατος κοτ. δ'. Τὴν λιθάργυρον καὶ τὸ ψιμμύθιον, τούς τε (5), καὶ τὸν λιβανωτὸν λεάνας χωρὶς ἕκαστον ἐν θυείᾳ, ἐπιχέας τὸ ὕδωρ καὶ τὸ ἔλαιον, ἀνάτριψον ἐπιμελῶς, εἶτα ἐν χύτρᾳ καινῇ ἕψε, κινῶν συνεχῶς σπάθῃ, προσέχων μὴ προσκαῇ (6). Ἰδὼν δὲ αὐτὰ ἡμίεφθα, ἔμβαλλε τὴν ῥητίνην, εἶτα τὸν λιβανωτόν. Ἕψε δὲ ἕως μὴ .... νος .... τέμπ.... κας (7)· εἶθ' ἑψήσας .... χύτραν τε καθαιράσας (8), ἀνελό-

μενος χρῶ. Παραδόξως ἐνεργεῖ πρὸς τὰ προειρημένα. Ποιεῖ δὲ ἄκρως καὶ πρὸς τὰ κακοήθη καὶ νεμόμενα καὶ δυσαλθῆ. Οἱ δὲ προειρημένοι κήρυκες ἐν τῷ μέλιτι πρὸς παρωτίδας (9), καὶ ἐν μασοῖς, *καὶ* μεθ' ὕδατος καταπλαττόμενοι· καὶ πρὸς τὰ ἐν κεφαλῇ ἑλκύδρια πυκνὰ, ἐρυθρὰ, μικραῖς προσεοικότα θηλαῖς, ἃ καλεῖται κηρία. Καὶ μεγάλαι δὲ καὶ σκληραὶ πορφύραι τὰ αὐτὰ ποιοῦσι τοῖς κήρυξι.

ΜΑΚΩΝ (10).... ΜΟΝΟΝ.... ΚΩΝ ΜΟΝΟΝ ΗΝ δυνατὸν πάσας ἰᾶσθαι τὰς παρὰ φύσιν διαθέσεις, οὐκ ἂν ἐδεήθημεν οὐδέποτε συνθέτου φαρμάκου· νυνὶ δὲ οὐχ οὕτως ἔχει. Πολλάκις γὰρ ΑΧΡΗΣΤΑ, ΟΥΔΕ ΤΙΝΟΣ ἐκθερμῆναι τὸ σῶμα βουλόμενοι, τῶν ἁπλῶν οὐδὲν ἔχομεν τοιοῦτον (11). Μία μὲν αὕτη χρεία τῶν συνθέτων, ὅταν ἐκ τῶν ὁμογενῶν τὸ σφοδρὸν τῷ μαλακῷ μίξωμεν, ἀποροῦντες τοῦ μέσου. Μία δ' ἄλλη τῆς τῶν ἑτερογενῶν ἐκ τοιοῦδε γίγνεται λογισμοῦ. Σπανίως ἂν εὕροι τις διάθεσιν, ἤτοι διαφορούντων μόνον, ἢ ἀποκρουομένων, δεομένην. Διὰ τοῦτο γοῦν ἀναγκαζόμεθα πολλάκις μὲν εὐθέως ἐν ἀρχῇ, πάντως δ' οὖν ὀλίγον ὕστερον, μιγνύναι τι τῶν διαφορητικῶν· εἰ δὲ ὀδύνη συνῇ σφοδρὰ, καὶ τῶν παρηγορικῶν. Καὶ τά γε πολυχρηστότατα (12) καὶ κάλλιστα φάρμακα τὰς ἐναντίας ἐν ἑαυτοῖς ἔχει δυνάμεις. Τινὰ δὲ τῶν ἁπλῶν, οὐδὲ εἰς χρῆσιν ἀχθῆναι δύναται χωρίς γ' ἑτέρου μίξεως, οἷον ὅταν ἐμπλαστὸν φάρμακον (13)....

Καὶ ταῦτα μὲν τὰ τοῦ Ξενοκράτους, οὐκ ἐκ τοῦδε τοῦ Περὶ τῆς ἀπὸ τῶν ἐνύδρων τροφῆς, ἀλλ' ἐκ θατέρου τῶν αὐτοῦ συνταγμάτων, τοῦ Περὶ τῆς ἀπὸ τῶν ζώων ὠφελείας, προφανῶς ὑπὸ τοῦ Ὀρειβασίου παρειλημμένα. Ὥρα δὲ καὶ τῶν ἐν αὐτοῖς ἡμαρτημένων ἐπιχειρῆσαι διορθοῦν ὅσα γέ τινα διόρθωσιν ἐπιδέχεται, τὰ μὲν εἰκασίαις ἡμετέραις, ἔνια δὲ καὶ ἀσφαλέστερον ἐξ αὐτοῦ τοῦ Γαληνοῦ, ὃς ταῦτα, ὥσπερ εἰκὸς καὶ ἕτερα οὐκ ὀλίγα τῶν Ξενοκρατείων παραγγελμάτων, εἰς τὰς ἰδίας βίβλους μετήνεγκεν.

Ἀριθμ. 1, Ἐφη...] Ἴσως ἔγραψεν ὁ Ξενοκράτης, ἐφηλίδας, καθὰ

ὑπενόησε καὶ ὁ Ματθαῖος ἐκ της Λατινικης τοῦ Ῥασαρίου μεταφράσεως maculas. « Ἐφηλὶς παθος ἐν προσώπῳ, ὑποπέλιδνος ἐπιδρομὴ, ἀφανί- » ζουσα τὸ κατὰ φύσιν χρῶμα », φησὶν ὁ Πολυδεύκης.—2, Πεπυρωμένους.] Ὁ Λατῖνος μεταφραστὴς ἔοικεν ἀναγνῶναι, πεπωρωμένους, ad tophos minuendos.—3, ΧΡΙΣΑΜΕΝΟΙ γοῦν ΕΠΙΣΥΝΑΓΕΙ ΟΣΧΕΟΝ, ΤΩΝ ἤδη καὶ πρὸς διαίρεσιν ἐπιτηδείων ἀποσημάτων διεφορήσαμεν] Ἴσως οὕτως ἐχὶ διορθοῦν ταῦτα· Χρησάμενοι γοῦν ΕΠΙ ΣΥΝΑΓΩΓΗ ΟΣΧΕΟΥ, ΤΙΝΑ ΤΩΝ ἤδη κ. τ. λ. ἵν' ᾖ ὁ νοῦς, Χρησάμενοι τῷ μαλάγματι τῶν κηρύκων ἐπὶ συναγωγῇ τῶν ἐν τῷ ὀσχέῳ ὑγρων, διεφορήσαμεν ἄνευ ἐκπυήσεως τινὰ καὶ τῶν ἤδη διατμηθῆναι ἐπιτηδείων ἀποσημάτων. Ὄσχεον δὲ λέγεται τὸ τῶν διδύμων ἀγγεῖον, ὡς ἐξηγεῖται Ἡσύχιος.—4, Δραχ. ρς΄] Τοὺς ὧδε τε καὶ ἐν τοῖς ἑξῆς ταῖς δραχμαῖς (δραχ.), ὥσπερ καὶ τοὺς ταῖς κοτύλαις (κοτ.) προσγεγραμμένους ἀριθμοὺς, ὀρθῶς ἔχειν ἤκις' ἂν ἰσχυρυσαίμην ἔγωγε.—5, Τούς τε.] Ἀποκαθίςη τὸ προδήλως ἐξερρύηκὸς τῶν ὀφθαλμοθέρμων ὄνομα, γράφων, Τούς τε κήρυκας.—6, Προσκαῇ.] Λέξις μαγειρικὴ τὸ Προσκαίειν· καὶ ἔοικε μὲν τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι, διά γε τὸν τῆς προθέσεως πλεονασμόν· οὐκ ἔςι δέ. Καὶ Ἀρχέστρατος γὰρ (ἀνωτέρ. σελ. 73) ἐχρήσατο, καὶ αὐτὸς Ἀριςοφάνης (Σφ. 828)·

Ἡ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν.

Καὶ οἱ Ῥωμαῖοι δὲ καθ' Ἑλλήνων μίμησιν τῷ συνθέτῳ (aduro, προσκαίω) χρῶνται. Αὐτίκα ὁ κωμικὸς Τερέντιος (Ἀδελφ. Μέρ. Γ, σκην. γ', στίχ. 71) ἐπὶ βρωμάτων,

Hoc salsumst, hoc adustumst, hoc lautumst parum.

—7, Ἔψε δὲ κ. τ. λ.] Ἴσως ἐγέγραπτο, Ἔψε δὲ ἕως κηρώδους ἢ ἐμπλαςρώδους συςάσεως, ἢ Ἔψε δὲ ἕως μὴ μολύνῃ ἐμπλασσόμενον, ἤ τι τοιοῦτον, καθὰ φράζειν φιλοῦσι τῶν φαρμακοποιῶν οἱ ἀρχαῖοι. Ἔςι δὲ τὸ μολύνειν τὸ δίυγρον οὕτως εἶναι, ὥςε περιῤῥέειν εἴς τε τοῦ ἀναλαμβάνοντος τοὺς δακτύλους, καὶ εἰς τοὺς περὶ τὸ πάσχον μέρος τόπους τοῦ νοσοῦντος· διὸ καὶ ἀμόλυντα ἐκαλεῖτο τὰ δεόντως ἠψημένα φάρμακα, καὶ τούτων μᾶλλον τὰ μεμαγμένα. Οὐ γὰρ τοσοῦτον ἡ ἕψησις, ὥσπερ ἡ μάξις, περιποιεῖν ἔχει τὸ ἀμόλυντον. Καὶ διορθοῦσθω ἐν παρόδῳ ὁ Ἄντυλλος ἐν οἷς περὶ καταπλασμάτων λέγει παρὰ τῷ Ὀρειβασίῳ (σελ. 251 τῆς κατὰ Μόσχ. ἐκδ. 1808)· « Καὶ τῶν » μὲν μακτῶν ὅρος ἐςὶ τῆς σκευασίας ἱκανῶς λελειῶσθαι καὶ ἠνῶσθαι,

» καὶ ἀμόλυντα εἶναι, καὶ μὴ περιῤῥεῖν. Τῶν δὲ ἑφθῶν οὐκ ἔςι μέτρον » τὸ μὴ μολύναι· δυνατὸν ΓΑΡ ΑΝ ΤΟΥΤΟ γενέσθαι διὰ τὸ πλῆθος » τῶν ἐμβαλλομένων ξηρῶν ἐν τῷ ὑγρῷ ΑΛΛΟ τὸ τὰς δυνάμεις ΧΥ- » ΘΕΝΤΩΝ τῶν ξηρῶν ἀναμιχθῆναι καὶ ἑνωθῆναι ». Γραπτέον γάρ... δυνατὸν ΓΑΡ ΤΟΥΤΟ γενέσθαι... ἐν τῷ ὑγρῷ· ΑΛΛΑ τὸ τὰς δυνάμεις ΛΥΘΕΝΤΩΝ τῶν ξηρῶν κ. τ. λ. Ὅτι δὲ καὶ τὴν ἕψησιν μέχρι τοῦ μὴ μολύνειν παρήγγελλον, μάρτυς ὁ Γαληνὸς (Περὶ συνθέσ. φαρμακ. τῶν κατὰ τόπ. Α, σελ. 169), « Ἕψε ἔλαιον, ἄλας, » ψιμμύθιον, λιθάργυρον, μέχρις ἀμολύντου· τὰ δὲ ξηρὰ κόψας... » εἶτα εἰς θυίαν μεταιράσας (γρ. εἰς θυΐαν μετεράσας) καὶ μαλάξας » ἐπιμελῶς κ. τ. λ. ». καὶ αὖθις (Περὶ συνθ. φαρμ. τῶν κατὰ γέν. Α, σελ. 320), « Ἑψομένων τῶν μεταλλικῶν ἐν ἡλίῳ, μέχρι τοῦ γενέσθαι » τελέως ἀμόλυντον, ἢ καὶ βραχὺ σκληρότερον ».—8, Καθαιράσας.] Γράφε, κατὰ τὸ ἀνωτέρω παρατεθὲν ἐκ τοῦ Γαληνοῦ καὶ διορθωθὲν παράδειγμα, μετεράσας, ὅ ἐςι μετακενώσας, ἀπὸ τῆς χύτρας δηλονότι εἰς ἀγγεῖον ἕτερον.—9, Παρωτίδας.] Τοὺς κήρυκας καὶ τὰς πορφύρας παραγγέλλει πρὸς τὰς παρωτίδας ὅ τε Ἀρχιγένης παρὰ τῷ Γαληνῷ, καὶ αὐτὸς ὁ Γαληνὸς (Περὶ συνθ. φαρμ. τῶν κατὰ τόπ. Γ, σελ. 199).—10, ΜΑΚΩΝ.] Ἑτέρου κεφαλαίου ἀρχὴ ἦν τὸ κεκολοβωμένον μέρος τοῦτο, ἐν ᾧ ὑπὸ τοῦ χρόνου, ὡς φησιν ὁ Ματθαῖος, κενὸν εὕρηται ἑπτακαίδεκα σχεδὸν σίχων διάςημα. Εἰη δ' ἂν ἐκ τοῦ Γαληνοῦ, προδήλως τὰ Ξενοκράτους μετενεγκόντος εἰς τὸ πρῶτον βιβλίον τοῦ Περὶ συνθέσεως φαρμάκων τῶν κατὰ γένη (σελ. 313-314), μέρος γέ τι τῶν λειπόντων ἀναπληρῶσαι. Λέγει δὲ ἐκεῖνος· « Ἐνίοτε μὲν ἕν τι φάρμακον αὐτοφυὲς ἁπλοῦν ἱκανόν ἐςι τὴν » παρὰ φύσιν ἰάσασθαι διάθεσιν, ἐνίοτε δὲ χρεία γίγνεται συνθέτου· » καὶ διά τί γε πράττομεν τοῦτο λεκτέον ἐφεξῆς. Εἰ διὰ τῶν ἁπλῶν » φαρΜΑΚΩΝ ΜΟΝΟΝ ΗΝ δυνατὸν ἁπάσας ἰάσασθαι τὰς παρὰ » φύσιν διαθέσεις, οὐκ ἂν ἐσθήθημεν οὐδέποτε συνθέτου φαρμάκου· » νυνὶ δὲ οὐχ οὕτως ἔχει », ὧν τὰ τελευταῖα αὐτοῖς ῥήμασιν ἐκ τοῦ Ξενοκράτους παρείληπται.—11, Πολλάκις κ. τ. λ.] Διόρθου καὶ ταῦτα ἐκ τοῦ Γαληνοῦ, προσεχῶς τοῖς ἤδη παρατεθεῖσιν ἐπάγοντος, « Πολ- » λάκις γὰρ ΑΧΡΙ ΤΟΣΟΥΔΕ ΤΙΝΟΣ ἐκθερμανθῆναι τὸ σῶμα βουλό- » μενοι, τῶν ἁπλῶν οὐδὲν ἔχομεν τοιοῦτον ».—12, Καὶ τάγε κ. τ. λ.] Οὕτως γράφε καὶ παρὰ τῷ Γαληνῷ (σελ. 314) Καὶ τά γε πολυχρηςότατα, ἀντὶ τοῦ ἡμαρτημένου, Καθά τε πολυχρηςότατα.—13, Τινὰ δὲ τῶν ἁπλῶν κ. τ. λ.] Ἀναπλήρου καθάδε

τὰ λειποντα ἐκ τοῦ Γαληνοῦ, ὃς φησιν αὐτοῖς τοῦ Ξενοκράτους τοῖς ῥήμασι· « Τινὰ δὲ τῶν ἁπλῶν οὐδ' εἰς χρῆσιν ἀχθῆναι δύναται χωρὶς » ἑτέρας (γρ. χωρὶς γ' ἑτέρου) μίξεως· οἷον ὅταν ἐμπλαστὸν φάρ- » μακον ἐπιτιθέναι τινὶ βουλώμεθα. Τῶν γὰρ ἁπλῶν οὐδὲν ἐπιτήδειον » εἰς τὴν τοιαύτην χρείαν. Οὔτ' οὖν ἄσφαλτος, οὔτε κηρὸς, οὔτε » ῥητίνη, καθάπερ οὐδὲ πίσσα, πρόπολίς τε καὶ λάδανον, ἔτι δὲ » μᾶλλον ἰὸς καὶ ψιμμύθιον, ἢ λιθάργυρος ἢ μολύβδαινα, ἢ τῶν » ἄλλων τι μεταλλικῶν φαρμάκων· ὡσαύτως οὐδὲ βοτάναι μόναι φάρ- » μακον ἐμπλαστὸν δύνανται ποιεῖν. Εἰκότως οὖν ἐπενόησαν οἱ πρώτως » συνθέντες ἐμπλαστὰ φάρμακα κ. τ. λ. ».

